Ἡ ἐπίδρασις τῆς δημώδους εἶναι φανερὰ τοὐλάχιστον ἐν αὐταῖς ταῖς μεγάλαις κατηχήσεσι. Σημειωτέον λόγου χάριν τὰ εἰς *ᾶς* λήγοντα νεοελληνικὰ ὀνόματα· οἷον *ἀγκιστρᾶς, κανισκᾶς, κατηναρᾶς, μεμβρανᾶς*· εἶτα τὰ εἰς *άριον* ὀνόματα. οἷον *καλαμιάριον, κελλάριον, κεντωνάριον, κοιτάριον, κωδιάριον, μαλλωτάριον, μεμβρανάριον, μηλωτάριον, ξυλάριον, ὀρτάριον, ὀψάριον* κτλ. Καὶ πάλιν τὰ εἰς *άριος* ὀνόματα. οἷον *πρωτοορδινάριος, κανδηλάριος, κανισκάριος, καυχησιάριος*. Ἐκ τοῦ δημώδους *ὁμάδιν* ἐμόρφωσεν ὁ Θεόδωρος ῥῆμα *ὁμαδεύεσθαι*, παρὰ τὸ *λῶρος* καὶ *λωρίον* ἠξίωσε νὰ δεχθῇ καὶ παύσεων (294. 10). *ρυέντων* διδασκαλιῶν (153, 19), *συνεργούντων* τῶν εὐχῶν (153, 2).

Будущее *ἔσομαι* сдѣлалось у Θеодора и аористомъ сослагательнаго, замѣнивъ такимъ образомъ настоящее время того же наклоненія; отъ того часто читаемъ *ἐσώμεθα* = *ὦμεν* (15, 24. 60, 8. 116, 6. 134, 39. 182, 43); но *ἔσομαι* послужило основаніемъ къ составленію изъ него формы повелительной, напримѣръ: *ἔσεσθε* = ἐστὲ (102, 35. 211, 40). *Ἵνα* у Θеодора пріурочивается къ изъявительному наклоненію, напримѣръ. *ἵνα λ. ἦμεν* (264, 41), *ἵνα μηδείς ἐσιι* (210, 17), *ἵνα ἐσιὲ* (46, 27—28. 178. 1).

Употребленіе новогреческаго *ἂς* или *ἄς* у Θеодора также встрѣчается, если дать вѣру переписчику кодекса Δ, ибо у него на страницѣ 92, 1—2, подлѣ слова *προσέχωμεν*, ясно написано одно *ἂς*. Если переписчикъ заимствовалъ *ἂς* изъ древнѣйшаго списка, то, надо думать, что послѣдующіе переписчики старались выпускать изъ сочиненій Θеодора то, что казалось имъ простонароднымъ. Вѣдь извѣстно уже изъ списковъ Малыхъ Катихизисовъ, что въ нихъ, съ этой точки рѣнія, есть не мало произвольныхъ измѣненій

Вліяніе простонароднаго нарѣчія, по крайней мѣрѣ, въ Большихъ Катихизисахъ ясно. Отмѣтимъ, ради примѣра оканчивающіяся на *ᾶς* новогреческія имена: *ἀγκιστρᾶς, κανισκᾶς, κατηναρᾶς, μεμβρανᾶς*. Далѣе — на *άριον*: *καλαμιάριον, κελλάριον, κεντωνάριον, κοιτάριον, κωδιάριον, μαλλωτάριον, μεμβρανάριον, μηλωτάριον, ξυλάριον, ὀρτάριον, ὀψάριον* и т. д. Также — на *άριος* имена: *πρωτοορδινάριος, κανδηλάριος, κανισκάριος, καυχησιάριος*. Изъ простонароднаго *ὁμάδιον* Θеодоръ образовалъ глаголъ *ὁμαδεύεσθαι*. Наряду *λῶρον* и *λωρίον*,

τὸ δημῶδες *λουρίδιον*· ἔγραψεν ὡσαύτως *κηρούλιον, καινούργια* (186. 2), *κανονάρχος, καλοκαίριον* (= ἔαρ). *κρομύδιον* (= κρόμμυον). *γέλοια, ἐμπαλωμένου* (185, 42). *καλλιώτερον* (268. 12). *ἀπ' ἐκεῖνον* (265, 6/7). *ἀπεντεῦθεν* (268, 25. 274, 15/16. 277, 20) κτλ.

Ἐπηρέασε τὸν Θεόδωρον καὶ ἡ σύνταξις τῆς δημώδους, λόγου χάριν· *οὐκ ἐγράψατέ με* ἀντὶ *μοι* (212, 42), *προηγουμένου ὑμᾶς* = σας (205, 6). *χαρὰ ἡμῶν ἐσιν* (ἐν τῷ κώδικι) = χαρά μας εἶναι. *ἀντιπέμπονιες ἡμᾶς* = μας (102, 27, κατὰ τοὺς κώδικας PΔ). Ἡ ἐπίδρασις τῆς δημώδους συντάξεως ἐν τῷ λόγῳ τοῦ Θεοδώρου εἶναι πολλαχοῦ σταθερά, ἂν καὶ παλαίει οὗτος πρὸς τὴν ἀρχαίαν σύνταξιν. Οὕτω παρὰ τὴν συχνὴν σύνταξιν τοῦ *ἵνα* μεθ' ὑποτακτικῆς ἔχομεν ὡσαύτως συχνὴν σύνταξιν αὐτοῦ μεθ' ὁριστικῆς. ἣν παρετηρήσαμεν ἀφοῦ εἶχε προχωρήσει ἡ τύπωσις τινῶν φύλλων. Ἡ διπλῆ αὕτη σύνταξις ἀπαντᾷ πολλάκις παραλλήλως. Παραδείγματά τινα ἐνταῦθα θὰ καταστήσωσι σαφῆ τὴν διττὴν ταύτην σύνταξιν.

принялъ и простонародное *λουριδιον*. Также пишетъ: *κηρούλιον, καινούργια* (186, 2), *κανονάρχος, καλοκαίριον* (=ἔαρ). *κρομμύδιον* (= κρόμμυον). *γέλοια, ἐμπαλωμένου* (189, 42), *καλλιώτερον* (267, 12), *ἀπ' ἐκεῖνον* (265, 6/7). *ἀπεντεῦθεν* (268, 25. 274, 15/16. 277, 20) и т. д.

На Θеодора повліялъ также простонародный синтаксисъ напр.: *οὐκ ἐγράψατέ με* вмѣсто *μοι* (212. 42), *προηγουμένου ὑμᾶς* = σας (205,6). *χαρὰ ἡμῶν ἐσιν* (въ код.) = χαρά μας εἶναι, *ἀντιπέμποντες ἡμᾶς* = μας (102, 27, по код. PΔ). Вліяніе простонароднаго синтаксиса на стиль Θеодора сильно: оно борется съ классическимъ синтаксисомъ. Такъ, напримѣръ, наряду съ частымъ сочетаніемъ *ἵνα* съ сослагательнымъ наклоненіемъ, встрѣчается и частое сочетаніе того же союза съ изъявительнымъ наклоненіемъ. что̀ замѣчено нами послѣ того, когда уже было напечатано нѣсколько листовъ. Это двойное сочетаніе встрѣчается часто параллельно. Приводимъ нѣсколько примѣровъ подобнаго синтаксиса:

7, 15/19 ἵνα - - ἐξανύετε - - καὶ διδοῖ (κῶδ.). — 11, 39/41 ἵνα βαλ. μὴ καταπίπτομεν, ἀλλ' ἀντικρούομεν καὶ ἀντιπεμπόμεθα. — 19, 35/37 ἵνα ἀπηλλάγησαν. — 78, 8/9 ἵνα στηρίζεσθε καὶ κρατύνεσθε καὶ ἐναγωνίως ἔχητε. — 79, 2 ἵνα γινώσκω καὶ γινώσκομαι (κῶδ. P). — 93, 4/7 ἵνα - - καὶ φάγωμεν καὶ πίωμεν καὶ κοιμηθῶμεν καὶ διεγερθῶμεν καὶ ὁμιλήσωμεν καὶ προσχαριούμεθα. — 150, 31 ἵνα παραζηλοῦμεν (κώδικες PVΔ). — 151, 4/5 ἵνα παροξύνει ἢ παραπλήξει ἢ ὀνειδίσει (PVΔ). — 152, 1 ἵνα σκοτίζουσιν (Δ).— 179, 17 ἵνα μὴ - - - γίνεσθε.—192, 5/6 ἵνα - - παρακαλεῖται καὶ ἀγαθύνεται καὶ δυσωπεῖται. — 199, 12 ἵνα εἴρηται = λέγηται. — 238, 15/16 ἵνα ἐπιδείκνυμι. — 216, 1/4 ἵνα μὴ ὑπεραιρώμεθα, ἵνα μὴ φυσιούμεθα. — 303, 3/6 ἵνα - - - γινώσκηται - - - πολεμοῦμεν καὶ ἀποτρεπόμεθα. — 279, 5/6 ἵνα τοῖς καρποῖς πρόσεισι τὰ φύλλα. — 276. 38/40 ἵνα καταλογίζεται καὶ ἀποθησαυρίζεται (κῶδ. Δ). — 272, 26 ἵν' - - ἐλεήσετε, βοηθήσετε (κῶδ. Δ). — 247, 12/14 ἵνα μὴ καταισχύνωμεν (Δ καταισχύνομεν). ἀλλὰ - - - τελοῦμεν.

Τὸ *ἡνίκα* συντάσσει ὁ Θεόδωρος ἄνευ τοῦ ἂν καὶ μεθ' ὁριστικῆς καὶ μεθ' ὑποτακτικῆς· οἷον

Ἡνίκα Θеодоръ употребляетъ въ синтаксисѣ безъ ἂν, какъ въ изъявительномъ, такъ и въ сослагательномъ наклоненіи, напримѣръ:

149, 28 ἡνίκα ἤκασι. — 117, 30/31 ἡνίκα - - - ἀναλάβωμεν. — 133, 8 ἡνίκα ἀκούω. — 148, 23 ἡνίκα προτεθνήκατε. — 140, 25/26 ἡνίκα ἀπομονάσῃ - - - καὶ ἄρξηται. — 291, 5 ἡνίκα ἀκούσωμεν. — 300, 22/25 ἡνίκα ἥξει - - - καθίσῃ. — 157, 10 ἡνίκα ἀκούωσι καὶ μανθάνωσι. — 24, 18 ἡνίκα ἀκούητε. — 117, 30/31 ἡνίκα - - - ἀναλάβωμεν. — 55, 1 ἡνίκα φθάσῃ. — 78, 31/32 ἡνίκα παρέσχεν. — 219, 5 ἡνίκα παραπέμψωμεν. — 208, 32 ἡνίκα ἀκούωμεν.

Τὸ *μὴ* ἐν τῇ ἐννοίᾳ προτροπῆς μετ' ἀπαγορεύσεως, ὅπερ οἱ ἀρχαῖοι συνέταττον μεθ' ὑποτακτικῆς, ὁ Θεόδωρος συντάττει ἀδιαφόρως μικτῶς, καὶ μεθ' ὑποτακτικῆς καὶ μεθ' ὁριστικῆς· οἷον

Μὴ, въ смыслѣ поощренія съ запрещеніемъ, что̀ древніе сочетали съ сослагательнымъ наклоненіемъ, Θеодоръ употребляетъ безразлично—какъ съ сослагательнымъ, такъ и съ изъявительнымъ наклоненіемъ, напр.:

30, 8/11 ὑμεῖς μὴ κρῖμα ἑαυτοῖς θησαυρίζητε - - -, μὴ ἁμαρτίας - - - προστίθετε. 186, 18 μὴ ἀπολεσθαργεῖτε - - - μὴ παρακούεσθε - - μὴ ἀναισθητεῖτε - - - μὴ - - - ἐστὲ.

Τοιαῦτα παραδείγματα δύναταί τις νὰ συλλέξῃ πολυάριθμα ἐκ τῶν ἀνὰ χεῖρας κατηχήσεων. Οὐχ ἧττον ὅμως σημειώσεως ἄξιος εἶναι ὁ τόπος 36, 9/15. ἔνθα τὸ *μὴ* κεῖται δωδεκάκις μεθ' ὁριστικῆς· ἀλλ' ὁ καλλιγράφος τοῦ κώδικος Δ συνέταξε τοῦτο ὀκτάκις μεθ' ὑποτακτικῆς καὶ τετράκις μεθ' ὁριστικῆς, νομίσας ὅτι ὁ Θεόδωρος θὰ παρίστατο τὴν γλῶσσαν ἀττικός.

Множество подобныхъ примѣровъ можно найти въ наличныхъ катихизисахъ. Тѣмъ не менѣе достойно примѣчанія мѣсто 36, 9—15, гдѣ *μὴ* двѣнадцать разъ стоитъ съ изъявительнымъ наклоненіемъ; но переписчикъ кодекса Δ сочеталъ *μὴ* восемь разъ съ сослагательнымъ и четыре раза съ изъявительнымъ наклоненіемъ, думая, что Θеодоръ такъ долженъ былъ писать по аттически.

Μικτὴ σύνταξις παρατηρεῖται καὶ ἐν τῇ χρήσει τῶν *εἰ, εἰ μὴ, ἐὰν, εἴπερ, εἴτε εἴτε, ὅπως, ὡς ἄν, ἐπὰν* καὶ ἑτέρων.

Смѣшанный синтаксисъ виденъ и въ употребленіи слѣдующихъ: *ει, ει μὴ, ἐὰν, εἴπερ, εἴτε εἴτε, ὅπως, ὡς ἄν, ἐπὰν* и другихъ.

Παρατιθέμεθα ἐνταῦθα καὶ τὰ ἑξῆς χαρακτηριστικὰ παραδείγματα ἐκ τοῦ ὕφους τοῦ ἡμετέρου συγγραφέως.

Приводимъ и слѣдующіе характерные примѣры стиля нашего автора:

139, 22 ἢ ἐξ ἄλλοθι τόπου. — 140, 38 ἢ τὸ τίδε ἢ τὸ τίδε πρᾶγμα = τόδε ἢ τόδε τὸ πρᾶγμα. — 204. 21 οὔτ' ὑπ' - - - οὔτ' ὑπ' (οὕτως οἱ κώδ. ΡΔ). — 316, 7 εἰ τοίνυν ἄρα. — 290, 32/34 ὦ τάλανες - - - ὦ ἐκζητηταί - - - τολμᾷς. — 278, 20 Ἴδε ἀδελφοί μου. — 55, 20/21 Ἴδε οἱ εὐθεῖς τῇ καρδίᾳ, ἴδε οἱ θέλοντες ἀγωνίζεσθαι τὰ ὑψηλότερα, ἴδε οἱ μετὰ τῆς οἰκείας σωτηρίας κτλ. — 185, 41. 298, 27 δείσιμος = δεισίμων. — 233. 37 ἵνα μὴ ἀποτίννυτε. — 99, 5 ὀπηλίκας (κῶδ. ΡΔ) = πηλίκας. — 93, 1 δαψιλώτερον = δαψιλέστερον. — 70, 40 τῶν πασῶν κόπων καὶ σπουδῶν. — 73, 32 ποῦ μοι ὁ τίσδε καὶ τίσδε = ὁ τοιόσδε καὶ τοιόσδε; — 179, 27 καθήρθημεν = ἐκαθάρθημεν. — 45, 14/17 καὶ οὗτος ὁ καλὸς ἀγὼν ὑμῶν, καὶ οὗτος (= τοῦτο) τὸ μαρτύριον τῆς συνειδήσεως, καὶ οὗτος ἡ ἀθλητικὴ προκοπὴ ὑμῶν, καὶ οὗτος ἡ στεφανηφόρησις ὑμῶν. — 269, 37 μή ποτε εἴποισαν.

Μετὰ τοιαύτην λεκτικὴν καὶ συντακτικὴν ἀστασίαν τοῦ ἡμετέρου κειμένου δὲν ἠδύνατο βέβαίως ἢ νὰ προσκόψῃ πολλαχοῦ ἡ παροῦσα ἔκδοσις, καὶ μάλιστα ἐκεῖ, ἔνθα καὶ περιττῶς καὶ ἐκ μετεωρίας ἐγένοντο φωνητικαί τινες μεταβολαί. Μεθ' ὅλα ταῦτα ὅμως ἡ ἀνὰ χεῖρας δοκιμαστικὴ ἔκδοσις μέρους τῆς ἀνεκδότου Μεγάλης Κατηχήσεως τοῦ ὁσίου Θεοδώρου ἔδωκεν ἡμῖν ἀφορμὴν νὰ πιστωθῶμεν, ὅτι ἡ ἱστορία τῆς βυζαντινῆς καὶ νέας ἑλληνικῆς γλώσσης μέλλει νὰ ὠφεληθῇ μεγάλως ἐκ τῶν συγγραφῶν αὐτοῦ, ἂν συμβῇ ποτε πᾶσαι αὗται νὰ συνεκδοθῶσιν ἐν γνώσει τῶν παλαιοτέρων καὶ πιστοτέρων ἀντιγράφων· διότι πρέπει νὰ ὁμολογηθῇ, ὅτι καὶ τῆς μικρᾶς κατηχήσεως ἡ νεωτάτη ἔκδοσις καὶ ἡ παρὰ τῷ Migne καὶ Mai συγκέντρωσις τῶν λοιπῶν τοῦ Θεοδώρου πονημάτων παριστῶσι κείμενα πολλαχοῦ ἀναξιόπιστα ἐξ ἐπόψεως τοῦ πραγματικοῦ αὐτοῦ ὕφους.

Τοῦ ἑλληνικοῦ κειμένου τῆς ἀνὰ χεῖρας Μεγάλης Κατηχήσεως τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου ἡ ἐκτύπωσις καὶ τοῦ πρὸς αὐτὸ τοῦτο σχετιζομένου προλόγου ἡ σύνταξις ἀνετέθη παρὰ τῆς Αὐτοκρατορικῆς Ἀρχαιογραφικῆς Ἐπιτροπῆς τῷ Ἀ. Παπαδοπούλῳ-Κεραμεῖ.

Въ виду подобной, какъ лексической, такъ и синтаксической неустойчивости нашего текста, настоящее изданіе не могло достигнуть точности, а также избѣгнуть нѣкоторыхъ непослѣдовательностей, въ особенности тамъ, гдѣ фонетическія измѣненія болѣе многочисленны и, къ тому же, происходятъ отъ невниманія. Тѣмъ не менѣе настоящее предварительное изданіе не напечатанной еще части Большого Катихизиса преподобнаго Θеодора убѣждаетъ насъ, что для исторіи византійскаго и новогреческаго языка творенія нашего автора могутъ принести большую пользу, если удастся издать ихъ полностью на основаніи болѣе древнихъ и болѣе точныхъ списковъ. Ибо надо согласиться, что какъ новѣйшее изданіе Малаго Катихизиса, такъ и сводъ остальныхъ твореній св. Θеодора у Migne и Mai даютъ во многихъ мѣстахъ текстъ, не заслуживающій довѣрія съ точки зрѣнія подлиннаго стиля нашего автора.

Печатаніе Греческаго текста Большаго Катихизиса преподобнаго Θеодора Студита и составленіе предисловія къ изданію этого текста было возложено Императорскою Археографическою Коммиссіею на А. И. Пападопуло-Керамевса.

ΔΙΟΡΘΩΣΕΙΣ καὶ ΠΡΟΣΘΗΚΑΙ.

Σελ. 1, 20/21 θεοφανείων - - ἐπιφανείων] Ἡ γραφὴ τοῦ κώδικος θεοφανίων - - ἐπιφανίων οὖσα ὡσαύτως ἐν πολλῇ χρήσει δύναται ἐνταῦθα νὰ τηρηθῇ.

Σελ. 2, 4 παραπόληται] Γρ. παραπόλῃ κατὰ τὸν κώδικα.

Σελ. 4, 6 ἡμῶν, ἀπὸ] Τὸ μετὰ τὸ ἡμῶν κόμμα ὀβελιστέον || 35/37 εἰ μὴ εὐζωήσομεν - - εἰ μὴ εὐθετήσομεν, εἰ μὴ εὐτακτήσομεν] Τὸ πρῶτον εἰ μὴ εἶναι συντεταγμένον ἐν τῷ κώδικι μετὰ μέλλοντος ὁριστικῆς. τὰ δὲ δύο ἕτερα μετ' ἀορίστου ὑποτακτικῆς. Τὸ εἰ μὴ ἐνταῦθα σημαίνει τὸ ἐὰν μὴ, ἐὰν δὲν. ἂν δὲν ἢ ἂν μὴ· ἐν τοιαύτῃ δὲ σημασίᾳ ὁ Θεόδωρος τὸ εἰ μὴ συντάσσει μικτῶς, ἀλλὰ καὶ ἁπλῶς μεθ' ὑποτακτικῆς (οἷον σελ. 34. 36/37 «εἰ μὴ - - - ἐξιλεώσηται»).

Σελ. 6, 25/26 μαρτύριον τῆς συνειδήσεως] Πρβλ. Κορινθ. 2, α', 12.

Σελ. 7, 36/37 κατορθόσομεν - - ἐπειχθησόμεθα] Ἀνάγνωθι ὡς ἐν τῷ κώδικι κατορθώσωμεν - - ἐπειχθησώμεθα.

Σελ. 9, 9 ἐξόβλητοι] Γρ. ἐξώβλητοι.

Σελ. 10, 8 ἐπάραι] Γρ. ἐπᾶραι.

Σελ. 13, 42 Τὸ μετὰ τὸ Χριστοῦ κόμμα εἶναι περιττόν.

Σελ. 16. 2/3 παρεμβαλόντων] Γράφε κατὰ τὸν κώδικα παρεμβαλλόντων.

Σελ. 17, 23 ὑψηλότατον] Οὕτω διωρθώσαμεν τὸ ψιλώτατον ὁδηγηθέντες ὑπὸ τοῦ σλάβου ἑρμηνευτοῦ.

Σελ. 18, 13 διορθώσαιτο] Γρ. κατὰ τὸν κώδικα διορθώσηται.

Σελ. 22, 17 ψάλλη] Οὕτως ἐν τῷ κώδικι· γράφε ψάλῃ.

Σελ. 23, 8 ἐπὶ τὸ πτῶμα] Οὕτως ἐν τῷ κώδικι· προφανῶς διορθωτέον· εἰς ἐπὶ τῷ πτώματι || 15 μεθοδίας] Οὕτως ἐν τῷ κώδ. Γράφε μεθοδείας.

Σελ. 24, 17/18 ἀκούετε] Ἐπειδὴ τὸ ἡνίκα ἄνευ τοῦ ἂν ὁ Θεόδωρος συντάσσει συνεχῶς μεθ' ὑποτακτικῆς, ἀναγκαίως ἔχει νὰ τηρηθῇ καὶ ὧδε τὸ τοῦ κώδ. ἀκούητε.

Σελ. 28, 41/42. Τὸ μετὰ τὸ Θεολόγου κόμμα περιττεύει.

Σελ. 30, 27 πεπόκατε] Οὕτως ἐν τῷ κώδ. Γράφε πεπώκατε || 29 Πρὸ τοῦ κοινὸν θὲς ἓν κόμμα.

Σελ. 31. 3 καταπίει - ἐξαρπάσει] Οὕτως ἐν τῷ κώδικι· γράφε καταπίῃ - ἐξαρπάσῃ. Ἐν τῇ ὑποσημειώσει ἀντὶ τοῦ οὐατικανῆς ἀνάγνωθι παρισινῆς.

Σελ. 32, 23 θεοῦ τὸ δῶρον] Πρβλ. Ἐφεσ. β', 8.

Σελ. 33. 27/28 συμβασιλεύσωμεν] Οὕτως ἐν τῷ κώδ. Γρ. συμβασιλεύσομεν.

Σελ. 36. 18 ἀπῄει] Γράφε ἀπείη. Ἐν τοῖς κώδιξι ΡΔ ἀπίη· || 42 Τὸ μετὰ τὸ ἀναγγείλαντα κόμμα περιττεύει.

Σελ. 39. 31 παράξηται] Γρ. παρατάξηται. Ὅρα ψαλμ. κς', 3.

Σελ. 42, 8 πέποκεν] Οὕτως ἐν τῷ κώδ. Γρ. πέπωκεν.

Σελ. 43, 34/36. Στίξον οὕτω: «ὁμιλίαν, τί καὶ πῶς - - - ἐμπορευσόμεθα εἰς - - - οὐρανῶν· καὶ γὰρ» κτλ.

Σελ. 44, 14 προῤῥιζῶν] Γρ. πρόῤῥιζον.

Σελ. 45, 19 μαλάκια] Γράφε κατὰ τὸν κώδικα μηλάκια ἢ μιλάκια || 33 οὐ] Οὕτως ἐν τῷ P. κατὰ δὲ τὸν κώδ. Δ ἀντὶ τοῦ οὐ γράφε οἱ, καὶ οὕτω θες ἓν κόμμα μετὰ τὸ τρέχοντες.

Σελ. 47, 9 ἵνα] Τοῦτο ὑπάρχει ἐν τῷ κώδικι, καὶ ἂν εἶναι ἀναγκαῖον, δέον μετ' αὐτὸ νὰ ὑπονοηθῇ τὸ ἐνέγκωμεν || 13 ἔχομεν] Οὕτως ἐν τῷ κώδικι, τὸ δὲ ἐνέγκωμεν ὁδηγεῖ νὰ γράψωμεν ἴσως ὧδε ἔχωμεν.

Σελ. 52, 17. Ὀβέλισον τὸ μετὰ τὸ ἀσθενοῦσιν περιττὸν κόμμα.

Σελ. 54, 14 παρεαθέντων] Ἀνάγνωθι κατὰ τὸν κώδικα παρεθέντων· πρβλ. 124, 9. 134. 15 || 15/30 Τὰ ἐνταῦθα κατὰ τὸν κώδικα τεθειμένα ἐρωτηματικὰ σημεῖα ἁρμόζει νὰ μεταβληθῶσιν εἰς ἁπλᾶ κόμματα, διότι αἱ μεταξὺ αὐτῶν φράσεις ἐξαρτῶνται ἐκ τοῦ ἢ καὶ τῇ ἀναλογίσει (15)· συνέβησαν δὲ κατὰ τὴν τύπωσιν καί τινα παραναγνώσματα. Τὸ χωρίον 19—30 ἀνάγνωθι οὕτως· «-- ἀπαγωγῇ (ἐν τῷ κώδ. ἀπαγωγῆς) τε τῶν ἀγγέλων - - - καὶ λόγον, ποῦ καὶ πῶς ἄρα εὑρεθήσεται ἡ ψυχὴ ἡ ταπεινή, καὶ εἰ ἄρα - - - παραστάσει, καὶ εἰ ἄρα - - - Ἀβραάμ, καὶ εἰ ἄρα ἐν τῷ θείῳ νυμφῶνι· ἢ μήπως (ὅπερ ἀπείη) μετὰ τῶν ἐρίφων - - - ἀγγέλοις αὐτοῦ».

Σελ. 55, 6 εἰσὶ δ' ἄλλοι, οἳ] Γρ. εἰσὶ δ' ἄλλοι οἱ || 11 πεποκότες] Οὕτως ἐν τῷ κώδικι· γρ. πεπωκότες || 32 διεξωδικώτερον] Οὕτως ἐν τῷ κώδικι· γρ. διεξοδικώτερον.

Σελ. 56, 1 φθάσει] Γράφε κατὰ τὸν κώδικα φθάσῃ, διότι αὐτὸς ὁ Θεόδωρος συντάσσει πολλάκις τὸ ἡνίκα ἄνευ τοῦ ἂν μεθ' ὑποτακτικῆς.

Σελ. 57, 3 εὐανδρεία] Γρ. εὐανδρίας || 29 ᾖ] Γρ. ᾖς· οὕτω καὶ ἐν τῷ κώδικι. Πρβλ. Ἐφεσ. δ', 1 «Παρακαλῶ· οὖν ὑμᾶς - - - - ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε».

Σελ. 58, 24 πως ποτὲ] Γρ. πώς ποτε || 36 χρήσεως] Οὕτως ἐν τῷ κώδικι, ἀλλ' ἀνάγνωθι χρίσεως || 36/41 τί οὖν τὸ ἔλαιον καὶ - - - μελλόντων;] Τὸ καὶ τοῦτο ἔχει καὶ ὁ σλάβος ἑρμηνευτής· ἀλλ' εἶναι περιττὸν κατὰ τὸν κώδικα V· διὸ στικτέον οὕτω· «τί οὖν τὸ ἔλαιον; ἡ ὑπόμνησις - - - μελλόντων».

Σελ. 61, 4 τοῦ θεοῦ] Οὕτως ἐν τῷ κώδικι, ἀλλὰ γράφε τῷ θεῷ.

Σελ. 62, 43 εἴκετε] Οὕτως ἐν τῷ κώδικι. γράφε δὲ ἥκετε.

Σελ. 63, 8 Θὲς κόμμα μετὰ τὸ ἐκκλησίας· θὲς ὡσαύτως κόμμα μετὰ τὸ ἀπερρίψατε (20) καὶ ἄνω τελείαν μετὰ τὸ θαυμαστόν (19) || 22 τούτους] Γρ. τούτοις || 33 ἔχω, ὅπερ ἔχω"] Γρ. ἔχω ὅπερ ἔχω, τὰ δὲ εἰσαγωγικὰ σημεῖα θὲς μετὰ τὸ δεύτερον οὕτως (36) || 41/42 ἀτιμωτέρᾳ] Οὕτως ἐν τῷ κώδικι· γρ. ἀτιμοτέρᾳ.

Σελ. 64. 17 "ἀλλ' οὐχ ὅτι καὶ - - - κατακυλίονται"] Γρ. ἀλλ' οὐχ ὅτι "καὶ - - - κατακυλίονται";

Σελ. 65, 13 ἡμῶν] Οὕτως ἐν τῷ κώδικι τῆς Πάτμου· γρ. ὑλῶν κατὰ τὸν κώδικα Δ.

Σελ. 66, 8 μικρὰν] Οὕτως ἐν τῷ P· τὸ Δ ὀρθῶς ἔχει ἀντὶ τούτου τὸ πικρὰν || 21 σταματίσοιτε] Τοῦτο οὕτως ἐν τῷ P, ὁ δὲ κῶδιξ Δ ἔχει ἀντὶ τούτου τὸ βηματίσοιτε.

Σελ. 68, 20 Γρ. δοκεῖτέ με || 26 ἀναλογίαν] Οὕτως ἐν τῷ P, ἀντιλογίαν κατὰ τὸ Δ.

Σελ. 69, 12 παρίειμι] Οὕτως ἐν τῷ κώδικι, γράφε δὲ παρίημι.

Σελ. 72, 10 ἐπιμείνοιμεν] Οὕτως ἐν τῷ κώδικι· γρ. ἐπιμένοιμεν.

Σελ. 80, 13 γάννυνται] Οὕτως ἐν τοῖς PVΔ, γρ. γάνυνται.

Σελ. 82, 6/7. Πρβλ. Παροιμ. γ', 28 || 38 ὑμῶν] Οὕτως ἐν τοῖς PΣ, ἐν δὲ τῷ V ἡμῶν· ὅπερ ὅμως διορθωτέον εἰς ἡμῖν.

Σελ. 83, 1 ἐφανερώθη ἐν σαρκί, ὤφθη ἐν κόσμῳ] Τιμοθ. 1, γ', 16 || 41 ὑποδήσομαι] Οὕτως ἐν τῷ P· γρ. ὑποδύσομαι κατὰ τὸν κώδικα V.

Σελ. 85, 25 εἰπῶν] Γρ. εἰπὼν.

Σελ. 87. 6 Τὸ μετὰ τὸ καθαγιασθῇ κόμμα περιττεύει, ὡσαύτως τὸ μετὰ τὸ Λάζαρος (29).

Σελ. 88, 9, φύσεως] Γρ. φύσεων.

Σελ. 89, 31 ἐν ἡμῖν] Ἀνάγνωθι ἓν ἡμᾶς.

Σελ. 90, 12 ἄβαλε] Οὕτω ΡΔ, γρ. ἀβάλε.

Σελ. 91, 7 Ἀπάλειψον τὸ μετὰ τὸ πέπονθεν κόμμα καὶ τὸ μετὰ τὸ Καΐάφα (10)· κόμμα δὲ θὲς μετὰ τὸ ἐμπαιζόμενος (11) καὶ μετὰ τὸ ἀπόγευσιν (36) || συνανοίσομεν] Γράφε κατὰ τοὺς κώδικας συνανοίσωμεν.

Σελ. 92, 31 κατὰ] Γρ. κακὰ || 43 Ἀντὶ τοῦ 18 γρ. 15.

Σελ. 94, 27 αὐτὸν] Γρ. αὐτὸν || 30 νῦν] ἦν κατὰ τὸν κώδικα Δ || 32 ἀπελογίσασθαι] Οὕτω ΡΔ. γρ. ἀπελογήσασθε.

Σελ. 97, 7 εὐθυνοῦντο] Γρ. εὐθηνοῦντο || 38/39 πεποκέναι] Οὕτως ἐν τῷ Ρ, γρ. πεπωκέναι.

Σελ. 100, 5 τούτου] Γρ. τοῦτο κατὰ τὸν κώδικα· πρβλ. σ. 101, 16/17. 114, 7 || 40 Γρ. σὰρξ τὸ αὐτὸ τοῖς - - - παινομένη ἀνάγκη || 43 ὑποπιάσατε] Οὕτω ΡΔ. Γρ. ὑπωπιάσατε || 45 Ῥωμ. ιγ', 14] γρ. Κορινθ. 1, θ', 27.

Σελ. 101, 12 γερόντικὸν] Γράφε Γεροντικόν, διότι νοεῖται ὧδε τὸ οὕτω καλούμενον βιβλίον.

Σελ. 102, 26 γραμματοφόρους] Οὕτω καὶ Fabricius· ἀλλ' ἐπειδὴ οἱ κώδικες ΡΔ ἔχουσιν ἀντ' ἐκείνου τὸ γραμματιφόρους, δέον τοῦτο ἁπλῶς νὰ διορθωθῇ εἰς γραμματηφόρους· ἄλλως δὲ ὁ Θεόδωρος ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ χρῆται μόνον τῷ τύπῳ τούτῳ || 27 διαλείπητε] Οὕτως ἐν τῷ Ρ, γρ. διαλίπητε || 28 ἔχῃ] Οὕτως ἐν τῷ Ρ, γρ. ἔχει.

Σελ. 105, 5 ἀσπασόμεθα] Γράφε κατὰ τὸν κώδικα ἀσπαζώμεθα.

Σελ. 107, 18. Μετὰ τὸ τέκνα θὲς τὸ ἐρωτηματικὸν σημεῖον.

Σελ. 109, 11 υἱὸς ἀπειθείας] Πρβλ. Ἐφεσ. β', 2. ε', 6. Κολοσ. γ', 6 || 11/12 υἱὸς τοῦ σκότους] Πρβλ. Θεσσαλ. ε', 5.

Σελ. 111, 8 ἀμαράντινον στέφανον τῆς δικαιοσύνης] Πρβλ. Πέτρου ἐπ. 1. ε', 4. Τιμοθέῳ 2, δ', 8 || 9 μισθαποδότου] Πρβλ. Ἑβρ. ια', 6 || 15/17 Γρ. ἐπέχομεν, ἢ - - - ἐντάλματα;

Σελ. 115, 9 Γρ. (δυνατὸν γάρ ἐστιν) || 12 Ἀπάλειψον τὴν μετὰ τὸ κατορθώμασι παρένθεσιν || 28 Γρ. λῦπαι.

Σελ. 116, 10 Κς'] Γρ. Δς'.

Σελ. 120, 27/28 "ἕκαστος δὲ ἴδιον χάρισμα ἔχει"] Κορινθ. 1, ζ', 7.

Σελ. 121, 24 ἀπῄει] Γρ. ἀπείη.

Σελ. 123, 15/17 "οὗτος ὁ λαὸς - - - σέβονταί με"] Ἡσαΐου κθ', 13. Μάρκου ζ', 6 || 25 Γρ. ἐπιτυχεῖν χάριτι κτλ.

Σελ. 125, 5 Ἀπάλειψον τὸ μετὰ τὸ χρεία περιττὸν κόμμα || 32 ἡμῶν] Οὕτως ἐν τῷ κώδικι· γρ. ὑμῶν.

Σελ. 128, 21/25 Γράφε οὕτως· "εἰ δὲ καὶ φθονεῖ τις τὸν φθόνον, ἢ ἐρίζει τὴν ἔριδα, ἢ μάχεται τὴν μάχην, ἢ ἀργεῖ τὴν ἀργίαν, ταῦτα καὶ τὰ τοιαῦτα τοῦ σκότους ἔργα" κτλ.

Σελ. 131, 3 σχέσεως] Γρ. σχέσεων || 35 Ἀπάλειψον τὸ μετὰ τὸ πολέμῳ περιττὸν κόμμα.

Σελ. 133, 9 Ἀπάλειψον τὸ μετὰ τὸ Παύλου κόμμα.

Σελ. 134, 15 παρελθόντος] Ἀνάγνωθι κατὰ τὸν κώδικα παρεθέντος καὶ πρβλ. σ. 124, 29, ἔνθα καλῶς ἀφέθη τὸ παρεθέντων || 39 ἐτι] Γρ. ἔτι.

Σελ. 139, 16 Εὔαν] Οὕτως ἐν τῷ κώδικι· γρ. Εὖαν.

Σελ. 140, 20 συγκαθείσθω] Οὕτως ἐν τῷ κώδικι· γρ. συγκαθήσθω || 37 ἀφελφοί] Γρ. ἀδελφοί.

Σελ. 141, 14 Ἀνάγνωθι μεταπίπτοντας ὡσὰν (=ὥσπερ) || 19 Γρ. αὐτοὺς ἢ || 20 ἡμέτερον] Οὕτω ΡΣ· γρ. ὑμέτερον || 21 Γρ. φεύγοντες τὰ αἴτια || 23 ἡμῶν] Οὕτω ΡΣ· γρ. ὑμῶν || 37/38 Γρ. διηλλάγημεν ἐν τῇ π. τ. εἰσελθόντες; || 41 Μετὰ τὸ Τετραδοπαρασκευαῖς ἀντὶ τοῦ ἐρωτηματικοῦ σημείου θὲς ἁπλῶς τελείαν στιγμήν.

Σελ. 145, 24/25 Γρ. ἐκείνων ὡς φιλάνθρωποι, καθὼς χρὴ εὐξώμεθα κτλ.

Σελ. 146, 10 Γρ. ἐπειχθήτω προκόπτων || 27 τῶν οἰκείων] Οὕτως ἐν τῷ Ρ, κατὰ δὲ τὸ Δ γραπτέον τὸν οἰκεῖον.

Σελ. 147, 15 οὐ] Γρ. οὗ || 25 Γρ. τόσων κατάσχεσις.

Σελ. 150. 32 Γρ. ζωοποιά.

Σελ. 152, 22 θεοῦ τὸ δῶρον] Πρβλ. Ἐφεσ. β', 8.

Σελ. 153, 36 ὑποτιθέναι] Ἀνάγνωθι κατὰ τὸν κώδικα ὑποτιθεῖν. Ὁ Θεόδωρος χρῆται καὶ ἀλλαχοῦ τῷ τύπῳ τιθέω.

Σελ. 154. 17 ἔνθεσιν] Γρ. ἔθνεσιν.

Σελ. 155, 39 ὑμῖν] Οὕτως ἐν τῷ κώδικι· γρ. ἡμῖν || 42 εἰσοικήσονται] Οὕτως ἐν τῷ κώδικι· γρ. εἰσοικίσονται.

Σελ. 161, 7 βιωτεύουσι] Οὕτως ἐν τῷ κώδικι· γρ. βιοτεύουσι.

Σελ. 173, 42 αὐτοῦ] Γρ. αὐτοῦ.

Σελ. 175, 1 φανεῖ] Οὕτως ἐν τῷ κώδικι· γρ. φανῇ.

Σελ. 176. 11/12 λειποτακτιτῶν] Οὕτως ἐν τῷ κώδικι· γρ. λιποτακτιτῶν || 19 λειποταξίῳ] Οὕτως ἐν τῷ κώδικι· γρ. λιποταξίῳ || 32 ὑμῶν] Οὕτως ἐν τῷ κώδικι καὶ ἐν τῷ σλαβικῷ· γρ. ἡμῶν.

Σελ. 177, 30 διβολήματα] Ἡ λέξις αὕτη μὴ εὑρισκομένη ἐν τοῖς λεξικοῖς ἦτον ἡμῖν πρότερον ἀκατάληπτος· ἀλλ' ἐμάθομεν ὕστερον ὅτι σῴζεται καὶ σήμερον ἐν Κύπρῳ ὑπὸ τὴν μορφὴν διβόλισμα = binage· διὸ τὸ ἐν ὑποσημειώσει διστακτικῶς γραφὲν διβωλήματα εἶναι ἀνωφελές.

Σελ. 181, 31 πῶς προηγεῖσαι] Τηρητέος ὧδε ὁ ἐν τῷ κώδικι ὑποτακτικὸς τύπος προηγῆσαι· διὰ τὴν τοιαύτην τοῦ πῶς συντακτικὴν χρῆσιν πρβλ. Μάρκ. ιδ'. 11 || 40 Τὸ μετὰ τὸ πράσσων κόμμα περιττεύει.

Σελ. 182, 34 πολὺς] Γρ. πολύ.

Σελ. 183, 27 Τὸ μετὰ τὸ ὑμῶν κόμμα εἶναι περιττόν.

Σελ. 184, 11 οἰκείας] Οὕτως ἐν τῷ κώδικι· γρ. οἰκίας.

Σελ. 186, 32 Γρ. ἆρα.

Σελ. 187, 7 Γρ. ἄγγελοι.

Σελ. 192, 9/11 Γρ. τίς ἆρα - - - ἡμῖν. πάντων κτλ.

Σελ. 193, 39 Γράφε κατὰ τὸν κώδικα φυλάξοι.

Σελ. 201. 25 Γράφε κατὰ τὸν κώδικα λογοθετεῖται.

Σελ. 202, 2/3 φωτεινώτεροι] Οὕτως ἐν τοῖς κώδ. ΡΔ· γρ. φωτεινότεροι.

Σελ. 203, 5 προσαγορεύσει] Οὕτως ἐν τῷ Ρ, ἀλλ' ὀρθῶς ἐν τῷ Δ προσαγορεύει.

Σελ. 205, 34. Ἐν τῷ κώδ. Ρ φυλάξοι, στηρίξοι. βραβεύσοι. Ἐν τῷ Δ φυλάξει, στηρίξει, βραβεύσει.

Σελ. 207, 21 Γράφε κατὰ τὸν κώδικα εὐθερία.

Σελ. 219, 40—220, 2 Ἀνάγνωθι οὑτω· «περιβλεπόμενος καὶ κατασκοπούμενος τίς ἆρα καὶ ποταπὴ ἡ κατάστασις αὐτῶν, - - - ἐν ὁδῷ ἀμώμῳ. οἴδατε» κτλ.

Σελ. 222, 21 ξηροκητείαις] Οὕτως ἐν τῷ κώδικι· γρ. ξηροκοιτίαις || 25 ῥακκοδυσίᾳ] Οὕτως ἐν τῷ κώδικι· γρ. ῥακοδυσίᾳ.

Σελ. 223, 33, 34 καὶ 35 ἄρα] Οὕτω τρὶς ἐν τῷ κώδικι· γρ. ἆρα.

Σελ. 225, 9 μεταιωρίζει] Οὕτως ἐν τῷ κώδικι· γρ. μετεωρίζει.

Σελ. 227, 15/16 Γρ. ὄφεως τῶν ἡδονῶν τὰς πτέρνας || 26/27 Γρ. αἰῶνα"· δι' οὗ τινος - - - πτῶσις. οἱ κοπιῶντες κτλ.

Σελ. 230, 4. πλυθύος] Γρ. πληθύος.

Σελ. 235. 31 ὑμᾶς] Οὕτως ἐν τῷ κώδικι· γρ. ἡμᾶς. Πρβλ. 235, 25 || 41 ὑμῖν] Οὕτως ἐν τῷ κώδικι· γρ. ἡμῖν || 42 κεκραμμένης] Οὕτως ἐν τῷ κώδικι· γρ. κεκραμένης.

Σελ. 237, 7 Γρ. αὐτόν.

Σελ. 239, 13, 14, 40 ὑμῖν] Οὕτως ἐν τῷ κώδικι· γρ. ἡμῖν.

Σελ. 240, 14. Ἀντὶ τῆς τελείας στιγμῆς θὲς κόμμα μετὰ τὸ κατακαμπτόμεθα || 28 ὑμᾶς] Οὕτως ἐν τῷ κώδικι· γρ. ἡμᾶς.

Σελ. 248, 9 ἄκραις] Οὕτως ἐν τῷ κώδικι Ρ, ἀλλ' ἀναγνωστέον κατὰ τὸ Δ αὔραις.

Σελ. 249, 39 Γρ. ἀσπάζεται τὴν ταπείνωσιν.

Σελ. 252,7/12. Στίξον οὕτω· «- - - ῥᾳθυμοτέρων; ἢ πάλιν - - Προκοπίου; καὶ» κτλ. | 8 εἰσπηδόντων] Οὕτως ἐν τῷ κώδικι· γράφε εἰσπηδώντων || 17 ἐνεργίᾳ] Οὕτως ἐν τῷ κώδικι· γρ. ἐνεργείᾳ || 28 ὄντως] Οὕτως ἐν τῷ κώδικι· γρ. ὄντος.

Σελ. 258, 36 ἐπίστασθε (κῶδ. ἐπίσταται) τίνες εἰσὶν] Γράφε ἐπιστάται τινές εἰσιν.

Σελ. 267, 6 Τὸ μεταξὺ τῶν κερδαίνειν ἔτι κόμμα περιττεύει.

Σελ. 269, 2 καταγίνοισθε (κῶδ. καταγίνοισθαι)] Γρ. καταγίνεσθαι || 17 ἀγγογγύστου] Γρ. ἀγογγύστου.

Σελ. 270, 34/35 ὑμᾶς - - - ὑμῶν] Οὕτως ἐν τῷ κώδικι· γρ. ἡμᾶς - - - ἡμῶν.

Σελ. 271, 13/14 Γράφε ἔξω γ. τ. ῥ. εἰπών, ἐν ὀδύνῃ κτλ.

Σελ. 273, 37 θέλγημα] Οὕτως ἐν τῷ P, κατὰ δὲ τὸν κώδ. Δ ἀνάγνωστέον θέλημα || 43 ῥακκοδυτῇ] Οὕτως ἐν τοῖς κώδιξι· γρ. ῥακοδυτῇ.

Σελ. 278, 28 Γρ. πηγή τίς ἐστι.

Σελ. 281, 28 "συνταράσσων τὸ κύτος"] Ψαλμ. ξδ', 8.

Σελ. 282, 21/22 "ὑπήκοος γενόμενος τῷ θεῷ καὶ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ"] Φιλιπ. β', 8.

Σελ. 284, 8 τετριμμένον] Οὕτως ἐν τῷ κώδικι· γρ. τετρημένον || 8 εἰς πίθον τετρημένον ἀντλοῦντες] Πρβλ. Corp. paroem. II, σ. 752.

Σελ. 285, 13 παρθενίας καὶ ἀκτημοσύνης] Οὕτως ἐν τῷ P· ἀλλὰ κατὰ τὸ Δ ἀνάγνωθι παρθενίαν καὶ ἀκτημοσύνην || 20 ὑμῶν] Οὕτως ἐν τοῖς κώδιξι PΔ, ἀλλ' ἀνάγνωθι ἡμῶν || 38 ἐπαρθείημεν] Οὕτως ἐν τῷ P, ἐν δὲ τῷ κώδ. Δ ὀρθῶς ἐποφθείημεν.

Σελ. 286, 2 τέκνον] Οὕτως ἐν τῷ P, κατὰ δὲ τὸ Δ ἀνάγνωθι ὀρθῶς τέκτων· ἐν τῷ σλαβικῷ зплатарь || 21 ἀσυντύχως] Οὕτως ἐν τῷ P, κατὰ τὸ Δ ὀρθῶς ἀσυγχύτως || 22 τοῦ ἀπὸ τοῦ] Γρ. ἀπὸ τοῦ.

Σελ. 288, 39 ἀπωλέσειε] Οὕτως ἐν τῷ κώδικι· γρ. ἀπολέσειε.

Σελ. 289, 4 ἀγγέλλου] Γρ. ἀγγέλου || 13/14 τοιτον] Γρ. τοιοῦτον.

Σελ. 291, 9 ἐπὶ τοῦτο] Οὕτως ἐν τοῖς κώδιξι· γρ. ἐπὶ τούτῳ.

Σελ. 292, 5 δελφοί] Γρ. ἀδελφοί.

Σελ. 293, 30 ἀπαρτῆσαι] Οὕτως ἐν τῷ κώδικι· γρ. ἀπαρτίσαι.

Σελ. 295, 22 ἀξιούμεθα] Γράφε ἠξιώμεθα κατὰ τὸν κώδικα, ὃν βεβαιοῖ καὶ τὸ Δ.

Σελ. 299, 20/21 βιωτεύσωμεν] Οὕτως ἐν τῷ κώδικι· γρ. βιοτεύσωμεν.

Σελ. 301, 11 ἄρα] Γράφε ἆρα || 15 Γράφε ἀπαυθαδιάσωμεν· ἐν τῷ κώδ. ἀπαυθαδειάσωμεν.

Σελ. 304, 28 γονυκλησίας] Οὕτως ἐν τῷ κώδικι· γρ. γονυκλισίας.

Σελ. 305, 42 ἀγαθοσύνην] Οὕτως ἐν τῷ κώδικι· γράφε ἀγαθωσύνην.

Σελ. 310, 8 Γρ. πρεσβῦται.

Σελ. 312, 3 Γρ. οἷοις.

Σελ. 319, 6 κατεπίσταται] Οὕτως ἐν τῷ κώδικι.

Σελ. 322, 11. Τὸ μεταξὺ τῶν μυρίας μεμεστωμένου κόμμα περιττεύει.

Σελ. 325, 20 ἀπόλωλεν ὡς εἰπεῖν μετ' ἤχου καὶ τοῦ μνημονεύεσθαι] Πρβλ. Ψαλμ. θ', 7.

Σελ. 326, 40 'Ανάγνωθι (κατὰ τὸν κώδικα) ἐγκυλινδούμενοι.

Σελ. 331, 23/24 γινήσεται] Γρ. γενήσεται; || 34 πεποίωται] Οὕτως ἐν τοῖς κώδιξι· γρ. πεπύωται.

Σελ. 343, 34/35 ἄρα] Οὕτως ἐν τῷ κώδικι· γρ. ἆρα || 38 τῷ δοκεῖν] Οὕτως ἐν τῷ κώδικι· γρ. τὸ δοκεῖν.

Σελ. 345, 40 Γρ. ἀπώλειαν, καὶ οὐχ ἕξει ὅθεν κτλ.

Σελ. 347, 25 ἂν εἴπωμεν] Οὕτως ἐν τῷ κώδικι· γράφε ἁπλῶς εἴπομεν, τὸ δὲ ἂν ὀβελιστέον.

Σελ. 350, 20/21 «ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ»] Ἡσαΐου α', 3.

Σελ. 354, 1/2 συνήλθετε] 'Ανάγνωθι συνεξήλθετε.

Σελ. 357, 21 μανδίου] Οὕτως ἐν τῷ κώδικι· γράφε μανδύου. Ἐν τῇ ὑποσημειώσει ἀντὶ τοῦ ἀριθμοῦ 1 γράφε 41.

Σελ. 359, 31 εὐανδρείας] Οὕτως ἐν τῷ κώδικι· γράφε εὐανδρίας, ὡς ἐν σελίδι 373, 20/21.

Σελ. 361, 2 ζημειωθῇ] Οὕτως ἐν τῷ κώδικι· γράφε ζημιωθῇ || 30 εἰ καὶ ἕτερα] Οὕτως ἐν τῷ κώδικι· γράφε ἢ καὶ ἕτερα.

Σελ. 363, 20/21 σὺν τῆς - - ἀγαθῆς καὶ ἱερᾶς προθυμίας] Οὕτως ἐν τῷ κώδικι· περὶ δὲ τῆς τοιαύτης συντάξεως τοῦ σὺν μετὰ γενικῆς ὅρα A. N. Jannaris, An historical greek grammar. London 1897, σ. 396, § 1670 || 29 πατέρες] Ἀνάγνωθι πατέρας.

Σελ. 364, 27 Τὸ μετὰ τὸ ἄξιοι κόμμα περιττεύει.

Σελ. 365, 34/36 Μετὰ τὸ ἀδελφοὶ καὶ τὸ ἅγιον θὲς σημεῖον ἐρωτηματικόν.

Σελ. 385, 11 ἠλάττομαι] Γράφε κατὰ τὸν κώδικα ἠλάττωμαι, τὴν δὲ περὶ τούτου παρασέλιδον ἐκ μετεωρίας σημείωσιν ἀπόσβεσον.

Σελ. 386, 5 σαθρωμένους] Οὕτως ἐν τῷ κώδικι· γράφε σαθρουμένους.

Σελ. 392, 29 ἐσχατότεροι] Γράφε κατὰ κώδικα ἐσχατώτεροι.

Σελ. 400, 13. Τὸ μετὰ τὴν λέξιν κράτος κόμμα περιττεύει.

Σελ. 405, 15 γλιχόμεθα υἱοθεσίαν καὶ βασιλείαν] Οὕτως ἐν τῷ κώδικι P, ἐν δὲ τῷ κώδ. Δ γλιχ. υἱοθεσίας καὶ βασιλείας.

Σελ. 408, 25/26 μυοπάζομεν] Ἐν τῷ κώδικι μυοπάζωμεν· γράφε μυωπάζομεν.

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΘΕΟΔΩΡΟΥ

ΗΓΟΥΜΕΝΟΥ ΤΩΝ ΣΤΟΥΔΙΟΥ

ΛΟΓΟΙ ΚΑΤΗΧΗΤΙΚΟΙ ΠΡΟΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΜΑΘΗΤΑΣ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

ΚΑΤΗΧΗΣΙΣ Α'.

Ὅτι χρὴ ἡμᾶς μὴ ἀδιαφόρως ζῆν, ἀλλὰ προσέχειν ἑαυτοὺς καὶ ἐν ἑτοιμασίᾳ εἶναι τὸ καθ' ἑκάστην.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, εἰ μὲν περὶ ἄλλου τινὸς ἡμῖν τῶν σωματικῶν καὶ γηίνων ἦν ὁ ἀγών, ἠρκούμεθα ἂν τυχὸν ἕως τοῦ παρόντος πολλάκις λαλήσαντες τὸ ὀφειλόμενον ἀποπληρῶσαι· ἐπεὶ δὲ περὶ ψυχῆς ἐστιν ὁ λόγος τῆς ἀθανάτου καὶ ἀθάνατα κολασθησομένης ἢ ἐπαινεθησομένης, δι' ἀρετὴν ἢ κακίαν, ὡς ἔφη τις τῶν ἁγίων, ἀναγκαῖον πρὸς τοῖς λαληθεῖσι καὶ ἔτι λαλῆσαι, καὶ πρὸς τοῖς κατηχηθεῖσι καὶ ἔτι κατηχῆσαι, καὶ τοῦτο μέχρις ἂν ἐμπνέωμεν, ἵνα οὕτω δυνηθείημεν περισῶσαι τὰς ἑαυτῶν ψυχὰς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος, πονηροῦ ὄντος, κατὰ τὰς ἐπιφορὰς τῶν ἀοράτων ἐχθρῶν.

Διήλθομεν τοίνυν, τέκνα, καὶ τὰς ἤδη ἐπιγενομένας ἑορτάς, τῶν τε θεοφανείων φημὶ καὶ ἐπιφανείων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὁ χρόνος παριππεύων ἐστὶ καὶ ἕλκων ἡμᾶς πρὸς τὸ πέρας τῆς παρουτίκα ζωῆς. τίς οὖν, ὡς πολλάκις λέγομεν, φρονῶν ὑπάρχει, ἵνα μὴ παραπόληται τὸν χρόνον ἐν τῇ ἀδιαφόρῳ ζωῇ καὶ ἐν τῇ κακοτεχνίᾳ τῶν τοῦ διαβόλου πανουργευμάτων; τίς προσέχων πορεύεται, μὴ ὑποσυρόμενος τῇ ἀμελείᾳ, ἀλλ' ἐν ἑτοιμασίᾳ τοῦ θανάτου τὸ καθ' ἑκάστην συνέλκων ἑαυτὸν καὶ συμπαριστῶν καθαρὸν αὐτοῦ τὸ ἔργον, τό τε πνευματικὸν καὶ σωματικόν, κατὰ πρόσωπον τοῦ παντοκράτορος θεοῦ; τίς οὖν ἐστιν αἴρων τὸ ὄμμα τῆς ψυχῆς αὐτοῦ ἄνω εἰς τὸν οὐρανὸν καὶ ἐπιβλέπων τὰ κάλλη τῶν ἐκεῖ θεαμάτων ἀμυδρῶς πως, καὶ ὅλον τὸν ἔρωτα μετατιθέμενος πρὸς τὴν ἐκεῖσε ἐπιθυμίαν καὶ συμμετεωροπορούμενος ταῖς ἀνωτάτω δυνάμεσι, καὶ πρὸς ταῦτα μηδὲν ἡγούμενος ἐπαχθές, ἀλλὰ φέρων καὶ ὕβριν καὶ ἐξουδένωσιν καὶ κακοπάθησιν, πεῖνάν τε καὶ δίψαν, ψῦχός τε καὶ θάλπος, καὶ κυλιόμενος ἐν μέσῳ τῆς

15 κῶδ. *ἐμπνέομεν.* 20 κῶδ. *θεοφανίων.* 21 κῶδ. *ἐπιφανίων.*

1 κῶδ. *παριπεύων.* 4 κῶδ. *παραπόλη.* 15 κῶδ. *πῶς.* 18 κῶδ. *ἐπαχθείς.* 20 κῶδ. *ψύχος.* 21/1 Ζαχαρ. θ', 16 «διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς».

ἀδελφότητος ὡς λίθος ἅγιος, κατὰ τὸ γεγραμμένον;

Καὶ γοῦν ἐγὼ ὁρῶ ἐξ ὑμῶν οὐχ ἕνα, οὐ δύο, ἀλλὰ καὶ πολλούς, κατὰ τὸ ζητούμενον ὅλους εὐπειθεῖς καὶ εὐπαρακλήτους, προσηνεῖς τε καὶ μειλιχίους, ὑπηκόους καὶ φερεπόνους, εὐεξαγγέλτους τε καὶ πιστοτάτους. καὶ τάχα οὐδὲ πολλῶν γραμμάτων εἰσὶν ἐπιτυχόντες, οὐδὲ σοφισμάτων καὶ ἀναγνωσμάτων, οὐδὲ ἐκστηθισμάτων καὶ διαψαλμάτων· ἓν δὲ ἔχουσιν, ὃ ζητεῖ ὁ λόγος καὶ ᾧ τινι ἀφομοιοῦσιν ἑαυτοὺς τῷ Χριστῷ, τὴν ταπεινοφροσύνην λέγω καὶ τὴν πραότητα· "μάθετε γάρ", φησίν, "ἀπ' ἐμοῦ, ὅτι πρᾳΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ". ἐπιβλέψατε τοιγαροῦν, τέκνα μου ἠγαπημένα, εἰς τὸ φῶς καὶ εἰς τὴν ἀλήθειαν, καὶ εἰς τὴν εὐθύτητα καὶ εἰς τὴν μακαριότητα, καὶ εἰς τὴν ἠπιότητα καὶ εἰς τὴν ἀγαθότητα, καὶ μὴ ὅτι εἰς ἐμαυτὸν περιέλκοντα δόξαν ταῦτα διαλέγειν με οἴεσθε, ἀλλ' ὅτι δι' ὑμᾶς τοὺς ποθητούς μου καὶ φιλητούς, κυρίους τε καὶ δεσπότας, καὶ μέντοι καὶ τοῦ θεοῦ ὑπάρχοντας, δι' οὓς καὶ ὁ ἀγών μου καὶ ἡ σπουδή, καὶ ἁπλῶς εἰπεῖν διὰ τὴν κοινὴν σωτηρίαν. διὰ τοῦτο συστείλατε ἑαυτούς, παρακαλῶ, ἀπὸ πάσης ὀξυχολίας, ἀπὸ πάσης καχεξίας· "υἱοὶ ἀνθρώπων", φησίν, "ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος"; ἵνα τί "ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος";

Σύγγνωτέ μοι· αἰσχύνομαι τοὺς ἀγγέλους, ἐπειδὴ ἐπιβλέπουσι τὰ καθ' ἡμᾶς, ὡς φύλακες ἡμῶν ὑπάρχοντες· αἰσχύνομαι τοὺς ἁγίους καὶ ὁσίους πατέρας ἡμῶν, ὧν τὴν πολιτείαν ἐπανηρήμεθα καὶ ὧν τὸν βίον διεξάγομεν. ὁσίως τὰ ὅσια ἐκτελέσωμεν, ἀδελφοί μου, καὶ ἁγίως τὰ ἅγια ἀποπληρώσωμεν, τεκνία μου. μή, παρακαλῶ, μὴ σκληροὶ καὶ ἀπειθεῖς καὶ ἀντίλογοι, μὴ τραχύφωνοι καὶ θυμικοὶ καὶ μεγαλορρήμονες, μὴ σκῶπται καὶ συκοφάνται καὶ διασύρται, μὴ πολύλογοι καὶ γελοιασταὶ καὶ παρρησιασταί. φιλόθεοι, ἀλλὰ μὴ φιλόπορνοι γίνεσθε· φιλοήσυχοι, ἀλλὰ μὴ φιλόλαλοι· δυσείμονες, ἀλλὰ μὴ φιλόκαλοι, κάτω νενευκότες, ἄνω δὲ τὸν νοῦν ἔχοντες, πανταχόθεν περισκοποῦντες ἑαυτούς, μή που πληγὴ συνεισέλθῃ, ἀφυλάκτως ἐχόντων ἡμῶν, ἀπὸ τῶν βελῶν τῆς ἁμαρτίας.

Εἶτα τί ἐκ τούτων; ἀντὶ τῶν κόπων αἱ ἀναπαύσεις ἑτοιμασθήσονται, ἀντὶ τῶν ἄθλων οἱ στέφανοι, ἀντὶ τῶν ὕβρεων αἱ τιμαὶ καὶ αἱ δόξαι, ἀντὶ τῶν ἐξουδενώσεων αἱ εὐφημίαι καὶ [αἱ] εὐδοξίαι, ἀντὶ τῶν συγχωρήσεων αἱ ἀφέσεις καὶ αἱ χαρμοσύναι, ἀντὶ τῆς ὑποταγῆς τὸ ἄρχειν "ἐπάνω δέκα πόλεων", ἀντὶ τῶν γονικῶν καὶ συγγενικῶν στερήσεων αἱ κληρονομίαι καὶ [αἱ] συγκληρονομίαι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀντὶ τῆς κοπῆς τοῦ θελήματος ἡ μετὰ τοῦ πρωτομάρτυρος Στεφάνου συναυλία, καὶ τὰ μὲν πρόσκαιρα καὶ ἐλαφρότατα καὶ ὡς σκιὰ παριπτάμενα, τὰ δὲ αἰώνια καὶ ἀθάνατα καὶ τέλος οὐκ ἔχοντα. ἐὰν θέλητε βασιλείας οὐρανῶν ἐπιτυχεῖν, ἐὰν θέλητε ζωῆς ἀθανάτου ἀπολαῦσαι, ἐὰν θέλητε υἱοθεσίας ἐπιτυχεῖν, ἐὰν θέλητε οἰκισταὶ τοῦ Παραδείσου γενέσθαι, ἐὰν θέλητε ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ εἰσαχθῆναι, ἐὰν θέλητε εἰς τὸν ἀχειροποίητον νυμφῶνα ἐντρυφῆσαι, ἤ τι τῶν ἄλλων ἐπιλήψεσθαι, ἔξεστιν ὑμῖν καὶ ἁρπακτόν ἐστιν καὶ ὑπὸ χεῖρας ὑμῶν καὶ ἑτοιμότατον· ἐὰν δὲ ἐφίεσθε τὴν ἑτέραν μερίδα, πῦρ ἀτελεύτητον, σκώληκα ἰοβόλον, τὴν φλόγα τῆς Γεέννης, τὸν βρυγμὸν τῶν ὀδόντων, τὴν τῶν ἐρίφων στάσιν, τὴν ἀπόφασιν τῶν κατηραμένων, ἢ καὶ ἄλλο τι εἰπεῖν, καταντήσει ὑμῖν. ὃ μὴ γένοιτο· ἀλλ' οὐκ ἄν, μὴ γένοιτο, εἰ μὴ εὐζωήσομεν, ὡς εἴρηται, τέκνα μου, εἰ μὴ εὐθετήσομεν, εἰ μὴ εὐτακτήσομεν. κερδανεῖ τις οὕτως καὶ τὴν ψυχὴν αὐτοῦ, κερδανεῖ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ κἀμὲ τὸν ἄθλιον,

---

11 ὃ] κῶδ. *ὁ*. 14 Ματθ. ια', 29. 18 κῶδ. *ἠπιώτητα*. 28 Ψαλμ. δ', 3. 30 Ψαλμ. ογ', 10. 36 κῶδ. *πολητείαν*. 41 κῶδ. *μεγαλορήμονες*.

11, 15 αἱ] προσέθηκα τοῦτο κατὰ τὰ ἡγούμενα καὶ ἑπόμενα παραδείγματα. 13 Λουκᾶ ιθ', 17. 24 κῶδ. *οἰκησταί*. 26 νυμφῶνα] Ματθ. θ', 15. Μάρκ. β', 19. Λουκ. ε'. 34. 28 κῶδ. *ἡμῖν*. 29 κῶδ. *ἡμῶν*. 30 πῦρ ἀτελεύτητον, σκώληκα ἰοβόλον, τὴν φλόγα τῆς Γεέννης, τὸν βρυγμὸν τῶν ὀδόντων] Μάρκ. θ', 44. Λουκᾶ ιγ', 28. 31 κῶδ. *σκώλυκα*. 32 ἐρίφων στάσιν] Ματθ. κε', 32, 33 33 ἀπόφ. τ. κατηραμένων] Ματθ. κε', 41. 34 κῶδ. *ἄλλό τι* οὕτω καὶ κατόπι. 37 κῶδ. *εὐθετήσωμεν* || κῶδ. *εὐτακτήσωμεν*.

εὖ πράττων καὶ θεοσεβῶς πορευόμενος, καὶ τίμιος ἐναντίον κυρίου, καὶ ὁ λόγος αὐτοῦ καὶ τὸ πρόσωπον αὐτοῦ, καὶ μακάριός ἐστι καὶ μακαριζόμενον τὸ ὑπόμνημα ἐγκαταλείψει.

Τί λοιπὸν ὠφελεῖ τῷ σκληρευομένῳ ἡ σκληρότης καὶ τῷ ἀπειθεῖ ἡ ἀπείθεια καὶ τῷ δυσηκόῳ ἡ δυσηκοΐα καὶ τῷ ὑπερηφάνῳ ἡ ὑπερηφανία; ἢ οὐχὶ θησαυρίζει ἑαυτῷ "ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ δικαιοκρισίας θεοῦ καὶ ἀποκαλύψεως"; ἢ οὐχὶ ἔοικε τὸ ἔργον αὐτοῦ ξύλοις καὶ χόρτοις καὶ καλάμοις, καὶ πληροῦται ἐν αὐτῷ [τὸ] "εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός"; καὶ γὰρ ἐν τῷ μέλλοντι αἰῶνι τῷ κολαστικῷ πυρὶ ἀποκαθαρθησόμεθα τῆς ὑλώδους κακίας· μενοῦμεν δὲ εἰς τὸ ἀεὶ καιόμενοι καὶ μὴ κατακαιόμενοι, ἐνορῶντες τὴν δόξαν τῶν ἁγίων καὶ ἐφιέμενοι ταύτης καὶ ἀποστερούμενοι, καὶ διὰ τοῦτο ὀδυρόμενοι καὶ καταθρηνούμενοι ἀνόνητα καὶ ἀνήνυτα. μὴ οὖν φθάσῃ τις ἡμῶν, τέκνα, εἰς τὸ μέτρον τοῦτο, μηδὲ εἰς τὴν στάσιν ταύτην· ἀλλ' ἕως ἐσμὲν ἐνταῦθα, ἑαυτοὺς ἀποκαθάρωμεν τῷ πυρὶ τοῦ φόβου τοῦ θεοῦ, ἵνα τῆς μελλούσης φλογὸς ἀπείρατοι διαμείνωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Β'

"Οτι χρὴ ἡμᾶς μετὰ καθαροῦ συνειδότος τὰς διακονίας ὑπεξέρχεσθαι καὶ μὴ ποιεῖν τὰ ἔργα κυρίου ἀμελῶς.

Ἀδελφοί μου καὶ πατέρες, εἰ ὁ σπορεὺς χαίρει καταβαλλόμενος τὰ σπέρματα τῇ γῇ, πόσον οὐχὶ μᾶλλον εὐφρανθήσομαι κἀγὼ ὁ ταπεινός, σπερματίζων ὑμῖν τὸν λόγον τῆς κατηχήσεως; ἀλλ' ἐκεῖνος μὲν ἀμᾶται τοὺς στάχυας, σώματος ἐπίκηρον τροφήν, ἐγὼ δὲ [τὰ] κατορθώματα ὑμῶν, ψυχικὴν ἀπόλαυσιν αἰωνίαν. διὰ τοῦτο χαίρω, τέκνα, καὶ ἀγάλλομαι, ἓν λυπούμενος καὶ μόνον, τὰς ἁμαρτίας μου, καὶ τὸ μὴ κατ' ἀξίαν τῶν τιμίων ὑμῶν ψυχῶν εὐπορεῖν με λέγειν· ἀλλὰ δέχεσθε τὰ τῆς πτωχείας καὶ ταπεινώσεώς μου, καὶ τῇ οἰκείᾳ ὑμῶν εὐπορίᾳ πλουτίζετέ με τὸν πτωχὸν καὶ πένητα τῶν ἀρετῶν· οὐ γὰρ ὡς πατὴρ ἔχω θησαυρίζειν ὑμῖν τοῖς τέκνοις, κατὰ τὸν ἀπόστολον.

Ἓν μὲν δὴ τοῦτο τῆς ἐμῆς ἀπολογίας· δεύτερον δέ, ἐπειδὴ γεωργίας πρᾶγμα ἀεὶ τὰς χώρας ἐπισκέπτεσθαι τὸν γεηπόνον καὶ φιλοκαλεῖν αὐτὰς ἀπὸ πάσης ἀκανθώδους καὶ ὑλώδους παρεκφυήσεως, ἀναγκάζομαι, τέκνα μου, κἀγὼ ἐπιβλέπειν τὰς ψυχὰς ὑμῶν διὰ τῶν ἔξωθεν ἐπιτηδευμάτων ὑμῶν καὶ τὰ ἔνδον καταστοχάζεσθαι. βλέπετε τοίνυν πῶς αὐξάνεσθε, πῶς ἀνάγεσθε, πῶς τελειοῦσθε, πῶς καρποφορεῖτε θεῷ καὶ ἡμῖν τὴν ἀρίστην πολιτείαν ὑμῶν. ἐν τῇ ὑποταγῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν, ἐν τῇ ταπεινώσει ὑμῶν ὑψώσατε τὸ κέρας τῆς διαβιώσεως ὑμῶν, ἐν τῇ ὑπακοῇ ὑμῶν ἐνδείξασθε μαρτύριον τῆς συνειδήσεως ὑμῶν, ἀδόλως καὶ ἀκαπηλεύτως τὰς διακονίας ὑπεξερχόμενοι. οἷόν τι ἀποτέτακται ὃ μὲν εἰς τήνδε, ὃ δὲ εἰς τήνδε τὴν χρείαν, μὴ προσπαθῶς, μηδὲ ἐχθρωδῶς, μηδὲ καταφρονητικῶς ἐνεργείτω, παρακαλῶ, ἀλλ' ὡς ἐν ἐποψίᾳ θεοῦ εὐκρίτως καὶ εὐσυνειδήτως καὶ ἀξιολόγως ἢ διδότω ἢ λαμβανέτω ἕκαστον τῶν παριστα-μένων, ἵνα ἀκούσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· "εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου"· οὐ γάρ εἰσι τῆς φωνῆς ταύτης ἄξιοι, συγχωρήσατε, οἱ ἱμάτιον ἢ ὑπόδημα, ἢ δαπάνημα, ἢ ἀνάγνωσμα, ἢ διάταγμα, ἢ ἀπάντημα, ἢ ἐπιτίμημα, ἢ τόδε ἢ ἐκεῖνο, βέλτιον λέγω, ἢ ἄλλο τι ἐπιδιδόντες ἀθεοφόβως τῷ ἀδελφῷ·

---

1 κῶδ. *εὐπράττων*. 9 Ῥωμ. β', 5. 11 Κορινθ. 1, γ', 12, 13. 12/14 Κορινθ. 1, γ', 15 || τὸ] προσέθηκα τοῦτο ὡς ἀναγκαῖον || εἴ τινος] κῶδ. *οὗτινος*. 13 αὐτὸς] κῶδ. *οὕτως*, ὅπερ ἔθηκα σὺν τῷ *δὲ* μετὰ τὸ *σωθήσεται*. 21 ἀνόνητα] κῶδ. *ἀνόητα*. 39 κῶδ. *ἀμεῖται*.

2 τὰ] προσέθηκα τοῦτο κατ' ἀναλογίαν πρὸς τὸ ἄρθρον τοῦ *στάχυας*. 5 κῶδ. *καταξίαν*. 10/11 Κορινθ. 2, ιβ', 14, 15. 24 κῶδ. *διαβιόσεως*. 30 κῶδ. *ἐχθροδῶς*. 35 Ματθ. κε', 23 || ἦς] κῶδ. *εἶς*.

μᾶλλον δὲ ἐκείνης τῆς λεγούσης· "ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε καὶ ἀφανίσθητε", λέγει κύριος, καὶ ὅτι "ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς".

Τί γὰρ καὶ ἐντεῦθεν οὐκ ἀναφύεται; δουλοπάθεια, ὁρῶντος τοῦ ἑτέρου τὸν ἕτερον καὶ σκανδαλιζομένου, ὡς τὸ εἰκός, κατὰ τοῦ δώσαντος. τοῦτο δὲ λέγω, οὐχ ἵνα ἐξαναστῆτε οἱ λαμβάνοντες πρὸς ἐπιζήτησιν σφαλερὰν καὶ διάκρισιν πονηρὰν καὶ ἐπίβλεψιν δολερὰν τοῦ φορήματος ἢ τοῦ ὑποδήματος ἐκείνου ἢ τοῦδε τοῦ ἀδελφοῦ — στέργειν γὰρ ἐπὶ πᾶσιν ἀναγκαῖον ὑμῖν, ἐχόντων τὸ κρῖμα, κατὰ τὸν μέγαν Βασίλειον, τῶν τὴν ἐξουσίαν ἐχόντων —, ἀλλ' ἵνα ὑμεῖς οἱ διανομεῖς τῶν τοιούτων φόβῳ θεοῦ καὶ πόθῳ ἐξανύητε καλλίστως τὰς ἐγχειρισθείσας ὑμῖν ἀρχὰς καὶ διδῷ ὁ δίδων ἀπροσπαθῶς καὶ κατ' ἀξίαν ἢ τὸ ἱμάτιον, ἢ τὸ ὑπόδημα, ἢ τὸ βιβλίον, ἢ τὸ ἀνάγνωσμα, ἢ τὸ καλλιγράφημα, ἢ τὸ δαπάνημα, ἢ ἄλλο τι οὖν, ἵνα μὴ λεπτολογῶμεν τὰ πράγματα· καὶ οὕτως ποιούντων ὑμῶν εὐστάθεια καὶ γαλήνη ἔτι καὶ ἔτι ἀναφανήσεται ἐν ὑμῖν τοῖς ἡγαπημένοις μου. ναί, ναί, παρακαλῶ καὶ δέομαι, ἀδελφοί μου ἡγιασμένοι, πληρώσατε τὰς καρδίας ὑμῶν παντὸς ἀγαθοῦ ἐπιτηδεύματος· δότε ἀλλήλοις δι' ἀγάπην ἑαυτούς, χαίρετε τῇ ἀλλήλων εὐδοκιμήσει, λυπεῖσθε ἐπὶ τῇ τοῦ πέλας καταπτώσει. "οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί", φησί, "καὶ οἷός ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι"· ὁ δὲ θεὸς ἡμῶν ὁ ἐπουράνιος ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν, καὶ τοῦ ἐλέους αὐτοῦ πλήρης ἡ γῆ, ὡς ψάλλει Δαβίδ. ὁμοιωθῶμεν αὐτῷ καὶ ἡμεῖς, καὶ νῦν μὲν τοῦτο κατορθώσομεν, νῦν δὲ πρὸς τὸ ἑξῆς ἐπειχθησόμεθα, καὶ μηδὲ ἐν τῇ ἐλλείψει ἀθυμήσωμεν, μηδὲ ἐν τῇ ἐπικτήσει κενοδοξήσωμεν, ἀλλὰ ἐπὶ μὲν τῷ εὐχαριστήσωμεν κυρίῳ—"οὐ γὰρ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος", φησίν, "ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ"—, ἐπὶ δὲ τῷ ἐπιμένοιμεν καὶ γενήσεται· "ὁ ζητῶν γάρ", φησίν, "εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται".

Οὕτως οὖν, τέκνα μου, ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τῶν ψυχῶν ὑμῶν ἐργάζεσθε, ἀναβιβαζόμενοι ἐπὶ τὰ ὑψηλότερα. χαρᾶς οὖν καιρὸς τῆς ἀληθινῆς πραγματείας, τῆς οὐκ ἀπολλυμένης· δρόμου καιρός, ἀλλὰ τοῦ πνευματικοῦ· πλουτισμοῦ καιρός, ἀλλὰ τῶν αἰωνίων ἀγαθῶν. μακάριος ὁ τρέχων, τρισμακάριος ὁ ὑπομένων, παμμακάριος ὁ πῦρ πυρὶ ἐπιθυμίας καὶ ἀγάπῃ θεοῦ ἀνάπτων [ἐν] ἑαυτῷ καθ' ἑκάστην. οὐκ ἀποθανεῖσθε, τέκνα μου, ἀλλὰ ζήσεσθε· οὐ χωρισθήσεσθε, ἀλλὰ συναφθήσεσθε· οὐκ ἀτιμασθήσεσθε, ἀλλὰ δοξασθήσεσθε, ἐάν περ τὴν ὁμολογίαν ὑμῶν βεβαίαν καὶ ἀκλινῆ μέχρι τέλους τῆς ὁσίας ὑποταγῆς ἀραρότως τῇ εὐχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν κατέχητε ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Γ'.

Ὅτι χρὴ μισεῖν ἡμᾶς τὴν φιλαυτίαν καὶ ὑπερηφανίαν, δι' ἃς ἐξεπέσομεν ἀπὸ τοῦ ὕψους τῆς ἀγγελικῆς ἡμῶν διαγωγῆς.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, μικροῦ δεῖν πρὸς τὰ παριστάμενα οὐδὲ γρύξαι ἤθελον τῇ φωνῇ μου, οὐχ ἵνα κατηχῶ ἐν εὐθυμίᾳ, διότι βίον ἥσυχον, κατὰ τὰς ἁμαρτίας μου, ἄρτι οὐκ ἔχομεν διάγειν ἐκ τῆς ἀκαταστασίας τοῦ κόσμου. ὧδε ἡμεῖς ἄλλον βασιλέα κηρύσσομεν, οἱ ἀδελφοὶ ἡμῶν ἔξω ἕτερον· ξίφη ἀκονοῦνται κατὰ τῶν ὁμοφύλων, στρατόπεδα κινοῦνται· θυμός, ὁ δεινὸς ὁπλίτης, ἐξάπτεται καὶ χριστιανὸς χριστιανὸν ἐπαρᾶται καὶ ἐπιθυμεῖ φοινίξασθαι τὴν ἑαυτοῦ μάχαιραν κατὰ τοῦ πλησίον ἄνθρωπος, καὶ τέλος ὅρκοις φρικτοῖς ἐπαφῇ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ὑπὲρ τοῦ σφετέρου ἑκάτερα τὰ μέρη μέχρις αἵματος ἐμπεδοῦσι, τί ἄλλο ἢ αὐτὸν τὸν ἀναιρέτην τοῦ

1/2 Ἀββακ. *ά*, 5. 3/4 Ἱερεμ. λα', 10. 17 κῶδ. *ἐξανύετε*. 18 κῶδ. *δίδοῖ*. 30/32 Κορινθ. 1, ιε', 48. 35 Ψαλμ. ριη', 64. 36 κῶδ. *κατορθώσωμεν*. 37 κῶδ. *ἐπειχθησώμεθα*. 40/42 Ῥωμ. θ', 16.

1 Ματθ. ζ', 11. Λουκ. ια', 10. 12 προσέθηκα τὸ *ἐν*. 17 κῶδ. *ἀραρώτως*. 28 κῶδ. *γρῦξαι*.

θανάτου ἀναισθήτως ἀναλαμβάνοντες; οὐ γὰρ ἔχει φύσιν τοὺς δύο ἄρχειν ἐν μιᾷ βασιλείᾳ.

Ὢ τῆς ἐλεεινῆς συμφορᾶς! ὢ τῆς τοῦ πονηροῦ σκαιωρίας! ὢ τῆς πικρᾶς φιλαρχίας, δι' ἧς ἐκ πρώτης ἡμέρας τὰ κακὰ εἰσῆλθεν εἰς τὸν κόσμον· ἠγαπήσαμεν γὰρ τὴν φιλαυτίαν καὶ ἰσόθεοι ἐδόξαμεν γενέσθαι, καὶ διὰ τοῦτο ἐξεπέσομεν ἀπὸ τοῦ ὕψους τῆς ἀγγελικῆς διαγωγῆς, ἐξόβλητοι τοῦ Παραδείσου γενόμενοι. καὶ ἐπεὶ τοῦτο συνέβη, οἱονεὶ σειρά τις ἔκτοτε μέχρι τῆς δεῦρο ἡ ἀνθρωπίνη κακία παρεκτείνεται. ἤρξατο οὖν ὁ θάνατος ἀπὸ τοῦ Ἄβελ καὶ τοῦ Κάιν· οὐ γὰρ ἦν πρότερον, οὐδὲ τί ἦν ἐγινώσκετο. δύο ἀδελφοὶ ὄντες οὐκ ἤνεγκαν τὴν εἰς ἀλλήλους παρευδοκίμησιν, ἀλλ' ἔσφαξεν ὁ μείζων τὸν ἐλάσσονα. φεῦ τοῦ πονηροῦ δράματος! ἐκλείσθη τὰ σπλάγχνα, ἐπωρώθη ἡ καρδία, ἠλλοιώθη ὁ νοῦς. πῶς οὐκ ἐπέσχε τὴν χεῖρα κατὰ τοῦ συγγόνου ὁ φονάδελφος; πῶς οὐκ ἐνάρκησε συμπλακῆναι καὶ πατάξαι ἄνευ ἀνάγκης τὸν ὁμογάστριον ὁ ἀπανθρωπότατος; κἂν τοὺς γεννήσαντας πῶς οὐκ ᾠκτείρησεν ὁ τάλας; πῶς οὐκ ᾐδέσθη; ποίῳ προσώπῳ ὀφθῇ αὐτοῖς; ποίοις λόγοις ἀπολογήσηται τὴν μιαιφονίαν; ἀλλ' ἦν ὁ κινῶν καὶ στρατηγῶν αὐτόν, ὁ λῃστὴς ὁ μέγας, ὁ ὄφις ὁ σκολιός, ὁ δράκων ὁ πικρός, ὁ Σατανᾶς, ὁ ὡς ἀστραπὴ πεσὼν ἐκ τοῦ οὐρανοῦ, καὶ ἐφ' ὅσον ἦρκται τὸ κακόν, ὁ φθόνος ἔλαβε νομὴν ἐν ταῖς καθεξῆς γενεαῖς, οὕτως καὶ ἀλλοίως, πολυτρόπως, ταῖς ἀλληλοφονίαις διερχόμενος μέχρι τῆς σήμερον, ὥσπερ ἀναγινώσκομεν.

Ταῦτα πῶς οὐχὶ στεναγμῶν καὶ δακρύων δίκαια, ἀδελφοί μου; Ἱερεμίου ἐστὶν ἄρα καὶ νῦν τοῦ πολυθρηνοτάτου χρεία καὶ εἰπεῖν, τίς δώῃ τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς βλεφάροις μου πηγὴν δακρύων, καὶ καθίσομαι καὶ κλαύσω ἐπὶ τῷ συντρίμματι, οὐ τῶν πάλαι Ἰσραηλιτῶν, ἀλλὰ τῶν χριστιανῶν ἄρτι; ἐπεὶ δὲ οὐκ ἐκεῖνος, ἀλλ' ἡμεῖς οἱ ταπεινοὶ τέως κἂν ὑπὲρ ἀδελφῶν ὡς ἀδελφοὶ βοήσωμεν, στενάξωμεν, παρακαλέσωμεν, καὶ τίς οἶδεν, εἰ μεταμεληθῇ κύριος, κατὰ τοὺς Νινευΐτας, καὶ παραγάγῃ τὴν ὀργήν; τάχα δὲ καὶ προοίμια τῶν δεινοτέρων ἀνιαρῶν τὰ παρόντα προτρέχουσι καὶ διὰ τῶν προαναπτομένων σπινθήρων τὸ ἐκκαιόμενον πῦρ παραδηλοῦται. τί πρὸς ταῦτα λοιπόν; ἀλλ' ἤ, ὡς εἴρηται, τὸ πενθῆσαι, καὶ σκυθρωπάσαι καὶ ἐπάραι χεῖρας πρὸς θεόν, τὸ δέεσθαι νυκτὸς καὶ ἡμέρας, ὅπως παραβιβάσῃ κύριος, οἷοις οἶδε τρόποις σοφίας, τὸν πειρασμόν, τοῦ συμβιβασθῆναι τὸ διαιρεθὲν εἰς αὐτοκρατορίαν μίαν, τὸ λυθῆναι τὰ ἐν μέσῳ σκῶλα, τὸ βραβευθῆναι τὴν οἰκουμένην ἐν εἰρήνῃ.

Γινώσκετε τοίνυν τὴν ἡμέραν θλίψεως εἶναι, γινώσκετε αὐτὴν πειρασμοῦ μεγάλου ὑπόθεσιν. πλὴν τί λέγει ὁ θεῖος Δαβίδ; ὅτι "θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με, ἀλλ' αἱ ἐντολαί σου μελέτη μου". τοῦτο καὶ ἡμεῖς ποιῶμεν καὶ πορευώμεθα ἐν τοῖς τοῦ κυρίου μαρτυρίοις, καὶ φυλαττώμεθα τὴν κατάστασιν ἡμῶν ἐν ἁγιασμῷ σωφροσύνης, τὴν ταπεινοφροσύνην ἐγκομβούμενοι, τὴν ἀγάπην ἀσπαζόμενοι καὶ τὴν ὑπακοὴν θωρακιζόμενοι, δεήσει τοῦ πατρός μου καὶ ὑμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Δ'.

Περὶ τοῦ φυλάττειν τὴν πόλιν τῆς ψυχῆς ἡμῶν ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων διὰ φυλακῆς τῶν θείων ἐντολῶν.

Ἀδελφοὶ καὶ πατέρες, δεινὴ μέν ἐστι καὶ ἡ νῦν ἀταξία γενηθεῖσα ἐν τοῖς χριστιανοῖς, καθὼς προειρήκαμεν, στοχαζόμεθα δὲ ὅτι καὶ τὰ ἑξῆς πονηρὰ καὶ τραγῳδίας ἀνάμεστα· οὔπω δὲ τοσοῦτο δέδοικα ἐγὼ ὁ τάλας ταύτην, κἂν ξίφη κατ' ἐμοῦ ἀκονίσῃ τις, κἂν πληγὰς ἐπιθήσῃ, κἂν ἐξορίαν ἐπενέγκῃ, κἂν θάνατον προτείνῃ, ὑπὲρ τοῦ ἀγαθοῦ θεοῦ μόνον καὶ τῆς ἀληθείας· δεδιῶ δὲ καὶ φο-

13/17 Γενέσ. δ', 8. 38 Ἱερεμ. θ', 1.

18 Ψαλμ. ριη', 143. 19 σου] κῶδ. οὐ. 22 ἐν ἁγιασμῷ σωφροσύνης] Τιμόθ. 1, β', 15. 23 τὴν ταπειν. ἐγκομβούμενοι] Πέτρ. 1, ε', 5.

βοῦμαι τὴν ἐν τῇ ταπεινῇ μου ψυχῇ ἐπανισταμένην διαβολικὴν ἐπήρειαν, ἡνίκα βασιλεύει ἐν τῷ θνητῷ μου σώματι ἡ ἁμαρτία, οἷον ἀνασοβήσασα κατὰ τῆς ἀρετῆς τῷ πλήθει τῶν στρατευομένων ὑπ' αὐτῆς ἀναριθμήτων παθῶν. καὶ τοῦτό μοι φοβερόν, τὸ βέλος τὸ τῆς ἡδονῆς, ὅτι τιτρώσκει οὐ σάρκα, ἀλλὰ καρδίαν· καὶ τοῦτό μοι φρικτόν, τὸ αἷμα, ὃ οὐ διαῤῥεῖ ἐπὶ τὴν γῆν διὰ ξίφους, ἀλλ' ὃ ἐκχέεται ἐπὶ ψυχὴν διὰ μαχαίρας ἀοράτου, λιμὸν δὲ ἐκεῖνον, καθὼς ᾄδει ὁ προφήτης, οὐκ ἄρτου, οὐδὲ ὕδατος, ἀλλὰ τοῦ ἀκοῦσαι λόγον κυρίου. ταῦτα τοίνυν ἐγὼ δεδιῶ καὶ ἐν τούτοις εἰμὶ τρομάσσων, πάντως δὲ καὶ ὑμεῖς οἱ θεοδίδακτοι, ὥστε, ἀνεπιβουλεύτους ἡμᾶς διαμένοντας ἐκ τῆς μηχανουργίας τοῦ κοσμοκράτορος τοῦ αἰῶνος τούτου, ἄρχεσθαι ὑπὸ τοῦ βασιλέως τῶν ἁπάντων καὶ δεσπότου θεοῦ διὰ τῆς ἐπιδείξεως τῶν καλῶν ἔργων καὶ ἀλλοτριώσεως τῶν πονηρῶν ἐπιτηδευμάτων.

Προσέχωμεν λοιπόν, ἀδελφοί μου, ἑαυτοῖς καὶ σκοπῶμεν, μήπως ἐμπηδήσῃ τις ἐν τῇ πόλει τῆς ψυχῆς ἡμῶν ὡς ἐπίβουλος καὶ ἀλλότριος, ἢ νοῦς ὑπερήφανος, ἢ λογισμὸς ἐμπαθής, ἢ ἡδονὴ ὑποσύρουσα κλέπτρια, ἢ παρακοὴ ἐξοστρακίζουσα, ἢ ἰδιορρυθμία ἐξαπατῶσα καὶ ἀπολλύουσα, ἢ σκληρότης ἀκατάνυκτος, ἢ ἀπείθεια ἀπαράκλητος, ἢ δικαιολογία ἀσυμβίβαστος, ἢ εἴ τι ἄλλο τῶν δυναμένων ταράξαι ψυχήν· ἀλλ' ὡς ἐπάλξεσί τισι περιτειχίσωμεν ἑαυτοὺς ταῖς θείαις ἐντολαῖς καὶ σῶοι πάντοτε διαμένοιμεν. εἰ δὲ καὶ συμβῇ λῃστὴν τοιοῦτον εἰσελθεῖν, θᾶττον ὑφοράσθω καὶ δεσμείσθω καὶ ἀποπεμπέσθω πόρρω που ἀφ' ἡμῶν, καὶ ἀναλαβώμεθα, εἰ βούλεσθε, παρακαλῶ, ἔξιν μᾶλλον πρὸς τὰ πάθη καὶ στιβαρότητα καρδίας καὶ κραταίωσιν πνεύματος, ἵνα βαλλόμενοι μὴ καταπίπτωμεν, ἀλλὰ ἀντικρούωμεν καὶ ἀντιπεμπώμεθα τοὺς ἀοράτως ἡμῖν ἐπανισταμένους ἐχθρούς. σήμερον οὗτος ὁ δαίμων βάλλει, αὔριον ὁ ἕτερος ἐξανίσταται, εἶτα πάλιν ὁ ἄλλος, [ὁ] τῆς πορνείας φημί, τῆς γαστριμαργίας, τῆς ὑψηλοφροσύνης, τῆς ὑπερηφανίας, τῆς δειλίας, τῆς θρασύτητος, τῆς ἰδιοπραγμοσύνης, τῆς ἀβουλίας, τῶν ἄλλων μυρίων παθῶν, ὧν τὰ ὀνόματα οὐ καιρὸς λέγειν. πρὸς ἅπαντας ὑπαντᾶν ὀφείλομεν, τοὺς πάντας πολεμεῖν, καταργεῖν ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος ἡμῖν ἀποδιδεῖν τὸ βραβεῖον τῆς νίκης ἐν ἡμέρᾳ ἀνταποδόσεως.

Καὶ μακάριός ἐστιν, ἀδελφοί μου, ὁ ἀκούων καὶ συνιῶν καὶ φυλάσσων, ὁ βιαζόμενος ἑαυτὸν καθ' ἑκάστην ἡμέραν ἐν τῷ νοητῷ πολέμῳ· βίαιον γάρ ἐστι τὸ σῴζεσθαι, καὶ οἱ βιασταὶ ἁρπακταὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ διὰ τοῦτο οὐκ ὀφείλετε ξενίζεσθαι, ἐπὰν συμβῇ ὑμῖν πειράζεσθαι, πρὸς δοκιμασίαν ὑμῶν τοῦ τοιούτου γινομένου. διὸ μὴ ὀλιγωρήσητε ἐλεγχόμενοι, ἐπιτιμώμενοι, νουθετούμενοι, ἀφοριζόμενοι, παραπληκτιζόμενοι, ὀνειδιζόμενοι, ἔστιν ὅτε καὶ ὑβριζόμενοι, εἰ τοῦτο δέοι· ἀλλ' εὐθυμεῖτε καὶ εὐθαρσεῖτε καὶ εὐψυχεῖτε, ὅτι ἐν τούτοις ὑμῶν ἡ σωτηρία, ἐν τούτοις ἡ προκοπή, ἐν τούτοις ἡ μαρτυρία, ἐν τούτοις οἱ στέφανοι, καὶ τὰ λοιπὰ διὰ τὴν ὥραν παραλειπτέον· ὁ δὲ κύριος καὶ θεὸς τοῦ πατρός μου καὶ νῦν καὶ πάντοτε φυλάττων φυλάξει καὶ διασῴζων διασώσει ἀπὸ παντὸς πειρασμοῦ, ἀπὸ πάσης θλίψεως καὶ ἀνάγκης, ἀπὸ πάσης ἔχθρας καὶ μανίας δαιμόνων, ἐν αὐτῷ φρουρουμένους, ἐν αὐτῷ διασῳζομένους, ὅτι αὐτῷ πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ε'.

Περὶ τοῦ κεκαθηλῶσθαι ἡμᾶς τῷ φόβῳ τοῦ θεοῦ, ὡς ἂν μὴ κατακυριευώμεθα ὑπὸ τῶν ἰδίων ἐπιθυμιῶν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, τί ὑμῖν ἐν τῇ προτέρᾳ κατηχήσει ὑπέμνησα;

2/3 κῶδ. *βασιλεύῃ*. 11/13 Ἀμὼς η', 11. 27 κῶδ. *ἰδιορυθμία*. 38 κῶδ. *στιβαρώτητα*. 40 κῶδ. *καταπίπτομεν ἀ. ἀντικρούομεν*. 41 κῶδ. *ἀντιπεμπόμεθα*.

3 κῶδ. *ὑπεριφανίας*. 16 Ματθ. ια', 12. 20 κῶδ. *ὀλιγορήσητε*. 39 κῶδ. *κατακυριεύομεθα*.

οὐχὶ τοῦτο, ὅτι προσέχωμεν μήπως εἰς ἑαυτοὺς ἐπιβουλὴν πάθωμεν κατὰ ψυχήν, ὡς ἔτι τὴν ἔξωθεν καὶ κοσμικὴν ἀνασοβὴν καταθρηνοῦμεν; ἰδοὺ οὐκ εἰς μακρὸν καὶ τοῦτο αἱ ἁμαρτίαι μου ἤγαγον ἐπὶ τὸν ἀποδράσαντα ἀδελφὸν ἡμῶν, τὸν ἐλεεινὸν λέγω Ἀββακούμ, ὃς πάντως μὴ ἔχων φυλακὴν νοητήν, μηδὲ τοὺς στρατηγοῦντας αὐτῷ λογισμοὺς πιστοὺς καὶ εὐσεβεῖς πρὸς θεὸν κτώμενος, ἀλλὰ πεπλανημένους καὶ ἀκανονίστους, ἔπαθεν ὃ ἔπαθεν καὶ ἐξωστρακίσθη ἐκ μέσου ἡμῶν, ὀπίσω τοῦ διαβόλου πορευόμενος, καὶ τὸ χαλεπώτατον, ὅτι συνηπάτησε μεθ' ἑαυτοῦ καὶ συνηχμαλώτευσε καὶ τὸ παιδίον τὸν Φινεές. καὶ βλέπε μοι ποῦ ἄρτι πορεύεται ὡς πρόβατον θηριάλωτον ἐκτὸς ὁδηγίας, ἐκτὸς φωτισμοῦ· πῶς γὰρ δύναται ἔτι ψάλλειν ἢ ὑμνεῖν τὸν θεόν, ἐξ οὗ διέστη διὰ τῆς ἀρνητικῆς ἀθετήσεως καὶ τῶν συνθηκῶν αὐτοῦ; πῶς δύναται ᾄδειν "μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν", ταύτην τὴν ὁδὸν ὁ τάλας στελλόμενος; ἢ πῶς δύναται λέγειν "αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν", ἠθετηκὼς τὴν φρικτὴν καὶ ἀγγελογράφον ὁμολογίαν αὐτοῦ; τὸ γὰρ "ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου" πόρρω ἀπ' ἐκείνου. οἰκεῖον δὲ ψαλμὸν εὕροι ἂν ψάλλειν, εἴπερ ἐπαρᾶται ἑαυτὸν λέγων· "ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου". ἐπικατάρατος οὖν ἐστιν, ὡς ἀληθῶς, καὶ ἀποδεδοκιμασμένος, εἰ μὴ κύριος ὁ θεὸς ταῖς εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, συνυπουργούσης καὶ τῆς ὑμετέρας δεήσεως, προφθάσῃ εἰς ἐπιστροφήν.

Ἀλλ' ἵνα τί οὕτω γίνεται, τέκνα μου, καὶ διατί λαμβάνει ἡμᾶς ὑποχειρίους αὐτοῦ ὁ Σατανᾶς; καὶ πῶς οὐκ ἐσμὲν καθηλωμένοι ἐν τῷ φόβῳ τοῦ θεοῦ; πῶς οὐκ ἐσμὲν τεθωρακισμένοι ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, αὐτοῦ, μηδαμῶς κατακυριευόμενοι ὑπὸ τῶν ἰδίων ἐπιθυμιῶν, ἀλλ' οὕτως χλιαροὶ καὶ νόθοι καὶ σκαιοί, ἀκαρτέρητοί τε καὶ ἀφερέπονοι καὶ ἀῤῥίζωτοι, ἵν' οὕτως εἴπω, καὶ ἀκαρποφόρητοι δεικνύμεθα; ποῦ ἡ πατρικὴ πίστις; ποῦ ἡ πρὸς τοὺς ἀδελφοὺς ἀγάπησις; τί εἴπω πρὸς ταῦτα ὁ τάλας καὶ ἀκάθαρτος ἐγώ; τῷ δοκεῖν φροντίζειν ἑνὸς ἑκάστου ὑμῶν, καθ' ἑκάστην — ὡς εἰπεῖν — τιτρώσκομαι καὶ φλέγομαι καὶ κόπτομαι, ἱμειρόμενος ὑμῶν καὶ τὰ ψυχικὰ καὶ τὰ σωματικά. καὶ ἐν τούτῳ συνθλιβόμενος καὶ ἐν τούτῳ συμπεριστατούμενος μετὰ τοῦ πατρός μου καὶ τῶν ἐξεχόντων, μάλιστα ἐν ταῖς ἡμέραις ταύταις, πῶς ἄρα διατραφῆτε ἑκατέρωθεν, ἢ πῶς διασωθῆτε ἐκ τῶν αἰσθητῶν καὶ νοητῶν πειρασμῶν; καὶ αὐτοὶ οὔπω ἀκμὴν ἥψασθε τῶν λυπηρῶν καὶ θᾶττον ἐκλύεσθε· οὐκ εἰδότες τὸ στάδιον τρέπεσθε εἰς τὰ ὀπίσω. πῶς ὑμῖν πιστεύσω, ὅτι ὑπὲρ τῆς εἰς Χριστὸν ἀγάπης διὰ τῆς ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ πεποιθήσεως τίθεσθε τὰς ψυχὰς καὶ τὰ σώματα ὑμῶν καὶ ὑπομένετε θλίψεις καὶ στενοχωρίας, λιμούς τε καὶ διωγμούς, ἐξορίας τε καὶ βασάνους καὶ θανάτους; κἂν τοὺς τοῦ κάτω βασιλέως στρατιώτας οὐ θεωρεῖτε, πῶς ὑπὲρ αὐτοῦ τινες πιστὰ φυλάττοντες, ἢ φόβῳ, ἢ ἀγάπῃ, καὶ ὑβρίζονται καὶ ξυρίζονται, δέρονται καὶ ἐκδέρονται, φθάσῃ δέ, κατὰ τὰς ἁμαρτίας μου, καὶ τὰ αἵματα κενοῦσιν, ὡς καί τινες, καὶ ταῦτα ὑπὲρ τίνος; ἵνα πλείους ἢ τιμὰς ἢ ἀξίας δέξωνται; ἀλλ' οὐχὶ τοιοῦτοι οἱ ἡμέτεροι ἀγῶνες, ἀλλ' ὑπὲρ τοῦ ἀφθάρτου καὶ ἀοράτου καὶ μόνου βασιλέως τῶν ὅλων θεοῦ, ὑπὲρ τοῦ βασιλείας οὐρανῶν ἡμᾶς ἐπιτυχεῖν, ὑπὲρ τοῦ συγκληρονόμους ἡμᾶς γενέσθαι Χριστοῦ, ὑπὲρ τοῦ ἀπολαῦσαι ἡμᾶς "ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη". καὶ ὅμως ῥέγχομεν καὶ κοιμώμεθα, καὶ ὅμως ἀποβουκολούμεθα καὶ ἐξαπατώμεθα. οὐκ ἀνανήφομεν; οὐ κραταιούμεθα; οὐ στερῤῥοποιούμεθα; οὐ γνήσιοι υἱοὶ

3 ἔτι] κῶδ. *ἔστι*. 11 κῶδ. *ἐξοστρακίσθη*. 13 κῶδ. *συνηπάθησε*. 21/22 Ψαλμ. α', 1. 23/24 Ψαλμ. ρλα', 14. 27/29 Ψαλμ. λθ', 1. 29 κῶδ. *φονῆς*. 31/32 Ψαλμ. ριη', 21.

8 κῶδ. *φροντίζων*. 15 κῶδ. *διατραφεῖτε*. 22 κῶδ. *τίθετε*. 30/31 κῶδ. *καινοῦσιν*. 36 συγκληρονόμους-Χριστοῦ] Ῥωμ. η', 17. 38/40 Κορινθ. 1, β', 9.

γεγενήμεθα, οὐχὶ "υἱοὶ φωτὸς" χρηματίζομεν; οὐχὶ τέκνα εὐπειθείας φανερούμεθα; οὐχὶ σπέρμα ἅγιον ἀποδεικνύμεθα; οὐκ αἰχμαλωτίζομεν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ; οὐχ ὑπεράνωθεν τῶν κοσμικῶν φρονημάτων προσανατρέχομεν; οὐχὶ κἂν πολλάκις τῆς ἡμέρας δεῖ θανεῖν διὰ Χριστὸν τεθνηξόμεθα;

Ναί, ναί, παρακαλῶ, τέκνα μου ἠγαπημένα· γενώμεθα υἱοὶ δυνάμεως, ὁπλῖται Χριστοῦ, λαὸς περιούσιος, χορὸς ἀγγελικός, σύστημα ἀκαταγώνιστον, κατὰ τοὺς ἁγίους πατέρας ἡμῶν, κατὰ τοὺς μακαρίους ὑποτακτίτας, ἵνα ἔχωμεν τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν πατούμενον καὶ ἐκνευρούμενον, ὡς ἐκεῖνος ὁ ἅγιος Σιλβανός, ὡς ἐκεῖνος ὁ ὅσιος Δοσίθεος, ὡς ἐκεῖνος ὁ ἀοίδιμος Ζαχαρίας, ὡς πάντες οἱ τῶν πάντων ὁσίων φοιτηταὶ χρηματίσαντες. ἐπεὶ δὲ οὐ μόνος Δοσίθεος, οὐδὲ μόνος Σιλβανός, οὐδὲ μόνος Ζαχαρίας δεδόξασται, ἀλλὰ καὶ πάντες οἱ συμφοιτηταὶ συνθεωροὶ καὶ συμμέτοχοι τῆς ἐκείνων δόξης γίνονται, κἂν προλάμπωσιν οὗτοι ὡς ὑψηλότεροι, ἐσώμεθα καὶ ἡμεῖς, δέομαι, ὡς οὗτοι, καὶ μὴ ἐπιβουλευώμεθα, μὴ ἀνασοβευώμεθα, μὴ ἀποκτεννώμεθα τὸν τῆς ἁμαρτίας θάνατον, ἀλλ' ἔτι τὰς ὑπολοίπους ἡμέρας ἢ ὥρας τοῦ βίου ἡμῶν ζήσωμεν εὐαρέστως θεῷ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ς'.

"Οτι χρὴ ἡμᾶς μὴ ἀτονεῖν ἐν τῷ πνευματικῷ ἡμῶν ἔργῳ, ἀλλ' εὐτόνως καὶ εὐμαρῶς ἐξανύειν τὸν προκείμενον ἡμῖν ἀγῶνα.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἴδετε εἰς ποίας ἡμέρας ἐτηρήθημεν πονηρὰς καὶ χαλεπωτάτας, κατὰ τὰς ἁμαρτίας μου, ἐν αἷς ἀφῄρηται τὸ καλὸν τῆς εἰρήνης, εἰσαχθείσης διχονοίας ἐν τοῖς χριστιανοῖς, καὶ ἄρτι ἠσφάλισται ἡ πόλις καὶ φρουρεῖται ὑπὸ στρατιωτικῆς χειρὸς ἐπὶ πᾶν αὐτῆς μέρος, ἐπὶ τῷ τῆς Χρυσοπόλεως περάματι παρεμβαλόντων τῶν ἀνταράντων ἀδελφῶν ἡμῶν καὶ ὁπλιζομένων κατάλῆψεσθαι τὴν πόλιν ὡς νοσσιάν.

Ταῦτα μὲν οὖν δεινὰ καὶ χαλεπὰ καὶ πολλῶν ἄξια δακρύων, καὶ δεῖ προσκεῖσθαι ἡμᾶς τῷ θεῷ ἐκτενῶς νύκτωρ καὶ μεθ' ἡμέραν, μετὰ στεναγμῶν καὶ δακρύων, ὑπὲρ ἀπαλλαγῆς τῆς ὀργῆς καὶ ἀποκαταστάσεως τῆς εἰρήνης, καθ' ὃν τρόπον οἶδεν ἡ ἀνεξιχνίαστος αὐτοῦ σοφία· "ἃ γάρ", φησίν, "ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα [αὐτοῦ] τὴν ὑψηλὴν τίς ἀποστρέψει"; χρὴ δὲ ἡμᾶς, τέκνα, μὴ ἐξαπορεῖν, ὡς ἐγκαταλελειμμένους ὑπὸ θεοῦ, μηδὲ ἀτονεῖν ἐκ τοῦ ἔργου ἡμῶν τοῦ πνευματικοῦ, ἀλλ' ἔχεσθαι τῆς σπουδῆς καὶ τῆς ἐργασίας ἡμῶν τῆς θεοπράκτου· "τοῖς γὰρ ἀγαπῶσι τὸν θεόν", εἴρηκεν ὁ ἀπόστολος, "πάντα συνεργεῖ εἰς ἀγαθόν". ὥστε οὔτε αὐτὴ ἡ παροῦσα ἀταξία, οὔτε ἑτέρα τις συμφορὰ δεινοτέρα, μᾶλλον δέ, ἵνα ἀποστολικῶς εἴπωμεν, "οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται χωρίσαι ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν". διὸ πρὸς θεὸν ὁρῶντες καὶ βλέποντες, καὶ πρὸς τὰ ἀποκείμενα ἡμῖν ἀγαθὰ ἀποσκοποῦντες, τὸν προκείμενον ἡμῖν ἀγῶνα ἐξανύωμεν εὐμαρῶς καὶ εὐσταθῶς καὶ εὐτόνως, μήτε τῇ ἀκηδίᾳ χαυνούμενοι, μήτε τῇ νηστείᾳ ἐξατονούμενοι, μήτε τῇ ἀγρυπνίᾳ ἐκνευρούμενοι, μήτε τῇ προσευχῇ ὀκνηριαζόμενοι, μήτε ταῖς ἄλλαις ἐντολαῖς ἀπονάρκουμενοι, ἀλλ' ὡς εἰς χαράν, ὡς εἰς ζωήν, ὡς εἰς εὐφροσύνην, ὡς εἰς ἀγαλλίασιν, καὶ ἔτι μείζω τούτων, ὡς εἰς φῶς, ὡς εἰς θεὸν τρέχωμεν καὶ διώκωμεν καὶ εἰσερχώμεθα ἐκ δυνάμεως εἰς δύναμιν τῶν ἐντολῶν καὶ ἐκ δόξης εἰς δόξαν τῶν

---

1 υἱοὶ φωτὸς] Θεσσαλ. 1, ε', 5. 24 ἐσώμεθα] οὕτως ἐν τῷ κώδικι. 25 κῶδ. *ἐπιβουλευόμεθα*. 26 κῶδ. *ἀνασοβευόμεθα*. 36 κῶδ. *ἴδε*.

2/3 κῶδ. *παρεμβαλλόντων*. 12/15 Ἡσαΐα ιδ', 27. 20 Ῥωμ. η', 28. 24/29 Ῥωμ. η', 38, 39. 32 κῶδ. *ἐξανοίωμεν*. 41 κῶδ. *εἰσερχόμεθα*. 42 ἐκ δόξης εἰς δόξαν] Κορινθ. 2, γ', 18.

ἀρετῶν, μεταμορφούμενοι καὶ ὅλοι βελτιούμενοι καὶ ἀεὶ λαμπρυνόμενοι καὶ τὰ θεῖα καταπλουτούμενοι, ἕως ἂν φθάσωμεν εἰς τὴν ἑνότητα, φησί, τῆς πίστεως, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' ὃν κόσμῳ ἐσταυρώθημεν καὶ κόσμος ἡμῖν ἐσταύρωται, δι' ὃν ἀφήκαμεν πάντα καὶ ἡγησάμεθα σκύβαλα εἶναι, ἵνα αὐτὸν κερδήσωμεν.

Βλέπετε οὖν, τέκνα μου, ὁποῖον καὶ ἡλίκον ἐξετελέσαμεν ἔργον, φυγόντες κόσμον καὶ ἀπειπάμενοι πάντα τὰ βιωτικά, καὶ συγγένειαν καὶ πατρίδα καὶ γονεῖς καὶ ἀδελφοὺς καὶ ἀδελφάς, πόλεις, οἴκους, ἰδίους, πάντα συλλήβδην τὰ σαρκικὰ καθήκοντα; μὴ οὖν ἄρτι μωμηθῇ τὸ τηλικοῦτον ἔργον ἡμῶν, παρακαλῶ καὶ ἀντιβολῶ, δι' ἀτονίας, δι' ἀμελείας, δι' ἀπροσεξίας τοῦ νοῦ. τοῦτο δὲ γίνεται, ἐὰν ἀρχώμεθα τελεῖν τὰ θελήματα τῆς σαρκὸς καὶ ἐκτελεῖν τὰ τῆς ψυχῆς παθήματα, οἷον ἐπιζητοῦντες τοῦτο, ἐκεῖνο, ἱμάτιον καλόν, καὶ τοῦτο αὐτόχροιον ἢ κοκκόβαφον, ἢ πολύκολπον, ὑψηλότατον κουκούλλιον, καὶ τοῦτο καινότατον ἢ βαθυφόρητον, ἢ ψιλοῦφαντον, ἢ πολύσταυρον, ἅτινά εἰσι τῶν νηπιοφρόνων τὰ νεωτερίσματα· πρὸς τούτοις τὸ ἐπιζητεῖν ζώνας μεταξορράφους καὶ εὐγραμμίστους, καλίκια ὁλένδυτα, εὐμάλακτα μανδύα πολύτιμα, βαθύτατα, καλόχροια, περιστέλλειν δὲ τοὺς χιτῶνας καὶ ὥσπερ ἐπὶ σκηνῆς γραμμίζεσθαι καὶ στιβίζεσθαι, ὡς αἱ κόραι· οὐκ αἰσχυνόμεθα οἱ ἀναίσχυντοι ταῦτα ἐπιτηδεύοντες; ἀλλ' οὐχὶ τοιοῦτοι οἱ ὅσιοι καὶ ἅγιοι πατέρες ἡμῶν· αὐτῶν γάρ εἰσιν τὰ πολύῤῥαφα κεντωνάρια, τὰ εὐτελῆ κουκούλλια, τὰ ἐξ ἁρμένων μαφόρια, τὰ πολυπέζωτα ὑποδήματα, ἐξ ὧν ἡ θεομίμητος ταπείνωσις, ἡ ἀδιάκριτος ὑπακοή, ἡ εἰλικρινὴς πίστις, τὸ πρὸς τὸν κόσμον μῖσος, τὸ πρὸς θεὸν φίλτρον, ὁ εἰς αὐτὸν ἔρως ἄληκτος, οἱ ἀγῶνες οἱ θαυμαστοί, οἱ φωτισμοὶ οἱ ψυχικοί, τὰ ὅσια ἀποτελέσματα.

Τούτους οὖν μιμησώμεθα καὶ ἡμεῖς, τέκνα καὶ ἀδελφοί, καὶ ἑαυτοὺς ῥυθμίσωμεν, καὶ ἑαυτοὺς ἐκβιασώμεθα τοῖς ἴχνεσι τῶν ἁγίων κατακολουθοῦντες, ἵνα καὶ τῆς μερίδος αὐτῶν καταξιωθῶμεν, καὶ μὴ βαρέως φέρετε ὑπομιμνησκόμενοι· οὐ γὰρ περὶ πάντων ὁ λόγος, ἀλλὰ περί τινων, οὓς ὁ κύριος διορθώσαιτο καὶ σώσειεν, ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ζ'.

Ὅτι χρὴ ὑποῖσαι ἡμᾶς καὶ πεῖναν καὶ δίψαν καὶ πᾶσαν ἄλλην στενοχωρίαν μέχρι θανάτου, καθὼς ἐν τῇ εἰσαγωγῇ ἡμῶν θεῷ συνεθέμεθα.

Ἀδελφοί μου καὶ πατέρες, ἐκ τῆς συμβάσης μοι κατὰ τὰς ἁμαρτίας μου ἀσθενείας διέκοψα κατὰ τὸ σύνηθες κατηχεῖν· ἐπεὶ δὲ ἔῤῥωταί μοι νῦν τὸ πανάθλιόν μου σῶμα, εἰ καὶ οὐ παντάπασιν ἐκαθαριεύθη θερμασίας, ἀναγκαῖον ἡγησάμην πάλιν ἔχεσθαι τῆς διακονίας μου· ἡ γὰρ διακονία μου αὕτη ἐστίν, ἵνα ὑμᾶς τοὺς ἀειποθήτους μου, τοὺς διὰ πνεύματος ἁγίου γεννηθέντας μοι, καθυπομνήσκω καὶ ὑποβάλλω τὰ χρήσιμα καὶ σωτήρια, καὶ οἱονεὶ καθ' ἑκάστην διεγείρω καὶ ἀνακαινίζω τὸ νηφάλιον τῶν ψυχῶν ὑμῶν φρόνημα, καὶ οὔπω κέκτημαι τὸ τοιοῦτον χάρισμα. "ἐργάζεσθε οὖν", ὡς φησιν ὁ κύριος, "μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον", τὰς ἐντολὰς αὐτοῦ δηλονότι, τὰ δικαιώματα, ἐν

---

4 κῶδ. *ἑνώτητα* || φησί] Ἐφες. δ', 13. 6 κόσμῳ ἐσταυρώθημεν] Γαλατ. ε', 24 «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν». 7 κόσμος ἡμῖν ἐσταύρωται] Γαλατ. ς', 14 «δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται Γαλατ ς', 14 «δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ». 8 Φιλιπ. γ', 8. 22 αὐτόχροιον] οὕτως ἐν τῷ κώδικι || κοκκόβαφον] κῶδ *корóвафон*· ὁ σλάβος ἑρμηνεὺς краснoчервленныхъ. 23 πολύκολπον=πολύπτυχον] κῶδ. *полúкорфон*· σλαβ. много верховныхъ || ὑψηλότατον] κῶδ. *ψιλώτατον* || κῶδ. *κουκούλιον*. 28 κῶδ. *εὐγραμίστους*. 29 κῶδ. *μανδία* || κῶδ. *καλλόχροια*. 35 κῶδ. *πολύραφα*. 36 κῶδ. *ἁρμένων*.

8 κῶδ. *ῥυθμήσωμεν*. 13 κῶδ. *διορθώσηται*. 26 μοι] κῶδ. *μου*. 34 κῶδ. *νηφάλαιον*. 36/38 Ἰωάν. ϑ', 27. 39 κῶδ. *δῆλον ὅτι* || δικαιώματα] Ψαλμ. ριη', 16, 117.

τῷ νόμῳ αὐτοῦ μελετῶντες ἡμέρας καὶ νυκτός, ὥστε γενέσθαι ὑμᾶς "ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων", καθὼς ψάλλει ὁ θεῖος Δαβίδ, καὶ ὁ καρπὸς ὑμῶν ἐπιδοθήσεται ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον ὑμῶν τῆς σωτηρίας οὐκ ἀπορρυήσεται, δηλαδὴ ἐν τῷ μέλλοντι αἰῶνι. "οὐχ οὕτως οἱ ἀσεβεῖς δέ, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς".

Ἀσεβεῖς δὲ εἶεν ἂν οὐ μόνον ἀλλόπιστοι, ἀλλὰ καὶ οἱ παραβάται τῶν τοῦ κυρίου ἐντολῶν. καὶ ἵνα ἐπὶ τοῦ καθ' ἡμᾶς συστήματος ἐκλάβοιμεν τὸ ῥῆμα, τί βούλονται ἄλλο εἶναι οἱ ἀνήκοοι, οἱ ὑπερήφανοι, οἱ τροπολόγοι, οἱ τεχνασταί, οἱ ἀλαζόνες, οἱ παῤῥησιασταί, προσθήσω δὲ καὶ οἱ λαθροφάγοι, οἱ γογγυσταί, οἱ φιλόκαλοι, οἱ περίεργοι, οἱ ἀεργοί, οἱ ἀδιάφοροι, οἱ ψιθυρισταί, οἱ ἰδιογνώμονες, οἱ κατάλαλοι, ἔτι δὲ μᾶλλον οἱ ἀχάριστοι καὶ ἐκζητηταὶ τῶν μὴ προσηκόντων; οὐ γὰρ ἀρκοῦνται ἐφ' οἷς αἱ δωρεαὶ τοῦ θεοῦ δίδονται, ἀλλὰ προφασιζόμενοι "προφάσεις ἐν ἁμαρτίαις", καὶ λόγους συνηγόρους τοῖς πάθεσιν αὐτῶν ἐφευρίσκοντες, καὶ τὸ ὅλον ἀφέντες τοῦ περὶ ψυχῆς ἀγωνίζεσθαι, ἡδυπαθοῦντες περὶ τὸ σῶμα καὶ καταδουλούμενοι τῷ διαβόλῳ, ζητοῦσι καὶ ἐκζητοῦσι καὶ διαμάχονται περὶ βρωμάτων καὶ πομάτων, ὧν οὐκ εἰσὶν ἄξιοι, καταιτιώμενοι τὸν οἶνον καὶ τὸ ἐψητόν, καὶ προβαλλόμενοι τὴν φύσιν καὶ τὴν ἕξιν καὶ τὴν ἀσθένειαν. ὡς ὤφελέν γε τοὺς τοιούτους καὶ σπληνιᾶσαι, καὶ ἡπατιᾶσαι, καὶ ὑδεριᾶσαι καὶ τεθνᾶναι, ἵνα τοῦ μεγίστου τῶν ἀῤῥωστημάτων, κακίας καὶ ἀχαριστίας, ἀπηλλάγησαν! εἰσὶ δὲ οἱ καὶ τὸ ὄψον ἀεὶ ἐπιζητοῦντες καί τινα προπόματα καὶ καρυκεύματα. καὶ ὡς ἀπολελήθασιν οἱ τάλανες τί ἐν τῇ εἰσαγωγῇ αὐτῶν τῇ πρώτῃ ἡμέρᾳ θεῷ συνέθεντο καὶ καθωμολόγησαν ἐνώπιον πολλῶν μαρτύρων, ἀοράτων τε καὶ ὁρωμένων! οὐχὶ πεῖναν καὶ δίψαν, θλῖψιν καὶ στενοχωρίαν, λιμὸν καὶ διωγμόν, βασάνους καὶ θανάτους; καὶ ἄρτι περὶ διαφορᾶς οἴνου καὶ βρωμάτων τὴν διαμάχησιν ποιοῦνται! ἀλλ' οὖν, ὡς ἐνέπαιξαν, ἐμπαιχθήσονται, καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐπόπτην καὶ ἀκροατὴν τῶν ὁμολογιῶν αὐτῶν, φοβοῦμαι μὴ παραδώσῃ αὐτοὺς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα καὶ ὀλέθρια.

Ἀνανήψατε οὖν, ὦ οὗτοι, μᾶλλον δὲ ἐκνήψατε ἀπὸ τοῦ νυσταγμοῦ τῶν ψυχῶν ὑμῶν, ἀπὸ τῆς θείας καταφρονήσεως, ἀπὸ τῆς χθαμαλότητος, ἀπὸ τῆς χλιαρότητος· πυρώθητε τῷ θείῳ πόθῳ καὶ φόβῳ· "δράξασθε παιδείας", ἀναλάβετε "ὅπλα δικαιοσύνης"· τρέμετε καὶ δεδιᾶτε καὶ ἐπ' αὐτοῖς τοῖς προκειμένοις τῇ τραπέζῃ. οὐ λέγω, ὅτε ὄψοι καὶ τυροὶ καὶ βρωμάτια καὶ τηγανίσματα καὶ λαγανίσματα, ἀλλὰ καὶ ἐπὶ μόνῳ ἄρτῳ καὶ ἐλαιωμένῳ λαχάνῳ καὶ κυάμῳ, ὁσπρίοις ἄλλοις καὶ ὀπώραις καὶ μιᾷ κράσει ἢ δύο οἴνου, ὅτι καὶ αὐτὴ μεγάλη παράκλησις. καὶ τίς ταπεινοφρονῶν οὐ δέδοικεν, διὰ τῆς ἀναπαύσεως ταύτης ἀποστερεῖσθαι δοκῶν τῶν αἰωνίων ἀγαθῶν; ἐγὼ τέως, ἵνα τὸ κατ' ἐμὲ ἐξείπω, κολάσεως ἐφόδιον λογίζομαι τὸ βρῶμα καὶ τὸ πόμα μου, καὶ μάλιστα τὸ ἐν τῇ ἀσθενείᾳ δοθέν μοι· πιστεύσατε δέ μοι, εἰ καὶ παραφρονῶν λέγω, ὅτι, εἰ μὴ φόβος πολὺς παρακοῆς με τοῦ κοινοῦ πατρὸς ἐπίεζε καὶ τῆς ὑμῶν περικλονήσεως καὶ διοικήσεως ὁ ἐν διακρίσει λόγος, ἐπεὶ οὐκ ἂν μετήλλασσον, τὴν βρῶσιν καὶ τὴν ἔξιν μου λέγω, μέχρις ἂν "παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου", ἀλλὰ καὶ ἔφαγον καὶ ἔπιον, καὶ ταῦτα διάφορα, ἀλλ' ἵνα καὶ πάλιν ἐν ἀφροσύνῃ εἴπω, μετ' ὀδύνης καὶ στεναγμοῦ καὶ χολῆς, τὸ μὲν διὰ τὴν ἀναξιότητα, τὸ δὲ διὰ τὴν ὑμῶν αὐτῶν τῶν ἀσθενούντων ἐπιμερίμνησιν καὶ σπανιότητα.

Πλὴν ὅ τι χάριτι Χριστοῦ ἔχομεν καὶ ἔχετε, καὶ δότε δόξαν θεῷ οἱ ἀγνώμο-

1 Ψαλμ. α', 2. 2/10 Ψαλμ. α', 3, 4. 9 κῶδ. *χνοὺς*. 18 κῶδ. *φιλόκαλλοι*. 24 Ψαλμ. ρμ', 4. 33 κῶδ. *ὤφελον*. 43 κῶδ. *ὁρομένων*.

11 κῶδ. *ἐκνύψατε*. 13 κῶδ. *χθαλαμώτητος*. 14 Ψαλμ. β', 12. 15 Ῥωμ. ς, 13 || κῶδ. *δικαιωσύνης* 18 κῶδ. *βρωμάλια*. 19 κῶδ. *ἐπιμόνω*. 27 κῶδ. *πόμμα*. 34 Ψαλμ. ϟγ', 17.

νες· καὶ γὰρ καὶ οἰνοποτήσαμεν καὶ ἐλαιοφαγήσαμεν καὶ ὀψαροφαγήσαμεν καὶ ἐνοσοκομήθημεν καὶ ἐθεραπεύθημεν οὐχ ἅπαξ, οὐ δίς, ἀλλ' ὡς ἔπος εἰπεῖν καὶ καθ' ἑκάστην ἡμέραν. καὶ ἀδελφὸς ἐκλελεγμένος ἐστὶ πεῖραν εἰληφὼς καὶ ἰατρικῆς, ὁ πρωτονοσοκόμος, συνυπουργοὺς ἔχων τρεῖς καὶ τέσσαρας καὶ πέντε, ἴδιον ὀψοποιόν, ἴδιον κελλαρίτην, ἔλαια κατασκευάζων καὶ καταπλάσματα καὶ μοτώματα, ἀενάως τὴν διακονίαν ἐπιτελῶν. καὶ ἔξοδοι οὐκ ὀλίγαι· καθ' ἑκάστην τυχὸν τὰ ὀψάρια δίδονται, εἴτε ἀπὸ τῶν ἀποτεταγμένων τριῶν καὶ τεσσάρων ἁλιέων, εἴτε ἐξ ἀγορασίας. οἶνοι πόσοι καὶ ἡλίκοι ἐδαπανήθησαν καὶ δεδαπάνηνται! ἔλαια πόσα! μέλιτα ὡσαύτως! ἄρτοι καθαροὶ γίνονται κατὰ ζυμωσίαν, ἄλλα τινά, ἵνα μὴ ἐν καθ' ἓν ἐπιλέγων μηκύνω τὸν λόγον. ἐν τούτοις πᾶσιν, ὦ ἀχάριστοι, οὐκ εὐχαριστήσωμεν; οὐκ αἰνέσωμεν; οὐκ ᾄσωμεν; οὐ δῶμεν δόξαν τῷ θεῷ, οὐδὲ τοῦτο ἐπινοοῦντες, ὅτι οὐδὲν εἰσηνέγκαμεν εἰς τὸ μοναστήριον, οὐδὲ ἐξ ἐργασίας ἡμῶν εἰσφορά τις συμπεπόρισται; καὶ γάρ ἐσμεν οἱ τοιοῦτοι οἱονεὶ σεύτλια δίεφθα, ἢ ὡς κρόμμυα ἐνδεδυμένοι, ἢ ὡς μαλάκια κουφότατα, μόνον φερόμενοί τε καὶ θεωρούμενοι, καὶ ἄλλο οὐδέν, οὐδὲ κἂν πρὸς παράστασιν πυλῶνος χρησιμεύοντες, οὐδ' ἂν πρὸς τραπεζοποιΐαν, οὐδ' ἂν πρὸς ἄλλο τι τῶν παιδικῶν καὶ γερόντων. ἀλλ' οὐδὲ ἐκεῖνο ἐπαισθανόμεθα οἱ ἀναίσθητοι ἀληθῶς καὶ ἀλογώτατοι, ὅτι ἴσως καὶ ἐσχατίζομεν, καὶ ὅτι ἄλλοι οἱ τίμιοι καὶ ὑπὲρ ἡμᾶς ἀδελφοὶ καὶ πατέρες. οἳ μὲν ἔσω, οἳ δὲ ἔξω, ἐν χειμῶνι καὶ ἀέρι, ἐν πυρὶ καὶ καύσωνι, ὡς δοῦλοί τινες ἀποταγέντες ἀροτριῶσι, σκάπτουσι, κλαδεύουσι, κηπεύουσι, ξυλεύουσι, τεκτονεύουσι, μυλεύουσι, δευσοποιοῦσι, ὀψοποιοῦσι, χαλκεύουσι, πλύνουσι, ῥάπτουσι, κακοφοροῦσι, περιπατοῦσι, διακονοῦσι, πεζοποροῦσιν ἢ ἐν πόλεσιν, ἢ ἐν ἀγροῖς, ἢ ἐν ὄρεσιν, ὠνούμενοι πράγματα, ἀποδιδόμενοι, καὶ ταῦτα θλιβόμενοι, καταπονούμενοι. ἀλλ' ὄντως τῶν τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

Βλέπε δὲ σύ, ὦ τυφλέ, ὦ σκληρέ, ὦ πονηρέ, ὦ ἀπηλπισμένε, μήποτε ἀκούσῃς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, "δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας ἐκβάλετε εἰς τὸ πῦρ τὸ ἐξώτερον". Αἴ, αἴ, καταφρονεῖτε θεοῦ, ὡς μὴ ἀνταποδιδόντος παραυτίκα. ὡς ἀληθῶς περὶ ὑμῶν εἴρηται· "εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός". διατί; ὅτι διαφθείρεσθε καὶ βδελύσσεσθε ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν, μὴ ποιοῦντες χρηστότητα. ἀλλ' ὁ κύριος ἐκ τοῦ οὐρανοῦ διακύπτει καθ' ἑκάστην καὶ βλέπει τίς ἐστιν ὁ συνιῶν καὶ ἐκζητῶν αὐτόν, καὶ τοὺς τοιούτους καταγράφεται, τοὺς δὲ ἄλλους παραγράφεται. φοβοῦμαι μὴ ἔλθῃ ὁ ἅγιος Δαβὶδ καὶ ψάλλῃ περὶ ὑμῶν καὶ εἰς ἔργον ἐκβῇ τὸ ψαλλόμενον· "διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν". τίνας; δῆλον ὅτι τοὺς τοιούτους πονηροὺς ἀπὸ τῶν ἀγαθῶς πορευομένων. ἀλλὰ σύνετε ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ, μή ποτε ἁρπάσῃ καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος, κἀμοὶ συγχωρήσατε τῷ ἄφρονι, τέκνα ἠγαπημένα, ὅτι φειδόμενος ὑμῶν ἐξ ἀγάπης μετὰ δακρύων ταῦτα λέλεχα, συμφέρον ἡγούμενος τῷ λόγῳ μου μαστίξαι ὑμᾶς, ἢ τῶν μαστίγων πειραθῆναι ὑμᾶς τῶν αἰωνίων· ὧν ῥυσθείημεν πάντες χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ καὶ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Η'.

Περὶ τοῦ μὴ συνεδριάζειν καὶ συμβολοκοπεῖν μετ' ἀλλήλων τὰ φθάνοντα εἰς κατάλυσιν τῶν ψυχῶν ἡμῶν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, πάλιν πειρασμός, πάλιν σκάνδαλον! πάλιν ἐγὼ ὁ ἐλεεινὸς πενθῶν καὶ σκυθρωπάζων, ὅτι ἀπελάκτισαν οἱ ἠγαπημένοι, ὅτι ἐβλήθησαν

1 κῶδ. *οἰνοποτίσαμεν*. 40/41 πεζοπορουσιν] κῶδ. *πεζοποιουσιν*.

5/6 Ματθ. κβ', 13. 9 Ψαλμ. ιγ', 1 || κῶδ. *ἄφρον*. 12 χρηστότητα] Ῥωμ. γ', 12. 14 συνιῶν καὶ ἐκζητῶν] Ῥωμ. γ', 11. 18 Ψαλμ. ις', 14. 19 κῶδ. *δηλονότι*. 39 κῶδ. *σκηθρωπάζων*.

κάτω οἱ ὑψηλοπολίτευτοι, ὅτι οἱ δοκοῦντες εἶναι σοφοὶ ἐσκοτίσθησαν, ὅτι οὐ πολὺν καὶ πολυχρόνιον ἐπιφερόμενοι τὸν ἀγῶνα καὶ ἱδρῶτα τῆς εὐσεβείας, μιᾷ καιροῦ ῥοπῇ ἐξεκένωσαν ἅπαντα καὶ ἐγενήθησάν μοι ἀντὶ ἀμπέλου ἄκανθαι καὶ ἀντὶ εὐφροσύνης πικρία, καὶ ἀντὶ προσδοκίας ἀποτυχία. καὶ οὐκ οἶδα τί εἴπω, ἢ τί λαλήσω ἐπὶ τὸ πτῶμα καὶ τῇ συντριβῇ τῶν ἀδελφῶν ἡμῶν, ἢ καθήσομαι καὶ κλαύσομαι μόνον καὶ λέξω ἐκεῖνο, εἰ ταῦτα οὕτως, "τίς ἄρα, κύριε, σωθήσεται"; καὶ ὄντως οὐκ ἔστιν ἄνδρα ἐπαινέσαι ἕως τῆς ἐξόδου αὐτοῦ. καὶ ὄντως δυσδιεξάνυστος ἡ ὁδὸς τῆς σωτηρίας ἡμῶν, καὶ τίς ἐκφεύξεται τὰς τηλικαύτας μεθοδίας τοῦ διαβόλου; καὶ τίς οὐ μεριμνήσει μέχρις αὐτῆς τῆς ἐξόδου αὐτοῦ;

Τοῦτο καλῶς εἰδὼς ὁ ἅγιος ἐκεῖνος πατήρ, ἤδη ἐπὶ θύραις ὢν τοῦ θανάτου καὶ εἰπόντος πρὸς αὐτὸν τοῦ διαβόλου, ὅτι "ἐξείλησάς με", "οὐκ οἶδα" ἐκεῖνος ἀνταπεκρίνετο. τοσοῦτον ἦν τὸ ἐναγώνιον αὐτῷ, ὅτι μηδὲ ἐν τῇ μιᾷ ὥρᾳ ἐκείνῃ ἐδόκει ἔχειν τὸ ἀσφαλὲς τῆς σωτηρίας αὐτοῦ, κατὰ τὸ πολὺ τῶν εὐσεβῶν πόνων αὐτοῦ μέτρον. ἡμεῖς δέ, ἐπειδὰν πενταχρονίσωμεν, ἤτοι δεκαχρονίσωμεν, ἢ τὰς καταστάσεις τοῦ μοναστηρίου ἐκμάθωμεν, ἢ βραχέα τῆς Γραφῆς ῥήματα ἐκστηθίσωμεν, ἢ τόσον δὲ καὶ τόσον γονυκλιτήσωμεν, ἢ προσευξώμεθα, ἢ νηστεύσωμεν, ὡς τὸ πᾶν τετελεκότες οἰηματιζόμεθα καὶ μεγαλοφρονοῦμεν. διὰ τοῦτο ὡς τὰ φύλλα πίπτομεν καὶ "τὰ ὀστᾶ ἡμῶν" συντρίβονται "παρὰ τὸν ᾅδην"· πρὶν ἐκσπασθῆναι ξηραινόμεθα καὶ ἐσμὲν σοφοὶ ἐν ἀμαθίᾳ καὶ ἐλλόγιμοι ἐν ἀλογίᾳ, καὶ χειροτονοῦμεν ἑαυτοὺς διδασκάλους, ζηλωτάς τε καὶ ἀκριβευτάς, καὶ ὡς ἐν ἡμῖν μόνοις τὴν ἀλήθειαν γνωρίζομεν ἐστῶσαν. διὰ τοῦτο ταῦτα ἡμῖν συνέβη, διὰ τοῦτο σκότος ἀντὶ φωτὸς δεχόμεθα, διὰ τοῦτο ὡς ἐκ παραδείσου ἐξόριστοι γινόμεθα τῆς αὐλῆς τοῦ Χριστοῦ καὶ τοῦ ποιμνίου αὐτοῦ.

Προσέχετε τοιγαροῦν, ἀδελφοί μου, παρακαλῶ, καὶ μὴ κατ' ὀλίγον ἐκδαπανᾶτε τὴν ἀρετὴν ὑμῶν καὶ τὴν εὐπιστίαν, καὶ τοσοῦτον πτωχεύετε, ὥστε κατεσθίειν τὴν οὐσίαν ὑμῶν πᾶσαν τῆς ψυχῆς ἀλογίστως καὶ ἔρχεσθαι ἐπ' αὐτὸ τὸ τῆς μεταβάσεως πτῶμα· ἐν τῷ γὰρ λέγειν καὶ ἀκούειν ὑμᾶς τοὺς περὶ τῶν τοιούτων λόγους καὶ συγκαταβαίνειν ἀλλήλοις ἐπισφαλῶς καὶ ὑποστέλλεσθαι ἢ αὐτοὶ αὐτοὺς διορθοῦν, ἢ ἀναφέρειν ἡμῖν τὰς αἰτίας, ἵνα καὶ θᾶττον τὰ ἱάματα δίδωνται, πίπτετε καὶ συμπίπτετε καὶ συγκόπτεσθε, καὶ οὐκ οἶδα τί τέξεται ἡ ἐπιοῦσα ἐπὶ πᾶσιν ὑμῖν τοῖς οὕτως πορευομένοις. καλῶς ταῦτα οὕτως συνεδριάζετε, οὕτως καθέζεσθε, οὕτως συμβολοκοπεῖτε, ἵνα εἰς κατάλυσιν τῶν ψυχῶν ὑμῶν φθάνητε; τί, ἡνίκα ἀκούετε τὰ τοιαῦτα, οὐκ ἀποστρέφεσθε καὶ καταφοβεῖτε τὸν ἐπιλέγοντα καὶ νουθετεῖτε ἀποφεύγειν αὐτόν, ὡς ἀπὸ πυρὸς καὶ ὡς ἀπὸ ὄφεως, ἀλλὰ τῇ ὁμαλότητι καὶ τῇ δῆθεν χρηστότητι καὶ τῇ δῆθεν ἀδιαβλησίᾳ καὶ ἀγάπῃ τοῦ ἀδελφοῦ εὑρίσκεσθε ἀνθρωποκτόνοι καὶ μισάδελφοι καὶ αἷμα ἀθῷον ἐκχέοντες, ἐκζητηθησόμενον ἐκ τῶν ψυχῶν ὑμῶν; ἤδη δὲ λελάληκα, ἀδελφοί μου, καὶ ἤδη προμαρτύρομαι, ὡς καὶ προεμαρτυρησάμην, μετὰ πόνου καὶ ἀγῶνος καὶ ὀδύνης.

"Ἄκουε", φησίν, "οὐρανέ, καὶ ἐνωτίζου γῆ". μηδεὶς μηκέτι προφασιζέσθω, μηδεὶς λεγέτω, ὅτι οὐκ οἶδα, οὐδὲ δεδίδαγμαι, οὐδὲ ἀκήκοα. καὶ οἴδατε καὶ ἐδιδάχθητε καὶ ἠκούσατε, καὶ πάντα καθαρὰ τοῖς καθαροῖς. ἢ εἰς τὴν ἐμὴν ἀπώλειαν τρέχετε καὶ ἡγεῖσθε ἀτιμώρητοι εἶναι ἐν ἡμέρᾳ κρίσεως, σχιζόμενοι καὶ ἀποχωριζόμενοι ἀπὸ θεοῦ διὰ τῆς ἀρνητικῆς ὁμολογίας ὑμῶν; οὐχ οὕτως ἔχει; ὁ θεὸς κριτὴς δίκαιός ἐστιν, ἐμὲ μὲν τιμωρήσων, κατ' ἀξίαν πάντως γε, ἀλλ' οὐδὲ οἱ τοιοῦτοι ἐκφεύξονται τοῦ κρίματος τῆς κολαστικῆς τιμωρίας, ἀλλὰ ἀποτίσουσι δίκην τῆς παραβάσεως αὐτῶν· παραβάται γὰρ νόμου θεοῦ γεγόνασι, καὶ οὐκ ἐνέμειναν ἐν τοῖς ὁμολογηθεῖσιν ἐνώπιον τοῦ βήματος αὐτοῦ,

1 κῶδ. *ὑψιλοπολίτευτοι.* 32 ὡς τὰ φύλλα πίπτομεν] Παροιμ. ια', 14. 33/34 Ψαλμ. ρμ', 7.

8 κῶδ. *τοῖς - - λόγοις.* 9 κῶδ. *ἀλλήλους.* 14 κῶδ. *πορευόμενος.* 18 κῶδ. *ἀκούητε.* 29 Ἡσαΐα α', 2.

μεθ' ἧς καὶ ἡ ἀπόκαρσις καὶ ἡ ἄφεσις τῶν ἁμαρτιῶν αὐτῶν γέγονεν διὰ τοῦ τῆς μετανοίας ἁγίου καὶ καθαρτικοῦ βαπτίσματος. τί δὲ φῶσιν ἡμῖν, ὁ ταπεινὸς Εὐστάθιος καὶ ὁ ἐλεεινὸς Ἐπιφάνιος λέγω, καὶ ἕνεκεν τίνος καὶ διατί οὕτως εἰργάσαντο τὸ πτῶμα αὐτῶν; ἀλλ' οὖν οὐκ ἔχουσιν εἰπεῖν δίκαιον, ὅ τι ἂν ἐπινοήσωσιν, ἐφ' ὅσον γέγραπται "οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες", καὶ ἐφ' ὅσον γέγραπται "τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός μου"; οὐ γὰρ χρεία περισσοτέρως ἐκφαίνειν τὸν τρόπον, δι' ὃν περ ἔδοξαν εὖ ἔχειν καὶ ἀνεξάρνητον καὶ ἀσπαστήν μοι τὴν λαθραίαν ἀναχώρησιν αὐτῶν. πλὴν ἐκεῖνο ἐπὶ πᾶσιν ἐρῶ, ὅτι ἐπισφαλὴς καὶ ὀλέθριος αὐτῶν ἐστιν ἡ ἔξοδος. οὐκ οἴδατε εἰς ὅ τι ἂν ἀποτελέσειεν διὰ τὴν εὐαπολόγητον πρόφασιν;

Εὐξώμεθα οὖν ὁμοθυμαδὸν ἅπαντες, παρακαλῶ, ὑπὲρ τῶν πλανηθέντων, ἵνα ἐπιστραφῶσιν, ἵνα φανερωθῶσιν, καὶ τὸ τρίτον, [ἵν'] οὐχ ὅπερ ἡμεῖς, ἀλλ' ὅπερ αὐτὸς θέλει, γένηται ἐν αὐτοῖς καὶ ἢ ἄρτι, ἢ μετὰ ταῦτα, ὅπως ἀπολῃψώμεθα αὐτοὺς σώους· τότε γὰρ ἐκφανθήσεται τὸ τί καὶ ὁποῖον τὸ ἔργον αὐτῶν, κἄν τε θεϊκόν, κἄν τε σατανικόν. ὑμᾶς δὲ ἔτι ἀσφαλίζομαι, τέκνα, πρὸς τὸ εὐεξαγόρευτον, πρὸς τὸ ὑπομονητικόν, πρὸς τὸ ταπεινοφρονητικόν, ἵνα ἀνέχησθε ἀλλήλων, βαστάζητε ἀλλήλους, παραχωρῆτε, συμβιβάζησθε, εἰρηνεύητε ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Θ'.

Περὶ τοῦ ὑποφέρειν ἡμᾶς πάντα τὰ ἐπισυμβαίνοντα λυπηρά, κατὰ τὴν κοινοβιακὴν ἡμῶν ζωήν, ὡς ἂν ἐπιτύχοιμεν τῆς βασιλείας τῶν οὐρανῶν.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, εὐλογῶ τὸν θεὸν τοῦ πατρός μου καθ' ἑκάστην ἡμέραν, τὸν δυναμοῦντα καὶ κραταιοῦντα ὑμᾶς εἰς τὴν ἀθλητικὴν ὑμῶν ἔνστασιν τῆς ὑποταγῆς, καὶ ἡ ταπεινὴ εὐχή μου ἵνα ἐπὶ πλεῖον ἀνοίξῃ ὁ κύριος τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ὑμῶν ἐπιβλέψαι πάσας τὰς ὁδοὺς αὐτοῦ, εἰς τὸ λαβεῖν ὑμᾶς ἔρωτα τῆς περὶ αὐτὸν θείας ἀγάπης, καὶ κατακοιμῆσαι πάντα πόθον σαρκικὸν καὶ ὑπεράνω γενέσθαι τῆς τῶν παθῶν κατακρατήσεως, ὥστε εἶναι ὑμᾶς τετελειωμένους καὶ πεπληρωμένους ἐν παντὶ ἔργῳ ἀγαθῷ. τοῦτο δέ, ὡς ἴστε, τέκνα μου, οὐκ ἀμογητὶ γίνεται, οὐδὲ ἀταλαιπωρήτως, οὐδὲ ἐπισυντόμως, ἀλλ' ἐν πολλῷ μόχθῳ καὶ κόπῳ, νυκτὸς καὶ ἡμέρας βιαζομένων καὶ ἐκβιαζομένων ἡμῶν τὴν φύσιν καὶ φερόντων πάντα τὰ ἐπισυμβαίνοντα λυπηρά, εἴτε ἐξ ἀνθρώπων, εἴτε ἐκ δαιμόνων, κατὰ τὴν κοινοβιακὴν ἡμῶν ζωήν· ὁ γὰρ μὴ ἀποκαμὼν ἐν τούτοις, ἀλλὰ βοηθείᾳ θεοῦ ὑπομένων καὶ καρτερῶν, καὶ λόγον ὑβριστικὸν καὶ ἐπίταγμα φορτικὸν καὶ κανόνα ἐπιτιμητικὸν ἀφορισμοῦ, ξηροφαγίας, παραστάσεως, ὀνειδισμοῦ, ἑτέρου τινὸς ἄλλου τῶν εἰωθότων, οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ καὶ οὐκ ἀποτεύξεται τῆς βασιλείας τῶν οὐρανῶν.

Λοιπὸν καλὸν καὶ μακάριον τὸ φέρειν τὰ τοιαῦτα παθήματα καὶ γίνεσθαι ἀθλοφόρον Χριστοῦ, καὶ μὴ ἀπευδοκεῖν καὶ ἐμφέρεσθαι ἐν τοῖς ἀριστεροῖς,. οἱονεὶ ὀργὰς ἀναλαμβάνειν καὶ μάχας, αὐθαδείας τε καὶ οἰήσεις, ἀντιλογίας τε καὶ ἔχθρας, ἀνυποταξίας τε καὶ ἔριδας, πικρίας τε καὶ καταλαλιάς, συκοφαντίας τε καὶ ψευδολογίας, διαβολάς τε καὶ ἐπιφθονήσεις, παρακοάς τε καὶ γελωτοποιΐας, φθάζει δὲ ὁ λόγος εἰπεῖν, παλαίστρας τε καὶ δρόμους· τοσοῦτον γὰρ ἐξώκειλάν τινες ἐν ὑμῖν, καθὼς μανθάνω, ἄρτι εἰς κακίαν. καὶ γε οἱ τοιοῦτοι πῶς δύνανται εἶναι καὶ ἀκούειν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; ἀλλ' οὐχὶ μᾶλλον υἱοὶ ἀπειθείας

1 ἧς=ὁμολογίας. 9 Ἡσαΐα ε', 21 || αὐτῶν] κῶδ. *ἑαυτῶν*. 10/13 Ψαλμ. μθ', 16. 20 ὁ σλάβος ἀνέγνω: *αὐτῶν πρόφασιν*. 24 προσέθηκα τὸ *ἵν'*, ὅπερ ἔχει καὶ ὁ σλάβος.

1 κραταιοῦντα] κῶδ. *κρατοῦντα*· σλαβιστὶ укрѣпляющаго. 23 κῶδ. *εἰοθότων*. 24 οὗτος] κῶδ. *οὕτως*. 26 κῶδ. *ἀποτεύξηται*. 31 κῶδ. *ἀναλαμβάνων*. 38 κῶδ. *εἰς δρόμους*. 42 υἱοὶ ἀπειθείας] Ἐφεσ. β', 2. ε', 6. Κολοσ. γ', 6.

καὶ τέκνα ὀργῆς καὶ κληρονόμοι οὐ τῶν αἰωνίων ἀγαθῶν, ἀλλὰ τῶν ἀτελευτήτων βασανιστηρίων; μὴ γὰρ οὐκ ἀγγελικὸν ὑμῶν τὸ σχῆμα, ἀδελφοί μου; μὴ οὐ πανάγιος ὁ βίος; μὴ οὐ θεόληπτος ὁ δρόμος; τί λέγει ὁ μέγας ἀπόστολος; "εἰ γὰρ ἃ κατέλυσα", φησί, "ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι".

Ἀπεδυσάμεθα οὖν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὴν ἀπάτην τοῦ πολυμόρφου ὄφεως· ἀπεταξάμεθα τοῖς τῆς πρώτης καὶ πικρᾶς γεύσεως καὶ ἐξορίστου παρακοῆς, δι' ὧν ὁ πολυπαθὴς θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν· ἐάσαμεν τὰ τῆς μοχθηρᾶς γενέσεως ἡμῶν αἴτια, πρῶτον μὲν ἐν τῷ δι' ὕδατος καὶ πνεύματος βαπτίσματι, ἔπειτα [δὲ] κατὰ μεγάλην φιλανθρωπίαν θεοῦ καὶ ἐν τῷ δευτέρῳ τῆς μετανοίας καὶ ἀποταγῆς βαπτίσματι, καὶ τὰς ὁμολογίας ὑμῶν ἔχει θεὸς ἐγγεγραμμένας διὰ μαρτυρίας τῶν ἁγίων αὐτοῦ ἀγγέλων, ἔχω δὲ καὶ ἐγὼ ὁ τάλας σεσημειωμένας. ἀπεκάρθητε, ἐφωτίσθητε, ἐλύθητε τῶν δεσμῶν τῆς ἁμαρτίας, ἐνεδύσασθε τὸν νέον ἄνθρωπον, τὸν κατὰ θεὸν κτισθέντα, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Τί αὖθις παλινδρομεῖτε; τί πρὸς τὸν ἴδιον ἔμετον ἐπιστρέφετε; τί ὡς κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα, παροιμιακῶς εἰπεῖν, ὑπονοστίζετε; τί ἀνεύθετοι γίνεσθε, κατὰ τὸν λόγον τοῦ κυρίου, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, διὰ τοῦ βαλεῖν τὴν χεῖρα ὑμῶν ἐπ' ἄροτρον καὶ στραφῆναι εἰς τὰ ὀπίσω; ἀγαπῶν ὑμᾶς λέγω — μάρτυς κύριος —, φειδόμενος, ἀγωνιῶν, περιπονούμενος. τί λέγει ἐν τῇ Παλαιᾷ Διαθήκῃ περὶ τῶν Ἰσραηλιτῶν; ὅτι ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον, ἐπειδὴ ὑπεμνήσκοντο τῶν κρομμύων καὶ κρεῶν καὶ λεβήτων τῶν ἐν Αἰγύπτῳ καὶ τῆς ἐκεῖσε δυστήνου αὐτῶν ζωῆς. τάχα καὶ ἡμεῖς ἐστράφημεν εἰς τὸν κόσμον καὶ τὰ τοῦ κόσμου καὶ ἃ ἐνεργοῦμεν ἐκεῖ πράττοντες ὧδε; οἴμοι! πῶς ὀφείλοντες εἶναι ἰσάγγελοι, οὐδὲ ὡς οἱ εὐσεβεῖς λαϊκοὶ φαινόμεθα, ἐκ τῆς κατ' ὀλίγον ἀμελείας ἐρχόμενοι καὶ εἰς αὐτὰ τὰ καίρια τῶν παραπτωμάτων!

Ἀλλ' ἔστω μου ἡ ταπεινὴ κατήχησις, εἰ βούλεσθε, παρακαλῶ, τοῖς μὲν ἀπτώτοις ἀσφάλεια, τοῖς δὲ πεπτωκόσιν ἰατήριον, τοῖς δὲ ἀμελοῦσιν ἀπειλητήριον, τοῖς δὲ σπουδαιοτέροις προθυμητήριον, τοῖς δὲ νεοπαγέσιν ἐπαρκτήριον, τοῖς δὲ ἀτονοῦσιν ὑπομονητήριον, τοῖς δὲ πολεμουμένοις βοηθητήριον, τοῖς δὲ ἀκηδιῶσιν διεγερτήριον, καὶ ἁπλῶς τοῖς πᾶσι τὰ πάντα, εἴπερ καὶ ἔχετε σωτήριον· δι' ὑμᾶς γὰρ καὶ τὸ λέγειν με ὅλως καὶ ἀναπνεῖν πάρεστιν, ἐπεὶ τὸ τῆς ἀλογίας μου καὶ ἀπανθρωπίας μου ἐπίσταμαι. ὁ δὲ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὰ ἐσφαλμένα διορθώσεται, καὶ τὰ κατωρθωμένα ἐπιβεβαιώσει, καὶ τὰ ἐλλιπῆ ἀναπληρώσει, καὶ ὡς ἐξήγαγεν ἡμᾶς τῆς κοσμικῆς Αἰγύπτου καὶ διήγαγε τῆς ἁμαρτητικῆς ἐρήμου, διαβιβάσειεν καὶ τῆς τῶν παθῶν πονηρᾶς θαλάσσης, σχίσας αὐτὴν καὶ ἀποξηράνας καὶ ποιήσας ἡμῖν βάσιμον τὴν ἀρετήν, καὶ καθὼς ὠνόμασεν ὀνομάσειεν ἔτι λαὸν αὐτοῦ ἐκλεκτὸν καὶ ἔθνος ἅγιον, καὶ κατασκηνώσειεν εἰς τὴν γῆν τὴν ἀγαθήν, τῶν ἀρετῶν, μᾶλλον δὲ διὰ θανάτου εἰς τὴν τῶν πραέων χώραν· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ι'.

Περὶ τοῦ μὴ ἐμματαιάζειν ἡμᾶς ἐν τοῖς τοῦ βίου τερπνοῖς, τοῖς διὰ θεὸν καταλελοιπόσι πάντα.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ὄντως κατὰ τὴν ἱερὰν ἐκείνην φωνὴν τοῦ Θεολόγου, χαλεποῦ ὄντος τοῦ ἄρχεσθαι κινδυ-

1 τέκνα ὀργῆς] Ἐφεσ. β', 3. 6/8 Γαλατ. β', 18. 9 παλαιὸν ἄνθρωπον] Γαλατ. γ', 9. Ἐφεσ. δ', 22. 15 κῶδ. *τοῦ τὸ πρῶτον*. 24 ἐνεδ. τὸν νέον ἄνθρωπον] Κολοσ. γ', 10. 27 κῶδ. *πάλιν δρομεῖτε*. 29 Παροιμ. κς', 11. Πέτρου 2, β', 22. 30/33 Λουκ. θ', 62. 37/40 Ἀριθμ. ια', 5. Ἐξόδ. ις', 3. 39 κῶδ. *λεβίτων*.

11/12 κῶδ. *σπουδεοτέροις*. 22/23 κῶδ *ἐλλειπῆ*. 25 κῶδ. *διαβηβάσειεν*. 29 Ἐξόδ. ιθ', 5, 6. 32 πραέων χώραν] Ψαλμ. λς', 11. 42 κῶδ. *χαλαιποῦ*.

νεύει πολλῷ χαλεπώτερον τούτου τὸ εἰδέναι ἄρχειν ἀνθρώπων· ὃ ἐγὼ οὐκ οἶδ' ὅπως κατὰ τὰς ἐμὰς ἁμαρτίας ἔλαχον ἐφ' ὑμῖν τοῖς δεσπόταις μου· εἰ μὲν γὰρ τὸν ἄνετον καὶ ἀταλαιπώρητον βίον διώξω κατά τινας τάχα, εἴπερ καὶ εἰσί, καταφρονοῦντας κριμάτων θεοῦ, οὐ πολύς μοι ὁ ἀγὼν καὶ ἡ φροντίς. ὅ τε γὰρ σῳζόμενος σῴζεται καὶ ὁ ἀπολλύμενος ἀπόλλυται, ὅ τε ἑστηκὼς ἵσταται καὶ ὁ πίπτων πέπτωκεν, ὅ τε διαῤῥησσόμενος διαῤῥήσσεται καὶ ὁ νενοσηκὼς νοσηλεύεται, ὅ τε ἀρνούμενος ἐξήρνηται καὶ ὁ ἠθετηκὼς ἠθέτηκεν, ἐγὼ δὲ τὸ τῆς ἡγουμενίας ἀξίωμα περιβέβλημαι, κύριος καὶ πατὴρ ὀνομαζόμενος· φίλοι τε καὶ συγγενεῖς οὐ διαλιμπάνουσι, κλήτορές τε καὶ ὑπασπισταὶ οὐ σπανίζουσιν, δόξαι τε καὶ τιμαὶ καὶ μέχρι βασιλέως αὐτοῦ οὐκ ἀποδιδράσκουσιν. εἴπω τι εὐαγγελικῶς πρὸς ἐμαυτόν· "ψυχή, ἔχεις πολλὰ ἀγαθά. κάθου, φάγε, πίε, εὐφραίνου" καὶ τὰ λοιπά, ὡς φέρεται, φερέσθω.

Ἐπεὶ δὲ οὐχ οὕτως ἡ καθ' ἡμᾶς αὕτη ἀρχὴ καὶ ἡγεμονία, ἧς ὅσον τὸ ἀξίωμα, τοσοῦτον καὶ ὁ κίνδυνος, τῷ γε νοῦν ἔχοντι, ὡς φησι πάλιν ὁ θεολόγος Γρηγόριος, πολλοῦ δεῖ μοι τοῦ καμάτου, πολλοῦ τοῦ ἱδρῶτος, πολλῆς τῆς προθυμίας, τοσαύτης τῆς ἀγωνίας, τηλικαύτης τῆς ἀνδρείας, ὑπερτέρας τῆς εὐδρομίας, ἀνεικάστου τῆς ἀγρυπνίας, ἀπλῃρώτου τῆς θεωρίας, πεπληρωμένης τῆς διακρίσεως. καὶ τί δεῖ πολλὰ λέγειν; τὸ εὐαγγελικὸν ἐκεῖνο λέξομαι· "ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων". τὴν ψυχήν μου οὖν τὴν ἄτιμον καὶ σφαλερὰν καὶ πολυπαθεστάτην χρεὼν ὑπὲρ ὑμῶν, τέκνα ἠγαπημένα, προθεῖναι μέχρις αἵματος. διὰ οὖν τοῦτο οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω πρὸς τὰ ἐπιφερόμενα. διὰ τοῦτο οὐκ ἀναδύομαι, οὐδὲ ὀλιγωρῶ, οὐδὲ ἀπευδοκῶ πρὸς τὰς δυσκολίας τοῦ μικροῦ τούτου ποιμνίου, ἀλλ' ἵνα τὸ ἀπόῤῥητόν μου τῆς ψυχῆς ἐξείπω, μετὰ τὸ οὕτως προσπλήσσεσθαί με καὶ τιτρώσκεσθαι καὶ οἱονεὶ σφαγιάζεσθαι ταῖς ὑπὲρ τῶν πιπτόντων καὶ ῥησσομένων θλίψεσί τε καὶ στενοχωρίαις καὶ ἐξαπορίαις, χαρά μοί πως ἐπεισέρχεται καὶ ἐλπὶς σωτηρίας εὑρισκομένῳ ἀμυδρῶς πως ἐν τοῖς τῶν ἁγίων πατέρων μου, ὅπερ καὶ ἐν ἀφροσύνῃ λέγω, πράγμασιν.

Ἀλλὰ βλέπετε, τέκνα μου, ὑμεῖς μὴ κρῖμα ἑαυτοῖς θησαυρίζητε, τὴν ἐλεεινήν μου ἀνοχήν, μὴ ἁμαρτίας ἐφ' ἁμαρτίαις προστίθετε, τὴν ὑπὲρ τὸ δέον συγχώρησιν. τί οὖν ὅτι οὕτως γίνεται; καὶ γὰρ ἐκπλήττομαι καὶ οὐκ ἐκπλήττομαι τοῖς πραττομένοις, τὸ μὲν ὅτι ὁ ἀλάστωρ Σατανᾶς ἐστιν ὁ μαχόμενος ἡμῖν, τὸ δὲ ὅτι ἄνθρωποι λογικοὶ ὄντες, διὰ θεὸν πάντα καταλελοιπότες, καὶ γονεῖς καὶ ἀδελφοὺς καὶ κόσμον καὶ τὰ τοῦ κόσμου, καὶ τὸν ἐλαφρὸν ζυγὸν τοῦ Χριστοῦ ἀσπασάμενοι, ἐμματαιάζετε καὶ κοσμίζετε, μᾶλλον δὲ σατανίζεσθε ταῖς πράξεσιν. "ἀθετήσας τις νόμον Μωσέως", φησίν, "ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει". πόσῳ δοκεῖτε χείρονος ἀξιοῦσθαι τιμωρίας ὑμεῖς οἱ τὰς συμβιβάσεις τοῦ πνεύματος διασπῶντες, κατὰ τὸν ἅγιον Βασίλειον, διὰ τῆς ὑποτακτικῆς ἀθετήσεως, καὶ τὸ αἷμα τῆς διαθήκης, ὃ πεπόκατε ἐν τῇ ἡμέρᾳ τῆς πρὸς τὸν ἐχθρὸν καὶ κόσμον ἀποταγῆς καὶ πρὸς τὸν Χριστὸν συνταγῆς ὑμῶν κοινὸν ἡγησάμενοι; οὕτως πρέπει; οὕτως οὐκ ἰσχύσατε τὴν μίαν ὥραν τῆς ζωῆς ταύτης πρὸς τοὺς ἀπείρους αἰῶνας μὴ ἀπονυστάξαι πρὸς θάνατον διασχισμοῦ; αὗταί εἰσιν αἱ ὑπὸ μάρτυρι θεῷ ὁμολογίαι ὑμῶν, ἐπ' ἀκροάσει τῶν ἁγίων αὐτοῦ ἀγγέλων; τοῦτό ἐστι τὸ ἐπιδοθέν μοι ψαλίδιον, ὡς ἀπὸ παλάμης κυρίου, ἐκ τῶν χειρῶν ὑμῶν; αὗταί εἰσιν αἱ πρὸς τὰ κατηχούμενα κατὰ τὴν ἐκεῖσε ὥραν δακρυώδεις καὶ ταπεινοήθεις καὶ καταβεβλημένῳ φρονήματί τε καὶ βλέμματι κατανεύσεις τε καὶ ὑποσχέσεις ὑμῶν;

Ὦ, ὤ, τέκνα, πῶς ἀπολελήθατε, πῶς ἀπεβουκολήθητε! ποῦ ὁ ταπεινὸς Ἀμμοῦν; ἆρα οὐκ ἔστιν ἀληθές, ὅτι ὡς ἐπὶ λύκου ἑκάστοτε

1 κῶδ. *χαλαιπώτερον*. 20 Λουκ. ιβ', 19. 33 Ἰωάν. ι', 11. 40 κῶδ. *ὀλιγορῶ*.

5 κῶδ. *εὑρισκομένου*. 21 Ἑβρ. ι', 28. 23 κῶδ. *ἀξιοῦσθε*. 36 κῶδ. *ψαλλίδιον*.

τῇ ποίμνῃ ταύτῃ ἐφίσταται ὁ δεινὸς καὶ παγχάλεπος λύκος τῶν ψυχῶν ἡμῶν διάβολος, "ζητῶν τίνα καταπίει", τίνα ἐξαρπάσει; καὶ μέντοι ἐξήρπασεν αὐτόν, συνέτριψε τὰ ὀστᾶ τῆς ψυχῆς αὐτοῦ ἕως τοῦ παρόντος, καὶ ὁ υἱὸς τοῦ φωτὸς γέγονεν υἱὸς σκότους, καὶ ὁ υἱὸς τῆς σωτηρίας γέγονεν υἱὸς τῆς ἀπωλείας, ὁ ἀγαπώμενος μισούμενος, ὁ μαθητὴς προδότης δόλιος, ὁ ἐγγιστάριος ἀφεστηκώς. καὶ νῦν ποῦ πορεύεται; ἀλλ' εἰς τόπους καὶ κρημνοὺς καὶ βάραθρα ἁμαρτίας, οὐκ ἔξω ὢν τῆς ἐπισκοπῆς τοῦ φρικτοῦ καὶ παντεφόρου ὄμματος τοῦ θεοῦ, ἀλλὰ συγχωρούμενος εἶναι τῇ ἰδίᾳ αὐτεξουσιότητι· ἤξει δὲ καὶ οὐ χρονιεῖ κρῖναι πᾶσαν τὴν κτίσιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἀλλὰ μὴ γένοιτο, μὴ γένοιτο· ἤδη γὰρ πάλιν καίομαι, ὡς ὑπὲρ τέκνου μου, καὶ ἀνακαλοῦμαι αὐτὸν ἀπολλύμενον, καὶ ζητῶ τὴν ἀνεύρεσιν αὐτοῦ, καὶ πάντως ἐπιτεύξομαι, θεοῦ εὐδοκοῦντος. ἀλλὰ τί ὅτι οὕτως γίνεται; τί ὅτι οὕτως κοπιῶμεν; τί ὅτι εἰς μάτην τρέχομεν; τί ὅτι τὰ πολυχρονίως κτηθέντα ἡμῖν ἄρδην ἀφανίζομεν; μή, παρακαλῶ, μή, δέομαι. τὰ ἀδελφικά μου σπλάγχνα, τὰ τεκνικὰ μέλη, καὶ μικροὶ καὶ μεγάλοι, καὶ πληγέντες καὶ ὑποσκελισθέντες, οἱ πάντες ἀνανήψατε, οἱ πάντες ἀνακαινίσθητε, οἱ πάντες βελτιώθητε ἐν ἑνὶ φρονήματι, ἐν μιᾷ ἐλπίδι, ἐν μιᾷ καρδίᾳ, ὑμεῖς πρός με, κἀγὼ πρὸς ὑμᾶς, μεσιτευούσης τῆς παρουσίας τοῦ κυρίου, καὶ ζήσωμεν καὶ ἐμπορευσώμεθα καὶ κερδήσωμεν τὴν βασιλείαν τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΑ'.

Ὅτι χρὴ σπεύδειν καὶ ἀνδρίζεσθαι πρὸς τοὺς πνευματικοὺς ἡμῶν ἀγῶνας, ὡς ἂν ἀπολάβοιμεν τοὺς τῆς ὑπομονῆς στεφάνους.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, καλόν ἐστι τὴν εὐεργεσίαν τοῦ θεοῦ μὴ ἀποκρύπτειν, ἀλλὰ ἀναγγέλλειν, καιροῦ καλοῦντος, ἣν ἐφ' ὑμᾶς ἄρτι καθορῶ, ὅπως καὶ ἐκ τούτου μᾶλλον προθυμότεροι γενώμεθα· ἤδη γάρ, διὰ τῆς χάριτος τοῦ Χριστοῦ, τῇ ἐπαλλήλῳ κατηχήσει καὶ τῇ ἐπὶ τὸ αὐτὸ ὑπομνήσει καὶ τῇ καθ' ἑκάστην ὡς εἰπεῖν ἡμέρᾳ διαλαλήσει, γεγόνατε εἰς προκοπὴν πνευματικὴν καὶ εἰς ἕξιν ἀγαθὴν καὶ εἰς σπουδὴν θεοφιλῆ, καὶ ὅτι ἀληθές, ὃ λέγω, καὶ ὑμεῖς ἀφ' ἑαυτῶν μαρτυρεῖτε· μαρτυρεῖ καὶ ἡ ἀλήθεια, μαρτυρῶ δὲ καὶ ἐγὼ ὁ τάλας, κουφισμὸν δεξάμενος τῶν ἀλγεινῶν καὶ ὡς ἐν γαλήνῃ ἐκ τῆς πολλῆς φροντίδος ἐπὶ τὸ ἡσυχαστικὸν τῆς εὐταξίας ὑμῶν καταντήσας καὶ ἀγαλλιώμενος τῇ ψυχῇ.

Καὶ ὄντως ἀψευδὴς ὁ λόγος, ὅτι "πᾶσα παιδεία πρὸς τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς ἐγγεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης". ἀλλ' οὐκ ἐμὸν τὸ κατόρθωμα, οὐδὲ ἐξ ἐμῆς ἐπιμελείας, οὐδὲ ἐξ ἐμῆς ἐπιπονήσεως. θεοῦ τὸ δῶρον, ὑμῶν ἡ προθυμία, ἐπικουρία πατρική. καὶ ἵνα τί λοιπὸν ἐγὼ ὁ ἄχρηστος εἰς τοὺς ἑτέρων κόπους εἰσερχόμενος γάνυμαι καὶ ἐπιτέρπομαι; ὅλως ἕν ἐσμεν, ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν, καὶ ἀμφοτέρων τὸ κατόρθωμα ἀμφοτέροις λελόγισται. δῴη δὲ κύριος ὁ φοβερὸς ἐν δυνάμει καὶ κραταιὸς ἐν ἰσχύι καὶ ἀπὸ τῆς δεῦρο νευρωθῆναι καὶ τονωθῆναι κἀμὲ πρὸς τὸ ὁσίως ἀφηγεῖσθαι τῇ ἐκζητήσει καὶ διερευνήσει τῶν ἁγίων αὐτοῦ ἐντολῶν καὶ ὑμᾶς, τέκνα μου, ἐπὶ ὑποταγῇ ἀδιασπάστῳ καὶ ὑπακοῇ ἀνυποκρίτῳ καὶ πίστει ἀνυπερθέτῳ διαφυλάττων διαφυλάξειε, μᾶλλον καὶ μᾶλλον ἐναρέτους ἀποδεικνύων καὶ σπουδαίους ἀποφαίνων, χωροῦντας πρὸς πάντα τὸν πνευματικὸν ἀγῶνα ἀνδρείως καὶ θαρσαλέως, πρὸς θλῖψιν, πρὸς στενοχωρίαν, πρὸς ἐπιτιμίαν, πρὸς ἀδολεσχίαν, πρὸς ταλαιπωρίαν, πρὸς πεῖναν, [πρὸς δίψαν], πρὸς πάντα τὰ λοιπὰ μακάρια ἀσκητικά, ὅπως ἀήτ-

3 Πέτρ. 1, ε', 8. 6 υἱὸς τοῦ φωτὸς] Ἰωάνν. ιβ', 36. 15/16 Ματθ. ις', 27. Ῥωμ. β', 6. 24 κῶδ. *ἀφανίζωμεν*. 38 προεξετυπώθη κακῶς ὑπὸ Cozza-Luzi κατὰ κώδικα τῆς οὐατικανῆς βιβλιοθήκης. Novae patrum bibliothecae tomus nonus. Romae 1888, pars II, σ. 63-65.

9 κῶδ. *ἔξην*. 17/21 Ἑβρ. ιβ', 11. 40 κῶδ. *θαρσαλαίως*. 42 πρὸς δίψαν] προσέθηκα τοῦτο λαβὼν ἐκ τῆς σλαβικῆς ἑρμηνείας· ἐλλείπει δὲ τῷ πατμιακῷ κώδικι.

τητοι ἀποφανθέντες δέξησθε τὸν τῆς ὑπομονῆς στέφανον ἐν τῇ ἡμέρᾳ τῆς μισθαποδοσίας τοῦ δικαίου κριτοῦ.

Ὄντως καλὸν ὑμῶν τὸ ἐμπόρευμα, ἀδελφοί· φθαρτὰ γὰρ καταλιπόντες, καὶ ὑμεῖς τὰ ἄφθαρτα ἀπολήψεσθε· γονέων ἀποστερηθέντες, τὸν κύριον πατέρα ἐκτήσασθε· ἀδελφῶν ἀπαλλοτριωθέντες, τῶν ἁγίων σύσκηνοι ἔσεσθε, γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα· ἀντὶ τῆς ἐνεγκαμένης καὶ θρεψαμένης ἡ ἄνω πόλις ὑμῖν πατρὶς διαγέγραπται, ἧς τεχνίτης καὶ δημιουργός, ὡς γέγραπται, ὁ θεός. ἀντὶ οἰκίας ἐπικήρου καὶ καταλυομένης αἱ τῶν ὁσίων καὶ δικαίων σκηναί, ἀντὶ δόξης κενῆς καὶ τιμῆς ἀπολλυμένης τὸ θεῖον καὶ ἰσάγγελον ἀξίωμα· ἀντὶ δωροφορίας καὶ εὐπαθείας σωματικῆς ἡ ἀπόλαυσις τῶν αἰωνίων ἀγαθῶν· ἀντὶ ὑποταγῆς καὶ θελημάτων ἐκκοπῆς ἡ μετὰ μαρτύρων ἀγαλλίασις· ἀντὶ μονώσεως καὶ ξενώσεως συγγενικῆς ἡ ἀγχιστεία τῶν ἁγίων ἁπάντων. τί λοιπὸν ῥᾳθυμοῦμεν; τί καταπίπτομεν ἤ τινες καὶ σκυθρωπάζομεν; εἴπωμεν ἕκαστος σὺν τῷ θείῳ Δαβίδ· "ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ". εἴπερ γὰρ πάσχομεν διὰ τῆς ἀσκήσεως, καὶ συμβασιλεύσωμεν αὐτῷ. μαρτυρίου στέφανοί εἰσι κἀνταῦθα, ἐπεὶ καὶ στάδιον ἀθλήσεως ἀνηγόρευται τὸ κοινοβιακὸν σύνθημα.

Τί λοιπὸν μακάριος ὁ ὑποτακτικός! τί θεσπέσιος ὁ ἐξαγγελτικός! τί ὁσιώτατος ὁ ὑπομονητικός! τί θεομακάριστος ὁ πιστὸς καὶ ἀμετάθετος ἐν ταῖς ἐντολαῖς! διό, ἀδελφοί μου, μὴ ἀπονεύσωμεν, μὴ ἀποκλίνωμεν, μὴ δυστροπήσωμεν, μὴ ὀπισθοποδήσωμεν, μὴ προσαπομείνωμεν, μὴ δῶμεν νῶτα, ᾧ συστρατιῶται, ᾧ συνοδοιπόροι, ᾧ συμμετανάσται. σάρκες εἰσί· μὴ φεισώμεθα· ὡς ὁ λόγος, ὀλιγοστὸς ὁ χρόνος, βραχυμερὴς ὁ βίος. κἂν περὶ τὰ ἑβδομήκοντα ἢ ὀγδοήκοντα ἔτη ἐκταθῇ ἡμῶν ἡ ζωή, εἰς οὐδέν ἐστι πρὸς τοὺς ἀπείρους αἰῶνας. προϊέμεθα, παρακαλῶ, ὀβολὸν καὶ ἀντέσχομεν μυριοκέντην· προϊέμεθα χρόνον βραχὺν καὶ κτησόμεθα ἀπείρους αἰῶνας· ὑπενέγκωμεν ὠρινὸν κόπον καὶ ἀπολῃψόμεθα ἀπεράντους ἀναπαύσεις· κλαύσωμεν, ἵνα γελάσωμεν τὸ μακάριον γέλως ἀϊδίως. θρηνήσωμεν διὰ τὸν πόθον τοῦ Χριστοῦ, ἵνα σκιρτήσωμεν εὐφροσύνας ἀτελευτήτους. ναί, ἀδελφοί μου, ναί, παρακαλῶ, εὐπροσωπήσωμεν κατέναντι κυρίου παντοκράτορος· γενώμεθα ὀνομαστοὶ καὶ ἐπὶ γῆς καὶ ἐν οὐρανῷ, συνεπόμενοι τοῖς πατράσιν· ὑπομνήσωμεν ἀλλήλους ἐν τῷ μέλλοντι αἰῶνι, οὐκ ἐγκληματικῶς, οὐδὲ ὀδυρματικῶς, ἀλλ' εὐφραντικῶς μᾶλλον καὶ περιχαρῶς καὶ μακαριστικῶς, ὅτε αἱ τῶν βεβιωμένων ἀντιδόσεις, ὅτε ὁ κριτὴς ἐπὶ θρόνου δόξης αὐτοῦ κάθηται, μυριάδων παρεστηκότων αὐτῷ καὶ χιλίων χιλιάδων λειτουργούντων αὐτῷ ἁγίων ἀγγέλων καὶ πάσης τῆς κτίσεως συμπαρούσης· ὅτε αἱ φοβεραὶ ἀποφάσεις, ὅτε ἡ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων παράστασις δηλοποιήσει τοὺς μὲν μετὰ δόξης καὶ τιμῆς εἰσιόντας εἰς τὰ οὐράνια βασίλεια καὶ χορεύοντας αἰώνια, τοὺς δὲ μετ' αἰσχύνης καὶ ἀτιμίας εἰσβαλλομένους εἰς τὰ ἀτελεύτητα κολαστήρια, ὅπου τὸ πῦρ οὐ σβεσθήσεταί φησι καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει.

Βαβαὶ τῆς φοβερᾶς ἀκοῆς! φεῦ τῆς πικροτάτης ἀγγελίας, ἧς ἐγὼ μόνος ὑπόδικος ἔσομαι, κατὰ τὰς ἁμαρτίας μου! ὑμεῖς δὲ τρέχοντες τὸν καλὸν ἀγῶνα χαίρετε, ἀποσκοποῦντες τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἕως ἂν φθάσητε εἰς καιρὸν τελειώσεως καὶ τῆς ἐκ τῶν ἐντεῦθεν μεταναστάσεως ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

9 βασίλειον ἱεράτευμα] Ἐξόδ. ιθ', 6. 24/26 Ψαλμ. μα', 12. 30 σύνθημα P, σύστημα V. 37 συναπομείνομεν V.

ΚΑΤΗΧΗΣΙΣ ΙΒ'

Περὶ ἐγκρατείας, ῥηθεῖσα τῇ ἑβδομάδι τῆς Ἀποκρέου.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, στενὸς καὶ ἄγλωττός εἰμι, καὶ οὐχ ἱκανῶ πα-

3 χρόνους ἀπείρους V. 5/6 τὸ γέλως] οὕτως ἐν τῷ κώδικι. 7 κῶδ. *σκυρτήσωμεν*. 26/27 Μάρκ. θ', 44, 46, 48. 41 ἀποκρέου] οὕτως ἐν τῷ κώδικι.

ρακαλεῖν ὑμᾶς ἐν τῇ ταπεινῇ μου κατηχήσει· τί γὰρ εἴπω ἐπάξιον ὑμῶν τῶν τέκνων τοῦ θεοῦ, τῶν ὑπακουσάντων τοῦ Εὐαγγελίου αὐτοῦ καὶ καταλειψάντων τὸν ἅπαντα κόσμον, καὶ ἐργασαμένων τὸ μέγα τοῦτο ἔργον τῆς μακαρίας καὶ τριποθήτου ὑποταγῆς; "ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς" θεός, κατὰ τὸν ἅγιον ἀπόστολον, παρακαλέσει καὶ ὑμᾶς τῇ παρουσίᾳ τοῦ ἁγίου αὐτοῦ πνεύματος, καὶ ὁσιώσει καὶ δικαιώσει καὶ φωταγωγήσει ἐν τῇ τρίβῳ τῶν ἐντολῶν αὐτοῦ, καὶ ἀναδείξει τῆς οὐρανίου αὐτοῦ βασιλείας κληρονόμους.

Αἴ, αἴ, ἀδελφοί μου, ποῖον ἔργον εἰργάσασθε! πῶς καλῶς ἐφρονήσατε! πῶς σοφῶς ἐβουλεύσασθε! πῶς συνετῶς ἐσκοπήσατε! πῶς καθαρῶς διεβλέψατε! πῶς θεοκλήτως ἐξεληλύθατε, κατὰ μίμησιν τοῦ προπάτορος Ἀβραάμ, ἐκ τῆς ἐνεγκαμένης γῆς ὑμῶν καὶ ἐκ τῆς συγγενείας ὑμῶν καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς ὑμῶν ἐλθόντες εἰς τὸν τόπον τῆς ἀσκήσεως τοῦτον, ὃν ἔδειξε καὶ εἰς ὃν καθωδήγησεν ὑμᾶς ὁ κύριος, καὶ γεγονότες ἀνώτεροι τῶν σαρκικῶν φρονημάτων, ὅτι διὰ τὸν θεὸν οὔτε φίλτρῳ γονέων ἐκρατήθητε, οὔτε συνηθείᾳ βίου ἐναπεμείνατε, οὔτε κληρονομίᾳ πατρῴᾳ κατεσχέθητε, οὔτε βασιλέως φθαρτοῦ στρατολογίᾳ ἐδεσμεύθητε, οὔτε τινὶ ἄλλῳ τρόπῳ περιεσχέθητε! πῶς οὐχὶ μακάριοι καὶ τρισμακάριστοι καὶ ἀκούετε καὶ λογίζεσθε; διὸ μὴ ῥαθυμήσητε, μηδὲ σκυθρωπάσητε, μηδὲ ἀτονήσητε, μὴ τὸν χρόνον, μὴ τὸν τόπον, μὴ τὸν τρόπον, ἀδελφοὶ ἠγαπημένοι, ἀλλὰ ταῖς ὑπὲρ τῶν παρουσῶν θλίψεων καὶ ἀσκητικῶν στενοχωριῶν καὶ συμπιασμάτων ἐναποκειμέναις ὑμῖν ἐλπίσι πτερούμενοι γάνυσθε καὶ εὐφραίνεσθε καὶ ἀγαλλιᾶσθε, διανύοντες τὸν δρόμον ὑμῶν, διαβιβάζοντες τὰς ἡμέρας ὑμῶν, διιππεύοντες καὶ κυκλεύοντες τοὺς χρόνους ὑμῶν ἐξ ἡμέρας εἰς ἑβδομάδα, ἐξ ἑβδομάδος εἰς μῆνα, ἐκ μηνὸς εἰς καιρόν, ἐκ καιροῦ εἰς ἐνιαυτόν. ἆρα οὐ κύκλος τις καὶ οἷον ἱππηλάσιον ὁ βίος ὑμῶν; εἴ τις οὖν μὴ ἀτονήσῃ τρέχων καὶ πυκτεύων, σταματίσει πάντως διὰ θανάτου· στάμα γὰρ ἑκάστῳ τῆς οἰκείας ζωῆς ἐστι. καὶ τί τὸ ἐντεῦθεν; τὸν ἀμαράντινον στέφανον τῆς δόξης ἀναδήσεται καὶ τὰ ἔπαθλα τὰ οὐράνια κατακομίσεται, ἀνακηρυττόμενος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅτε "προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ".

Ταῦτα οὖν γινώσκοντες καὶ πάλιν λέγω, μὴ ῥαθυμεῖτε, μὴ νυστάζετε, μὴ χλιαρεύεσθε, μὴ μάχεσθε, μὴ ἐρίζετε, μὴ ὑβρίζετε, μὴ κακολογεῖτε, μὴ παῤῥησιάζεσθε, μὴ περπερεύεσθε, μὴ γαστριμαργεῖτε, μὴ λαθροφαγεῖτε, προσθήσω δὲ ὅπερ οὐδὲ ἀκοῆς ἄξιον, ἀλλ' οὖν διὰ τοὺς τινάς, μηδὲ κλέπτετε. ὁ ἀρχόμενος οὖν κάρυον κλέπτειν προβήσεται καὶ εἰς τὰ μειζότερα. ὁ σεσυνηθικὼς γραφεῖον κλέπτειν ἐνεχθήσεται καὶ ἱμάτιον ἆραι καὶ τὰ πλείω ἀπῆει λέγειν. οὕτως ἐν ὑμῖν κλέμματα γίνονται ὅλως ἱματίων, πινακιδίων, γραφείων, ὀρταρίων, ζωναρίων, καλικίων, ἄλλου οὑτινος οὖν. ταῦτα καλῶς; ταῦτα οἱ δοῦλοι τοῦ Χριστοῦ, ταῦτα οἱ ξένοι τοῦ κόσμου; ταῦτα οἱ μὴ γηΐνην κληρονομίαν, ἀλλὰ τὴν οὐράνιον λαχόντες; ταῦτα οἱ ἅγιοι καὶ εὐλογημένοι καλούμενοι καὶ προσκυνούμενοι ὑπὸ ἀνθρώπων; οὕτως τοσοῦτον ἡ σπουδή, ἡ προκοπή, ἡ βελτίωσις ὑμῶν; ἀλλ' οὐκ εἰς πάντας τὸ ἔγκλημα, καὶ μὴ θαυμάσητε, εἰ ἀπὸ ἐπαίνων εἰς ψόγους καταφέρομαι· πρὸς ἑκατέρους γὰρ τὰ ἑκάτερα ἀναγκάζεται προσφέρειν ὁ λόγος. ταῦτα, εἰ καὶ ἐγένετο, ἀλλ' ἀπὸ τοῦ νῦν μὴ γένηται, παρακαλῶ, ἀντιβολῶ, προστάσσω, ἀπειλῶ. εἴ τις μετὰ ταύτην μου τὴν κατήχησιν πράξει ἔν τι τοιοῦτον, ἔστω τῆς ἐκκλησίας τοῦ Χριστοῦ ἀλλότριος, εἰ μὴ διὰ μετανοίας καὶ ἐξαγορεύσεως θεὸν ἐξιλεώσηται. ἀλλὰ καὶ ὁ προκεκλοφὼς οὐκ ἂν ἄλλως ἰαθήσεται, ἢ διὰ τῆς φανερώσεως. ὥσπερ οὖν ἡ κλοπὴ τῆς γλώττης τῆς χρυσῆς τὸν Ἀχαρ λιθόλευστον ἀπειργάσατο, οὕτως τὸν ἁλόντα ἐν τῷ πάθει καὶ μὴ ἀναγγείλαντα, λίθοι ἀόρατοι λιθάσουσιν. διὸ ἀνάστηθι ὁ πεπτωκὼς καὶ ζῆθι ἐν κυρίῳ.

7 Κορινθ. 2, ζ', 6. 18 Γενέσ. ιβ', 1.

4 κῶδ. *κατακοσμίσεται.* 6 Ψαλμ. μθ', 4. 32 κῶδ. *γένητε.* 40/41 Ἰησοῦς, ζ', 20-26. 42 κῶδ. *πάθη.*

Ἡ ἀποκρεώσιμος τοίνυν πάρεστιν. μὴ πέμψητε ἐκεῖ τὰ στόματα καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν, ὅπου τὸ πρότερον ἐματαιοκοποῦμεν, ἐπειδὴ τρέφουσιν ἑαυτούς τινες "ὡς ἐν ἡμέρᾳ σφαγῆς". οἱ γαστέρα θεραπεύοντες γαστήρ εἰσιν, "ὧν ὁ θεός" φησίν "ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν". λάβε μοι οὖν τινα ἐκ τούτων μετὰ τὴν ἀκρασίαν ἐκείνην καὶ ὄψει αὐτὸν οἴνου ἀπόζοντα, καὶ τούτου σεσηπότος, ὡς ὁ λόγος, μηδὲν ἐκ τῶν πονηθέντων ἐπιφερόμενον, ἢ ἐργὰς καὶ ἀηδίας, καὶ ἀλλοιώσεις πονηρὰς καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος. τοῦτο ἐπιθυμητόν; εἰπέ μοι. τοῦτο σπουδαστόν; οὐδαμῶς, ἀλλὰ καὶ λίαν φευκτόν, κάκιστον. οὐδέ, τέκνον μου, ἐμπίπλαθι διὰ τὴν ἀναγκαίαν χρείαν τὰ αὐτάρκη καὶ ἄκρεα καὶ ἀμέθυσα, ἐμφορήθητι δὲ μᾶλλον καὶ ὡς ἀληθῶς ἑόρτασον καὶ ἐξ ἐναντίας ἀποκρέωσον τὰ τοῦ πνεύματος τοῦ ἁγίου χαρίσματα, τὴν εἰρήνην, τὴν ἀγάπην, τὴν ἐλπίδα, τὴν πίστιν, τὴν εὐχήν, τὴν ψαλμῳδίαν, τὴν στιχολογίαν, τὴν ὑπακοήν, τὴν ταπείνωσιν, τὴν ἀγρυπνίαν, τὴν διέγερσιν, τὴν ἀκακίαν, τὴν ἁπλότητα, τὴν καθαρόνοιαν, τὴν κατάνυξιν, τὸ δάκρυον τὸ καθαρτήριον, καὶ ἴδε πῶς καλῶς ἀπεκρέωσας, ἴδε πῶς καλῶς ἐώρτασας ὑπὲρ βασιλεῖς, ὑπὲρ ἄρχοντας, ὑπὲρ πάντα τὸν ἐμπαθῶς βιοῦντα ἄνθρωπον.

Ταῦτα μὲν ἐπὶ τοσοῦτον, ὑμᾶς δὲ ὁ κύριος τῇ εὐχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν δυναμώσοι μὴ ἀποκνεῖν τοῦ ἀκούειν, ἀλλὰ καὶ ἐνωτίζεσθαι καὶ εἰς ἔργον προάγειν τὰ κατηχούμενα ἐν αὐτῷ Χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΓ'.

Περὶ τοῦ μὴ ὀλιγοψυχεῖν ἢ ἀπογινώσκειν τοῖς συμβαίνουσιν ἡμῖν πειρατηρίοις παρὰ τοῦ ἐχθροῦ.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἀναγκαῖόν ἐστι πάντοτε τὸν παρακλητικὸν ὑμῖν λόγον προσφέρειν, κάμνουσι καὶ κοπιῶσιν εἰς τὸ τοῦ θεοῦ ἔργον διὰ τῆς μακαριστῆς ταύτης καὶ πολυάθλου ὑπακοῆς. καὶ εἰ μὲν ὁ ἀγὼν ὑμῶν καὶ ὁ πρὸς τὰς μεθοδείας τοῦ ἀντικειμένου πόλεμος διεκόπτετο κατά τινα ὡρισμένον χρόνον, διεκοπτόμην ἂν κἀγὼ τῆς παρακλήσεως. ἐπεὶ δὲ ἀέναός τίς ἐστι καὶ ἀδιάκοπος, μήτε ἡμέρᾳ μήτε νυκτὶ καταλήγων, εἰκότως ἂν ὀφείλω τὸ ἰσόμετρον συνεισφέρειν ὑμῖν, τὴν παρηγορίαν, τὴν προθυμίαν, τὴν εὐελπιστίαν, ἐπιδιδοὺς ὅπλα, δύναμιν, συμμαχίαν, ἐμπειρίαν, πρὸς καθαίρεσιν τῶν ἀοράτων ὀχυρωμάτων. δεῖ δὲ τὸν στρατιώτην, ὡς ἴστε, τὰ στρατιωτικὰ πράττειν καὶ τὰ τῷ ἐπιτηδεύματι ἀνήκοντα πάντα αἱρεῖσθαι ἀπαραλείπτως. διὰ τοῦτο ὑμεῖς οἱ ἀληθινοὶ στρατιῶται τοῦ Χριστοῦ βλέπετε οἷα καὶ τίνα τὰ ὅπλα ὑμῶν, εἴ γε εἷς ἕκαστος ὑμῶν ἔχοι τὴν ῥομφαίαν τῆς ὑπακοῆς, τὸν θώρακα τῆς πίστεως, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, τὴν ἀσπίδα τῆς ταπεινοφροσύνης, τὸ τόξον τῆς προσευχῆς, τὸ κράνος τῆς ἐλπίδος καὶ εἴ τι οὖν ἐπιβάλλει καὶ καθήκει, ἵνα μὴ λεπτολογῶμεν ἕκαστον. οὐχ οὕτως ὡραῖον καὶ ἐκπλήξεως ἄξιον ἰδεῖν τὸν σαρκικῶς στρατευόμενον ὡπλισμένον, ὡς τὸν τοῦ Χριστοῦ στρατιώτην, ἔχοντα τὰ προειρημένα. διὰ τοῦτο λοιπόν, τέκνα μου, καὶ ὁπλίζεσθε καὶ φράττεσθε καὶ συνάλλεσθε καὶ πολεμεῖτε καὶ νικᾶτε τὸν πολεμοῦντα ὑμᾶς διάβολον, καὶ μὴ ξενίζεσθε ἐν τοῖς συμβαίνουσιν, ἢ ὅτι καταπλήττεσθε, ἢ ὅτι κατακεντᾶσθε, ἢ ὅτι ὑποσκελίζεσθε, εἴπερ θᾶττον ἀνίστασθε.

Τινὲς ἀπεχθάνεσθε καὶ ξενοπαθεῖτε καὶ τυχὸν ἀπογινώσκετε, ὅτι τυραννεῖ ἡ αἰσχρότης ἢ ἡ ἔχθρα, ἢ ἡ βλασφημία, ἢ ἡ βασκανία, ἢ ἡ μεταβασία, ἤ τι τῶν τοιούτων· ἐγὼ δὲ ἀντιπανθάνω καὶ ἀποθαυμάζω εἰς τοὺς τοιούτους· εἰπὲ γάρ μοι, ἀδελφέ, ἀλλ' οὕτως ἀκαμάτως καὶ ἀταλαιπωρήτως καὶ ἀπολεμήτως καὶ ἀνικήτως βούλει λαβεῖν τοὺς στεφάνους σου; ἀλλ' ὅτι φησὶν ἔχω τόσα καὶ τόσα ἔτη καὶ ἐξηγόρευσα πόσα καὶ πλειστάκις,

5 ὡς ἐν ἡμέρᾳ σφαγῆς] Ἰακώβου ε', 5. 6/7 Φιλιπ. γ', 19. 37 Παρὰ τῷ Μαΐῳ «λόγος λζ'. μὴ δεῖν ἀθυμεῖν προσβολαῖς τῶν δαιμόνων». Novae patrum bibliothecae t. IX, pars II, p. 103-105.

καὶ ἐνεδειξάμην τὸ καὶ τὸ καὶ ὑπερηυξάμην μετὰ δακρύων καὶ στεναγμῶν οὐκ ὀλίγων, καὶ ἐχρησάμην καὶ ἀδελφοῖς συνεπαμύνουσί μου τῇ ἀσθενείᾳ. βαβαὶ τῆς σοφίας! πόσα, ὦ οὗτος, λέγεις ἔτη ἔχειν ἐν τῷ πολέμῳ; τρία; πέντε; δέκα; πρός; ἀλλ' ἡ μακαρία ἀμμᾶς Σάῤῥα τεσσαράκοντα ἔτη κραταιῶς πολεμουμένη τῷ τῆς πορνείας δαίμονι ὑπήνεγκεν γενναιότατα. ἐῶ λέγειν τὸν γέροντα Παχὼν καὶ τὸν ἑαυτὸν ἐν τῇ ἐκκλησίᾳ ἀπογυμνώσαντα καὶ τὸν ὑπὸ τοῦ ἀββᾶ Ἀπολλὼ στηριχθέντα. καὶ τί δεῖ μοι λέγειν τὰ ἀμέτρητα παραδείγματα; καὶ μεθ' οἵων ἀγώνων καὶ κατορθωμάτων, ἐπίστασθε οἱ ἀναγινώσκοντες. οὐχ ὅλοις δὲ ἐννέα ἔτεσιν ὀχλούμενοι οἱ δύο ἀδελφοὶ πρὸς τὴν μετάστασιν καὶ δεσμοῦντες αὐτῶν τὰ μηλωτάρια διῆλθον πλανῶντες τὸν πλάνον διάβολον; καὶ ἄλλος πεντηκοστὸν ἔτος ἔχων, πρὸς αὐτὸ τοῦτο μαχόμενος, καὶ ἄλλος ἄλλως καὶ ἕτερος ἑτέρως καὶ οὐδαμοῦ ὁ περικακισμός, οὐδαμοῦ ἡ ὀλιγώρησις, οὐδαμοῦ ἡ ἀνανδρεία, μέχρις ἂν ἐνεδυναμώθησαν ἐν ταῖς ἀσθενείαις αὐτῶν, τῇ ἄνωθεν ῥοπῇ ἐκκλίνοντες τὰς παρεμβολὰς τῶν ἐναντίων. ἡμεῖς δὲ ὀλιγόψυχοι τὰ ὀλιγόψυχα καὶ ὀλίγωρα καὶ ἀπαίδευτα καὶ φθεγγόμεθα καὶ διαπραττόμεθα. ἀλλὰ διὰ τοῦτο ὑπομνήσκω, ἵνα ἀναφέρωμεν ἀπὸ τῆς συμπτώσεως καὶ στήκωμεν ἑδραῖοι καὶ ἀμετακίνητοι τῇ ἐπὶ θεῷ πεποιθήσει, ψάλλοντες εἷς ἕκαστος· "ἐὰν παράξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω". μήτε οὖν ἀπὸ τῶν τοιούτων πτοεῖσθε, μηδ' αὖ ἀπὸ τῶν δειμάτων καὶ φοβήτρων, ὡς ἐπέρχεται κατὰ φαντασίαν ἐν νυκτὶ ὁ δαίμων, δεικνὺς ταῦτα καὶ ἐκεῖνα, μετασχηματιζόμενος καὶ ἀλλοιούμενος, ἔστιν ὅτε καὶ φωνοβολῶν καὶ ὀνοματίζων. ἕωλός ἐστι καὶ ἀνίσχυρος, ἦ γὰρ ἂν ἐπάταξεν τοὺς πάντας ἄρδην. λέοντος εἶδος προβάλλει; ἀλλὰ σὺ θαρσαλέως κέντησον αὐτὸν τῇ ἀδειλίᾳ, καὶ ἔσωθεν εὑρήσεις αὐτὸν ἀχύρων πεπληρωμένον. ὑψηλὸς φαίνεται, ἰσοστεγὴς καὶ μέλας; προβαλοῦ τὴν εὐχὴν καὶ ὡς ὁ μέγας Ἀντώνιος ἴδῃς αὐτὸν ἀπολήγοντα καὶ πιθηκιοῦντα. κἂν κατασείῃ τὸν νοῦν, ὡς ἤδη ἐρχόμενος καὶ ἐπιπεσούμενός τε ἢ καὶ συγκατασπάσων κατὰ σοῦ τὴν οἰκίαν, μὴ δειλανθῇς καὶ ἴσα ὀνείρῳ παρατρέχει. ἐκ τοῦ δὲ φοβεῖσθαι ὑμᾶς, οὗ οὐκ ἔστι φόβος, καὶ ἀγωνιᾶν, οὗ οὐκ ἔστιν ἀγών, ταῦτα συμβαίνει τοῖς πανθάνουσιν.

Προσέχετε λοιπόν, τέκνα, καὶ μὴ πτύρεσθε ἐν τοῖς ἀπτύρτοις, πτυρέσθω δὲ μᾶλλον ὁ πάμπτυρτος ὑφ' ὑμῶν διὰ τῆς ἐπὶ θεὸν ἐλπίδος καὶ εὐχῆς. πρὸς τούτοις καλὸν καὶ τοῦτο ὑπομνῆσαι, ἵνα μὴ φαρισαΐζωσί τινες, ὑπὸ τὸ "οὐαὶ" πίπτοντες ἐν τῷ ζητεῖν τὰς πρωτοκλησίας καὶ τὰς πρωτοκαθεδρίας· "ὁ γὰρ θέλων πρῶτος εἶναι ἐν ὑμῖν, ἔστω πάντων διάκονος", ὁ κύριος εἴρηκεν. ὑψοῦσθε οὖν ἐν τῇ ταπεινώσει, μᾶλλον πρωτεύετε ἐν τῷ ἐσχατιάζειν τῇ προθέσει· καὶ περὶ τοῦ ἔξω, ὡς ἂν συμβάλλῃ, δέχεσθε. ἐγὼ δὲ θαυμάζω, πῶς τινες καὶ τὰ πρῶτα φιλοῦσι καὶ τῶν πρώτων τὴν ἀρετὴν οὐ μεταδιώκουσιν, ἀνεκκλησίαστοί τινες ὄντες, ὑπνιάριοί τε καὶ γογγυστάριοι. δεῖ δέ, εἴπερ καὶ ἐφίενται τῶν πρωτείων, ἵνα καὶ τῶν προεχόντων τὰ ἔργα ἀναλαμβάνωσιν, ἐπεὶ πολὺ τὸ αἰσχρὸν ἔχει τὸ πρᾶγμα. πάντας οὖν κύριος ὁ θεὸς εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν καὶ στηρίξοι καὶ συμβιβάσοι, μὴ μόνον ἀκούειν, ἀλλὰ καὶ εἰς ἔργον προάγειν πᾶν τὸ λεγόμενον ἀξιώσειεν, ὅτι αὐτῷ πρέπει δόξα, τιμή, κράτος, προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΔ'.

Περὶ ἀπροσπαθείας καὶ ἐγκρατείας.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἐμοὶ παραμυθία καὶ παράκλησις ἡ πρὸς ὑμᾶς ἐστιν ὁμιλία καὶ θεωρία, πείθομαι δὲ καὶ

24 κῶδ. *ῥωπῇ*. 31/34 Ψαλμ. κγ', 3. 42 κῶδ. *θαρσαλαίως*.

3 κῶδ. *ἴδεις*. 13 κῶδ. *ἡμῶν*. 15 κῶδ. *φαρισιάζωσι*. 16 οὐαὶ] Ματθ. κγ', 15, 23, 25, 27, 29. Λουκ. ια', 42, 43. 18/19 Ματθ. κ', 26, 31 κῶδ. *στηρίξει καὶ συμβιβάσει*.

ὑμῖν ἡ πρὸς ἐμὲ τὸν ταλαίπωρον ἀνταγάπησις καὶ ἀντίβλεψις, ἐπειδή περ οὔτε ἐγὼ μετὰ θεὸν ἔχω τινὰ ἄλλον, οὐ πατέρα, οὐ μητέρα, οὐκ ἀδελφούς, οὐκ ἀδελφάς, οὐ συγγενεῖς, οὐ φίλους, πάρεξ ὑμῶν τῶν φιλτάτων μου μελῶν καὶ τέκνων καὶ ἀδελφῶν καὶ πατέρων, οὔτε ὑμεῖς πλὴν ἐμοῦ τοῦ ἀχρείου καὶ ἁμαρτωλοῦ. αὕτη ἡ κράσις τοῦ ἁγίου πνεύματος· ταύτην τὴν συνάφειαν προεξένησεν ἡμῖν ἡ κόσμου φυγὴ καὶ ἀπαλλοτρίωσις καὶ ἡ ἄρνησις τῶν τεκόντων καὶ πάντων τῶν σαρκικῶν καθηκόντων. διὰ τοῦτο τὸ ἱερὸν τοῦτο σύνταγμα καὶ ἡ μία ἐν πᾶσι ψυχὴ καὶ τὸ ἓν θέλημα γνωρίζεται. οὕτως λοιπὸν χαίρω προσλαλῶν ὑμῖν ἑκάστοτε καὶ προσφθεγγόμενος, παραζηλῶν πως καὶ ἐκκαιόμενος ἐπὶ τῇ κατὰ θεὸν ἀγάπῃ καὶ σωτηρίᾳ ὑμῶν, ἵνα τὸ ἔργον ὑμῶν προκόπτον προκόπτῃ καὶ αὔξον αὔξῃ καὶ διαλάμπον διαλάμπῃ, πρὸς χαράν μου ἀνεκλάλητον.

Παρακαλῶ οὖν ὑμᾶς, τέκνα μου, καὶ τανῦν στήκετε ἑδραῖοι καὶ ἀμετακίνητοι ἀπὸ τῆς εἰς θεὸν ἐλπίδος, καὶ τὰς πολυπλόκους μεθοδείας τοῦ διαβόλου διαῤῥήσσοντες ἀνώτεροι τῶν παθῶν φαίνοισθε, τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας τῆς σαρκὸς καταπατοῦντες, τήν τε παρθενείαν καὶ ἁγνείαν ὑμῶν περιφρουροῦντες ἀπὸ ψυχῆς καὶ σώματος. βλέπετε, ὅτι ὁ καιρὸς ἐαρινός, ἐν ᾧ πᾶσα φύσις ἔμψυχος πρὸς ζωογονίαν κινεῖται· συμμέτρως ἔστωσαν οἱ ὕπνοι ὑμῶν, καθὼς ὑμᾶς ὑπέμνησα πρὸ τοῦ πάσχα· συγκεκανονισμέναι ἔστωσαν αἱ τροφαί. "καλόν", φησὶν ὁ ἀπόστολος, "τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου σκανδαλίζεται". λέγω κἀγώ, ἀδελφοί μου, συμβουλευτικῶς, οὐχ ὁριστικῶς, διὰ τὰς τιμίας ὑμῶν ψυχάς, καὶ οὐ τοῖς νοσοῦσιν, ἀλλὰ τοῖς ὑγιαίνουσι, καλὸν τὸ μὴ πίνειν τὸν οἶνον, μάλιστα ὑμῖν τοῖς νεωτέροις, δι' οὗ ἀναφλέγονται τὰ πάθη. ἔχομεν τοιγαροῦν ἐν ἡμῖν αὐτοῖς τὸν κλύδωνα τῶν φυσικῶν ἡδονῶν· τί καὶ τὰς οἰνικὰς παρεισάγομεν τρικυμίας; γεύσασθε τοιγαροῦν καὶ ἴδετε, ὅτι χρηστὸν ἡ περὶ τούτου ἐγκράτεια. ὄψει γὰρ σαυτὸν ἐν τῇ τοῦ οἴνου ἀποχῇ ἀνωφερῆ πως τῷ λογισμῷ καὶ ἀπύρεκτον κατὰ ψυχήν, καὶ διυπνισμένον πρὸς τὴν τοῦ θεοῦ ἀγάπην, καὶ διανεστηκότα πρὸς πολλὰ τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας. ὁ οἴνου ἀπεχόμενος πνεύματος ἁγίου ἐστὶν ἐμφορούμενος, ὁ ὑδροποτῶν τὰ τῆς κατανύξεως πέποκεν νάματα. πλήν, ὡς δύνασθε, τὴν ὑγείαν τοῦ σώματος διατηρεῖν, ἢ καὶ κατὰ τὸν κάματον οὕτως πράξατε· οὐ γὰρ ἐπιταγήν, ἀλλὰ συμβουλὴν δίδωμι ἐν τῷ πράγματι. καὶ ἐν τοῖς βρώμασι δέ, τεκνία μου, τὸ αὐτὸ συμβουλεύω, φεύγειν τὰς ἀλόγους πλησμονὰς καὶ τοὺς ὑβριστικοὺς κόρους, ἐξ ὧν αἱ ἀσωτίαι καὶ τὰ σοδομιτικὰ σπέρματα. ἀλλ' οὕτως ὑμᾶς εἶναι ἔν τε τῷ ἐσθίειν καὶ πίνειν σὺν τοῖς ἄλλοις ἅπασιν, ὥστε ἄρχειν καὶ μὴ ἄρχεσθαι ὑπὸ τῶν ἡδονῶν, καὶ κυριεύειν καὶ μὴ κυριεύεσθαι ὑπὸ τῆς σαρκός. καὶ οὗτος ἄριστος ὅρος ψυχῆς καὶ σώματος, μὴ τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος δυναστεύεσθαι. πρὸς τὰς προόδους ἀσφαλῶς ἔχετε, πρὸς τὰς ὁμιλίας τὰς κοσμικάς, μὴ συνεισφέροντες ταραχὰς τῇ ἀδελφότητι. καὶ ὑμεῖς οἱ ἐν τοῖς πλοιαρίοις ἀποτεταγμένοι ἐν τῷ εἰσέρχεσθαι καὶ ἐξέρχεσθαι καὶ ἐπικομίζειν τὰ πρὸς τὴν χρείαν μὴ συνδυάζετε μετὰ κοσμικῶν, μηδὲ ὅμοια ἐκείνοις ἢ λαλεῖτε, ἢ κραυγάζετε, ἀλλὰ σεμνοπρεπῶς γινέσθω ἡ διάπλευσις ὑμῶν, ἵνα ὁ θεὸς δοξάζηται ἐν τούτῳ.

Τινὲς μανθάνω, ὅτι κατέρχονται εἰς τοὺς κήπους καὶ ἐπιζητοῦσι παρὰ τοῦ κηπουροῦ λάχανα εἰς τὸ ἐσθίειν, καὶ μὴ λαμβάνοντες, διὰ τὸν κανόνα, διαμάχονται τῷ κηπουρῷ. καὶ τοῦτο ὅλον σατανικόν ἐστιν καὶ μηκέτι γένηται, ἐπεὶ ἐπιτιμίοις ὑποβληθήσεσθε οἱ τοιοῦτοι. οὐκ ἀρκετὸν τὰ παρατιθέμενα; πῶς πολεμήσεις πάθος ὁ ὑπὸ λαχάνου καταβαλλόμενος; ἀσθενέστερος γενήσῃ καὶ τοῦ πτεροῦ, εἰ μὴ στερεώσῃς ἑαυτὸν τῷ λογισμῷ, ταπεινέ μου ἀδελφέ, διὰ τῆς ἐγκρατείας. ὅλως ἐξ ἀτελῶν τέλειοι καὶ ἐκ μικρῶν μέγιστοι καὶ ἐξ ἀσθενῶν ὑγιεῖς καὶ ἐκ παίδων

27 κῶδ. *παρθενίαν*. 34 Ῥωμ. ιδ', 21. 43 κῶδ. *οἰνικοὺς παρεισάγωμεν*.

2 κῶδ. *ἀνοφερῆ*.

ἄνδρες καὶ ἐξ ἐμπαθῶν ἀπαθεῖς καὶ ἐξ ἀκρατῶν ἐγκρατεῖς καὶ γίνονται ἄνθρωποι καὶ γεγόνασι, καί γε καὶ ἡμεῖς καὶ γεγενήμεθα καὶ γενηθῶμεν, καὶ μὴ ῥᾳθυμήσωμεν, μηδὲ ἀποκνήσωμεν. κύριος δίδωσιν ἰσχὺν καὶ κραταίωσιν. "διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ". οὕτως ἀγαπᾷ τοῦ σῴζεσθαι ἡμᾶς, οὕτως "ἐγγύς ἐστι πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν". οὕτως οὖν ὁ κύριος τῆς δόξης παρακαλῶν παρακαλέσει τὰς καρδίας ὑμῶν καὶ ἑδραιῶν ἑδραιώσει τὰς ψυχὰς ὑμῶν, καὶ περιζωννύων περιζώσει τὰς ὀσφύας ὑμῶν, τέκνα ἠγαπημένα, εἰς παράταξιν, εἰς πόλεμον τοῦ ἀντιπάλου, εἰς νίκην, εἰς ἀποτροπὴν τῶν ἐναντίων, εἰς δόξαν, εἰς αἴνεσιν αὐτοῦ, εἰς κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν, ὅτι αὐτῷ πρέπει ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΕ'.

Περὶ τῆς ἐκκοπῆς τοῦ οἰκείου θελήματος καὶ ἀποφυγῆς τῆς δεινῆς παρρησίας.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, "τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν κυρίῳ". διὰ τοῦτο οὐ κόπος μοι, οὐ στενοχωρία, εἰς τὸ ἐπισκέπτεσθαι ὑμᾶς διὰ τῆς κατηχήσεως καὶ διεγείρειν ὑμῶν τὸ πρόθυμον τῆς ψυχῆς, εἰς τὴν τῶν ἐντολῶν τοῦ κυρίου ἐργασίαν, ἀλλὰ μᾶλλον καὶ εὐφροσύνης ὑπόθεσις καὶ ἀγαλλιάσεως ἀφορμὴ αὐτὸ τοῦτο τὸ λαλεῖν καὶ προσφθέγγεσθαι ὑμῖν καὶ κινεῖν τὴν περὶ τοῦ σώματος ὑμῶν ὁμιλίαν. τί καὶ πῶς καὶ πηλίκως διοδεύσομεν καὶ ἐμπορευσόμεθα, εἰς ἐπιτυχίαν τῆς βασιλείας τῶν οὐρανῶν; καὶ γὰρ αἱ ὁδοὶ καὶ πολλαὶ καὶ μία· μία μέν, ὅτι ἡ ἀρετὴ μονογενής· πολλαὶ δέ, ὅτι διήρηται εἰς πολλὰ κατορθώματα ἡ αὐτή. ἐλώμεθα ταύτην, τέκνα μου ἠγαπημένα, πανσθενεί, καὶ ὁ μὲν τρεχέτω διὰ τῆς θεομιμήτου ὑπακοῆς δρόμον ἀνεμπόδιστον καὶ ἀκατάληκτον, ὁ δὲ διὰ τῆς χριστοφόρου ταπεινώσεως δρόμον ὁμαλώτατον καὶ συντομώτατον, καὶ οἱ ἀμφότεροι, μᾶλλον δὲ οἱ πάντες, τὴν ἐκκοπὴν τοῦ θελήματος ὡς θυσίαν ἄμωμον ἀσπασώμεθα. "τίς ἐστιν ἄνθρωπος", φησίν, "ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς"; ἀλλ' ἢ ὁ ἐκκόπτων ἀληθῶς τὸ θέλημα, οὗτός ἐστιν, "ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον πτώματος, ῥυόμενος τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου". οὗτός ἐστιν ὁ υἱὸς τοῦ φωτός, ὁ τὴν ψυχὴν κεκαθαρμένην ἔχων ἀπὸ πάσης περιπαθήσεως, διότι προῤῥιζῶν ἀνασπᾷ πᾶν πάθος. πόθεν συντρίμματα ἡμῖν καὶ λέσχαι, καὶ ἀηδίαι, καὶ ὕβρεις καὶ ἔριδες, καὶ ζῆλοι καὶ φθόνοι; ἀλλ' οὐχὶ ἐκ τοῦ ζητεῖν ἑαυτῶν τὸ θέλημα καὶ ἐξαυθεντεύειν τῶν οἰκείων ἐφέσεων; ναί, ὄντως, καὶ σχεδὸν οὐκ ἔστιν ἄλλη ὁδός, πλὴν ταύτης, ἡ ῥυομένη ἐκ πάσης μεθοδείας διαβόλου τοὺς ὑποτασσομένους.

Μεγάλαι τοίνυν καὶ θερινὰι ἡμέραι εἰσήεσαν. καυματερὸς ὁ χρόνος· μὴ ἀκηδιάσωμεν, μὴ κατολιγωρήσωμεν. "ἡμέρα τῇ ἡμέρᾳ", φησίν, "ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν", καὶ γὰρ παρυφίστανται καὶ παρεξίστανται. καὶ ὥσπερ τις ῥοῦς ποταμιαῖος, οὕτως ἡ ζωὴ ἡμῶν ἐξυποσύρεται καὶ προσεγγίζει τῷ θανάτῳ. καὶ μακάριοί ἐστε, ὅτι διὰ μηδαμινὰ καὶ πρόσκαιρα κτίζεσθε τὰ αἰώνια καὶ ἐπουράνια. ἐλεύσεται οὖν ἡμέρα, ὅτε καθιεῖται ὁ θεὸς ἐπὶ θρόνου δόξης αὐτοῦ, παρεστώτων τῶν ἁγίων ἀγγέλων, καὶ προσκαλέσεται ὑμᾶς καὶ κατατάξει ἐν τῇ μερίδι τῶν δικαίων. ἀλλὰ τίνας; τοὺς ὑπηκόους, τοὺς εὐπειθεῖς, τοὺς εὐλαβεῖς, τοὺς φιλαρέτους, τοὺς φιλάγνους, τοὺς καθαροκαρδίους, τοὺς εὐκατανύκτους, τοὺς δακρυτικούς, τοὺς φιλεργούς, τοὺς εὐεξαγορεύτους, τοὺς φιλοπάτορας, τοὺς φιλαδέλφους, τοὺς φιλησύχους, τοὺς εὐκτικούς, τοὺς πρὸς τοὺς συγγενεῖς ἀσχέτους, τοὺς πᾶσαν ἄλλην ἐργασίαν θείαν διαπραττομέ-

---

3 κῶδ. *ὑμεῖς*. 5 δίδ. ἰσχὺν καὶ κραταίωσιν] Ψαλμ. ξζ', 36. 6/8 Δευτερ. λβ', 11. 9 Ψαλμ. ρμδ', 18. 10 οὕτως] κῶδ. *οὗτος*. 22 Novae Patrum bibliothecae t. IX, pars II, σ. 148-151. 26 Κορινθ. 1, θ', 1. 40 ταῦτα V.

7 Ψαλμ. λγ', 13. 10 Ψαλμ. πη', 49. 16 κῶδ. *ἀϊδίαι*. 21 κῶδ. *μεθοδίας*. 22 κῶδ. *εἰσίεσαν*. 24 Ψαλμ. ιη', 3.

νους· εἰσὶ γάρ τινες ἐν ὑμῖν οὐχ ἑνί, πλείστοις δὲ κατορθώμασι κατακεκοσμημένοι, καὶ "ὡραῖός ἐστιν ὁ τοιοῦτος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων", ταῖς τοῦ πνεύματος χάρισι κατηγλαϊσμένος. μὴ τοίνυν λοιπὸν προσιέμεθα τὰ δυσειδῆ καὶ φθοροποιὰ τῆς κακίας αἴσχη, ἀλλὰ φεύγοντες ἀποφύγωμεν, τέκνα μου, ἀπὸ τῆς δεινῆς παῤῥησίας, τῆς εἰς ἀλλήλους πονηρᾶς διαβλέψεως, διαλυτικῶν μειδιαμάτων, πορνικῶν γελοιασμάτων, σατανικῶν γογγυσμάτων, πονηρικῶν παροξυμμάτων, δεχόμενοι δὲ πάντα εὐμενῶς, βρώματα, πόματα, ἐνδύματα, διακονήματα, οἷά περ ἂν καὶ εἶεν. καὶ οὗτος ὁ καλὸς ἀγὼν ὑμῶν, καὶ οὗτος τὸ μαρτύριον τῆς συνειδήσεως, καὶ οὗτος ἡ ἀθλητικὴ προκοπὴ ὑμῶν, καὶ οὗτος ἡ στεφανηφόρησις ὑμῶν.

Ἀκούω, ὅτι τινὲς ἀφρόνως, ὅτε ὁρῶσι τὰ παιδία καὶ τὰ μαλάκια, λέγουσιν ὅτι διὰ ταῦτα μέλλομεν ἀπολέσθαι καὶ ταῦτά εἰσιν ἡ κατάλυσις τοῦ μοναστηρίου, καὶ—ὢ τῆς ἀπονοίας—οὐδὲν ἄλλο ἢ τοῦ κυρίου κατηγοροῦσι, τοῦ λέγοντος· "ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν". οὐκ ἐνηπίασεν ὁ Χριστός; οὐκ ἐγαλακτοτρόφησεν; οὐχὶ παῖς ἐγένετο, οὐχὶ νεανίας—"ὅτε ἦν", φησίν, "δωδεκαέτης"—, οὐ νεώτερος, οὐκ ἀνὴρ τέλειος, ὑπὸ τριακοστὸν ἔτος ἀρχόμενος θαυματουργεῖν; τί λοιπὸν ἀλογεῖ καὶ διατί μὴ μᾶλλον ἑαυτὸν καταμέμφοιτο, ὅτι δι' ἑαυτοῦ ἐστιν ἡ ἀπώλεια; ταῦτα οἱ τοῦ ἡγουμένου φρονιμώτεροι καὶ συνετώτεροι, οὐ τοῦ δεξιοῦ δεξιώτερον τρέχοντες οἱ τὸν θεὸν πλεῖον φιλονεικοῦντες φιλεῖν καὶ, οὐχ ὅσον συμφέρει, οἱ ἔξω τοῦ κανόνος φερόμενοι. εἰ δὲ μηδεὶς ἐστιν ὁ εἰπών, ἴσα καὶ τῶν ἀνέμων παρῆλθεν ὁ λόγος, καὶ ἡμεῖς οὐ προσεγκαλέσομεν· εἰ δέ ἐστι, διορθωσάτω ἑαυτόν, ἵνα μὴ ἐμπέσῃ εἰς παγίδα τοῦ διαβόλου. ὁ ἅγιος γέρων ἐκεῖνος τί εἴρηκεν; "ὃς ἂν ἐπιτάξῃ μοι παιδίον, λογίζομαι, ὅτι ὁ υἱὸς τοῦ κυρίου μου ἐπιτέταχέ μοι". καὶ ὑμεῖς οὐ συνιεῖτε τὰ ἀναγινωσκόμενα; διατί μὴ μᾶλλον παιδεύετε αὐτὰ ἀτακτοῦντα, ἵν' ἔχωσι φόβον ἀπὸ προσώπου ὑμῶν, καὶ μηδόλως παῤῥησιάζεσθε εἰς αὐτά; καὶ ἵνα μὴ εἰς μακρὸν ἐκτείνω τὴν κατήχησιν διὰ τὸ αὖγος, συγγνώμη πᾶσιν καὶ ὁ θεὸς τῆς εἰρήνης ἔστω μετὰ πάντων ὑμῶν νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

3 Ψαλμ. μδ', 2. 14 ὁ καλὸς ἀγὼν] Τιμοθ. 1, ς', 12. 2, δ', 7. 15 μαρτ. τῆς συνειδήσεως] Κορινθ. 2, α', 12 18 ἀκούω οὖν V. 19 κῶδ. *μηλάκια*. 23 Ματθ. ιθ', 14. 27 Λουκᾶ β', 42. 32 κῶδ. *φρονημώτεροι* 38 κῶδ. *προσεγκαλέσωμεν*.

ΚΑΤΗΧΗΣΙΣ Ις'.

Περὶ τοῦ ὑπενεγκεῖν ἡμᾶς τὸ πῦρ τῆς ἐπιθυμίας καὶ τὸ βάρος τῆς ἀσκήσεως, καὶ μὴ ἀποκάμνειν ἐν τῷ κλύδωνι τῶν πειρασμῶν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἀπερικάκητός εἰμι πρὸς τὴν ὑπόμνησιν τῆς σωτηρίας ὑμῶν. καὶ δῆλον μέν, ὅτι οὐκ ἐπαρκῶ τρέφειν ὑμῶν τὰς τιμίας ψυχὰς ἐπαξίως τοῖς λόγοις· εἰμὶ γὰρ πένης καὶ πτωχὸς καὶ ἔργῳ καὶ λόγῳ. ἀλλ' ἐπεὶ φίλον θεῷ τὸ κατὰ δύναμιν, τὸ ὀφειλόμενον ἀποπληρώσω καὶ νῦν. τί δέ ἐστι τοῦτο; ἵνα κατὰ τὸν λόγον τοῦ κυρίου "ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσησθε τὰς ψυχὰς ὑμῶν", ἵνα φέρητε τὸν κόπον καὶ τὸν καύσωνα τῆς ἀσκητικῆς διαβιώσεως ἀνολιγώρως, ἵνα ἐν τῷ νόμῳ κυρίου μελετᾶτε ἡμέρας καὶ νυκτὸς καὶ ἐστὲ ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων. πολλὰ ὑμῶν τὰ ἀγωνίσματα ὡς ἀληθῶς, τὰ δωρήματα. πολὺς ὁ ἱδρώς, ἀλλ' αἰώνιος ὁ θησαυρισμός. ἀθλεῖτε, οἶδα, πυκτεύετε, μαρτυρεῖτε, λογχεύεσθε, σταυροῦσθε ταῖς κοπαῖς τῶν θελημάτων, ἀλλὰ χαίρετε ὅτι βασιλεία οὐρανῶν ὑμῖν ἑτοιμάζεται, ἀθανασία, υἱοθεσία, κληρονομία, εὐζωΐα, μακαριότης, ἀγαλλίασις, ἀνάπαυσις πέρας οὐκ ἔχουσα.

Τοιούτων καὶ τηλικούτων προκειμένων, τίς λοιπὸν ὀφείλει ἀκηδιάσαι; τίς δὲ μὴ προσεπειχθῇ καὶ ἐπαγωνίσηται, μᾶλλον δὲ μηδὲν μέτρον εἰδὼς τοῦ καλοῦ καὶ τῆς ἀναβάσεως, ἕως ἂν διὰ θανάτου μετέλθῃ πρὸς

11 Novae Patrum bibliothecae t. IX, pars II, σ. 151-154. 24 Λουκ. κα', 19. 27/30 Ψαλμ. α', 2, 3. 35 κῶδ. *ἑτοιμάζετε*.

τὰ ἐλπιζόμενα; μὴ ὅτι εἰκαιολογία ἐστὶν ἡ κατήχησις; μὴ ὅτι θωπεύω φενακίζων ὑμᾶς; μηδαμῶς, ὦ ἀδελφοί μου. ἐνηχοῦνται ὑμῶν ἀεὶ τὰ ὦτα ταῖς τῶν ἁγίων βοαῖς. ἴστε τί κράζει ὁ μέγας ἀπόστολος· "οὐκ ἄξια", φησί, "τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς". ἐνέγκωμεν λοιπὸν καὶ ἡμεῖς, τέκνα, καὶ τὸ πῦρ τῆς ἐπιθυμίας, ⟨ἵνα⟩ καὶ τὸ βάρος τῆς ἀκηδίας, καὶ τὸν κόπον τῆς ἐργασίας, καὶ τὸν λιμὸν τῆς ἐγκρατείας καὶ τὴν ἐπὶ πᾶσι τοῖς ἄλλοις στενοχωρίαν καὶ ἀδημονίαν, καὶ ἔχομεν καὶ ἡμεῖς συμφθέγγεσθαι τῷ εἰπόντι, "ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς". διὸ μὴ πτύρεσθε ταῖς δαιμονικαῖς φαντασίαις καὶ ταῖς ἐπιθυμητικαῖς ἐπιβουλαῖς οἱ προκόψαντες καὶ προκόπτοντες καὶ ἀεὶ ἀναβιβαζόμενοι πρὸς τὸ τῆς ἀρετῆς ὕψος· ἀλλὰ διὰ τοὺς καταῤῥᾳθυμοῦντας καὶ ἐποκλάζοντας καὶ ἐπισειομένους καὶ ἀμφοτερίζοντας ἀναγκαῖόν μοι τὸ λέγειν, τάχα δὲ καὶ αὐτοὶ ὑμεῖς οἱ πεπαιδευμένοι χρῄζετε ὑποστηρίξεως καὶ ἐπαλείψεως, ἵνα καλῶς διανύσητε τὸν δρόμον τῆς εὐσεβείας. δεῦρο δὴ οὖν λοιπὸν ἅπαντες τῷ φόβῳ φόβον προσθῶμεν, καὶ γενώμεθα εἰς ἀλλήλους χρηστοί, ἐπιεικεῖς, ἀγαπητικοί, πιθανοί, ἱλαροί, φωτεινοί, ἄφθονοι, ἀκενόδοξοι, ἀπέρπεροι, ἀθόρυβοι, ἀγόγγυστοι, ἔχοντες τὴν ὑπομονὴν θεμέλιον καὶ ῥίζαν τῆς ἀγαθῆς ἡμῶν διαβιώσεως.

Πολλὰ τοίνυν εἰσὶ τὰ ἐπαγόμενα ὑμῖν καθ' ἑκάστην θλιβερά, καὶ οὐκ ἀρνοῦμαι. ἀλλὰ οὐχὶ διὰ τὴν σωτηρίαν ὑμῶν καὶ τὴν τῶν αἰωνίων ἀγαθῶν κληρονομίαν ταῦτα; ναί, καὶ οὐδείς ἐστιν ὁ ἀντιλέγων. ἐπεὶ οὖν διὰ τοῦτο ὁ κόπος καὶ ὁ μόχθος, ὁ τόνος καὶ ὁ δρόμος, ὁ κλόνος καὶ ὁ πόνος, ὁ ἱδρὼς καὶ ὁ λιμός, ὁ πνιγμὸς καὶ ὁ στεναγμός, ὁ τάραχος τῶν λογισμῶν καὶ ὁ κλύδων τῶν πειρασμῶν, τῶν παρὰ τῶν ἀοράτων ἐχθρῶν προσρησσομένων ἡμῖν ἐν ταύτῃ τῇ θαλάσσῃ τοῦ βίου, μηδαμῶς, ὦ τέκνα, παρακαλῶ, ῥᾳθυμήσωμεν, μηδαμῶς ἀποκάμωμεν, μηδαμῶς δειλιάσωμεν, μηδαμῶς ἀπελπίσωμεν. Χριστός ἐστιν ὁ προηγούμενος, ὁ ὀρέγων χεῖρα, ὁ λέγων τῇ τοιαύτῃ θαλάσσῃ "σιώπα, πεφίμωσο"· μόνον ἡμεῖς ἔτι ἐλάσωμεν, ἔτι ἐπισπεύσωμεν καὶ περάσομεν. εὖ οἶδ' ὅτι καὶ ἐκπεράσομεν καὶ ἀποσωθησόμεθα ἐν τῷ λιμένι τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ποῦ τότε τοῦ κόπου ἐπίδειξις ἢ ὑπόμνησις; οὐδαμῶς, ἀλλ' ἐκεῖ ὄντως "ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός", καθὼς γέγραπται.

Τί οὖν λοιπὸν μακαριώτερον τοῦ τοιούτου ἔργου καὶ τοῦ τηλικούτου κόπου, ἐξ οὗ ἀνατέλλει φῶς καὶ ζωή, χαρὰ καὶ εἰρήνη, εὐφροσύνη καὶ ἀγαλλίασις ἀπέραντος; ἐὰν οὕτως τις λογίζηται καὶ οὕτω μετέρχηται τὴν ἀρετήν, ὄντως οὐκ ἐκλείπει, οὐκ ἐκκακεῖ, οὐκ ἀποστρέφεται, οὐ νωτάζει, οὐ μόνον πρὸς τὰ ἤδη φθάσαντα ταῦτα καὶ ἐκεῖνα, ἀλλ' οὐδὲ πρὸς αὐτὸν τὸν θάνατον, πρὸς αὐτὸ τὸ σταυρωθῆναι καὶ λογχευθῆναι καὶ κενῶσαι τὸ αἷμα, ἀλλ' ἢ μᾶλλον καὶ ἀσπασίως προσδέξεται τὰ ἔπαθλα καὶ τὰ σκάμματα ὡς ἐφόδια τῶν ἐλπιζομένων. ἐντεῦθεν, ἀδελφοί μου ἠγαπημένοι, οἱ μάρτυρες ἐμαρτύρησαν, πᾶσαν ἰδέαν βασάνων ὑπομείναντες. ἐντεῦθεν οἱ ὅσιοι ὡσιώθησαν, πᾶσαν πεῖραν ἀσκητικὴν ὑπενέγκαντες. ἐντεῦθεν τοιγαροῦν καὶ ὑμᾶς παρεγγυῶμαι ὁ ταλαίπωρος ἀθλῆσαι καὶ στεφανωθῆναι διὰ τῆς μακαριστῆς ὑμῶν ὑποταγῆς καὶ μαρτυρικῆς ὑπακοῆς. ναί, δέομαι ὑμῶν, μὴ στερηθῶμεν τῶν ἀφράστων ἐκείνων καὶ ἀνεκδιηγήτων ἀγαθῶν, μὴ στερηθῶμεν τοῦ ἀκοῦσαι "υἱοὶ καὶ κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν". ναί, ἀντιβολῶ καὶ δυσωπῶ ὑμᾶς, μὴ στερηθῶμεν τῆς χαρᾶς τοῦ νυμφῶνος Χριστοῦ καὶ τῆς δεξιᾶς παραστάσεως, ἐν ᾗ πάντες οἱ ἅγιοι εὐφραινόμενοι ἀϊδίως, χορεύοντες χορεύσουσι καὶ ᾄδοντες ᾄσουσι, καὶ ἀπολαύοντες ἀπολαύσουσι θεοῦ καὶ τῶν θείων ἁπάντων ἀγαθῶν.

5/8 Ῥωμ. η', 18. 8 κῶδ. *ὑμεῖς*. 9 ὠβέλισα τὸ *ἵνα*. 14/16 Ψαλμ. μγ', 22. 20 κῶδ. *καταραθυμοῦντας*. 28 κῶδ. *πειθανοί*. 31 κῶδ *ὑμῶν*.

5 Μάρκ. δ', 39. 6 ἐλάσωμεν] λαλήσωμεν V. 10/11 οὐδαμοῦ V || Ἡσαΐου λε', 10. να', 11. 14/15 ἀνατελεῖ V. 17 κῶδ. *λογίζεται, μετέρχεται*. 32 ἀποταγῆς V. 33 ἡμῶν V.

Ἔσται δὲ πῶς τὸ ἐπιτυχεῖν ὑμᾶς; ἐάν περ τὸ μακάριον ὑμῶν ἔργον τελειώσητε, μὴ ἀποῤῥαγέντες, μηδὲ θραυσθέντες, μηδὲ σκορπισθέντες, μηδὲ ἐν τῷ βαράθρῳ τῆς ἁμαρτίας κατακλυσθέντες. διὰ τοῦτο χαίρετε κατὰ μὲν πρῶτον λόγον ἅπαντες, χαίρετε δὲ μᾶλλον οἱ πλεῖον κοπιῶντες· χαίρετε οἱ μειζόνως ὠφελοῦντες, χαίρετε οἱ περισσοτέρως διαλάμποντες, χαίρετε οἱ οἰκονομοῦντες, χαίρετε οἱ ἐπιστημοναρχοῦντες, οἱ πρώτιστοι ἐν τοῖς καμάτοις καὶ ἐξωεργοῦντες, καὶ μάλιστα οἱ ἀροτριῶντες καὶ διασκάπτοντες, ἔτι οἱ ἐν ταῖς διακονίαις ταλαιπωρούμενοι. χαῖρέ μοι ὁ πρωτοβεστιάριος, ὁ κελλαρίτης, ὁ ὑποδηματορῤῥάφος, ὁ σκυτεύς· χαῖρέ μοι ὁ ἑστιάτωρ, ὁ ὀψοποιός, ὁ μεμβρανοποιός, ὁ ἀριστοποιός, ὁ κηπουρός, ὁ χαλκοτύπος· χαῖρέ μοι ὁ νοσοκόμος μετὰ τῶν συνυπουργούντων, ὁ πρωθαλιεὺς σὺν τοῖς ἁλιεῦσιν, οἱ θυρωροί, οἱ φροντισταί, οἱ ζωγράφοι, καὶ ἵνα τὸ πρῶτον ἔσχατον εἴπω, χαίρετέ μοι οἱ ἱερουργοῦντες, οἱ διακονοῦντες, οἱ καλλιγραφοῦντες, εἴπερ γράφετε ἐν ὑπακοῇ καὶ ταπεινώσει, οἱ ψάλλοντες καὶ στιχολογοῦντες καὶ μάλιστά γε ὁ κανοναρχῶν, εἴπερ συνιεῖτε ἃ ψάλλετε καὶ εἰς ὦτα θεοῦ ἠχεῖτε. σὺν τούτοις ἔτι χαίρετέ μοι οἱ ὑπουργοῦντες καὶ διακονοῦντες, οἱ ἀμφιάζοντες καὶ ἀφυπνίζοντες καὶ ἐπιτηροῦντες. χαίρετέ μοι οἱ χαρτουλαρεύοντες καὶ οἱ νοταρεύοντες καὶ καταγραφόμενοι, οἱ χρυσοφύλακες καὶ σκευοφύλακες, οἱ κανισκάριοι καὶ κανδηλάριοι, ὁ κοσμήτωρ, ὁ ὀπωροφύλαξ, ὁ ὁριάριος, ὁ οἰνοχόος, ὁ πρωτοκαλλιγράφος, ὁ βιβλιοφύλαξ, ὁ ταξιάρχης. πᾶς οὖν εἴ τις ἄλλος μικρὸς καὶ μέγας, πάντες χαίρετε, πάντες εὐφραίνεσθε, πάντες ἐπείγεσθε, πάντες καθαίρεσθε, πάντες ὑψοῦσθε. ὡς ξένον θέαμα ὁ ἐν μέσῳ πάσης τῆς ἀδελφότητος μαρτυρούμενος ἐνάρετος! ὡς ἡδὺ ὅραμα ὁ ἐπὶ τοιούτου πλήθους κεχαριτωμένος τὸ πρόσωπον ἐν εὐλαβείᾳ καὶ ταπεινώσει καὶ ὑπακοῇ! ὡς εὐκταῖον παράδειγμα ὁ εἰς πάντας τρέχων καὶ διαθέων καὶ φωτίζων τῷ λόγῳ καὶ ἀλείφων τῷ φθόγγῳ, ὅτι τῶν τοιούτων ἐστὶν ἡ μείζων μᾶλλον στάσις ἐν καιρῷ ἀνταποδόσεως! "ἕκαστος" οὖν λοιπὸν "τὸν ἴδιον μισθὸν λήψεται, κατὰ τὸν ἴδιον κόπον", ὥσπερ ὁ ἀπόστολος διδάσκει· ὥστε καλὸν τὸ μοχθεῖν καὶ δι' ὀλίγων ἀγώνων κληρονομῆσαι "ἃ ἡτοίμασεν ὁ θεὸς πᾶσι τοῖς ἀγαπῶσιν αὐτόν", ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΖ'.

Ὅτι δεῖ ἐμμένειν ἡμᾶς ἐν τῇ ὁμολογίᾳ καὶ τῇ κλήσει, ᾗ κέκληκεν ἡμᾶς ὁ θεός, καὶ μὴ διὰ χλιαρότητα ἀπολέσαι τὰ πολύευκτα ἡμῶν κατορθώματα.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, πλατύναι τὸν θεὸν τὴν διάνοιάν μου ἐν νοήμασιν δι' εὐχῆς παρακαλῶ ἔχετε, ὅπως δυνηθῶ ὑμῖν ἐπαρκεῖν πρὸς ταύτην τὴν οἰκτρὰν καὶ μικρὰν κατήχησιν, πρὸς τὰς καθ' ἑκάστην συμπιπτούσας καὶ παρισταμένας ὑποθέσεις, αἵτινες χρῄζουσιν οὐχὶ τῆς τυχούσης μὲν παρακλήσεως, ἀλλ' οὐδὲ τῆς ὀλιγοστῆς παραινέσεως· ἐπιγίνονται γὰρ ἀεὶ ὡς νιφάδες αἱ ὀλιγωρίαι, αἱ ἀκηδίαι, αἱ ἰδιορρυθμίαι, αἱ ἀτονίαι, καί τινων μὲν αἱ παρακοαί, ἄλλων αἱ ὑψηλοφροσύναι, ἐνίων δὲ αἱ ἀποδράσεις, πρὸς τούτοις αἱ ἀντιλογίαι, αἱ ἀκαταστασίαι, οἱ γογγυσμοί, οἱ ψιθυρισμοί. καὶ ποῦ μοι καιρὸς καταλέγειν κατ' ἔπος πάντα, ἐν οἷς ὡς ἐπὶ κλύδωνός τινος χειμερίου συνεχόμενος πολὺν τὸν θόρυβον ἐν τῇ ταπεινῇ μου ψυχῇ ἔχω ἐγγινόμενον, τὸ ποῦ καὶ πῶς καὶ ἡλίκως, συνεργίᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, δυνηθείην ἀκριμάτιστον καὶ ἀκαταπόντιστον τὴν ἐμπιστευθεῖσάν μοι κυβέρνησιν τῶν τιμίων ὑμῶν ψυχῶν ποιήσασθαι; οἶδα δὲ καὶ σύμφημι, ὅτι καὶ αὐτοὶ συνέλκεσθε καὶ συνδιατείνεσθέ μοι ἐν ταύτῃ τῇ κυβερνήσει, ἀλλ'

---

5 κῶδ. *κατακλυσθέντας*. 9 χαίρετε οἱ οἰκονομοῦντες - - πάντες χαίρετε] ἐλλείπει ταῦτα τῷ V. 19 κῶδ. *πρωταλιεὺς*. 24 κῶδ. *μάλλιστα*. 40 τοσούτου V.

4 κῶδ. *ἀνταποδώσεως*. 4/6 Κορινθ. 1, γ', 8. 8/9 Κορινθ. 1, β', 9. 14 Κορινθ. 1, ζ', 20. 26 κῶδ. *ἰδιορυθμίαι*.

οὐχ οἱ πλείονες. ἦ γὰρ ἂν εὐκοπώτερον καὶ κουφότερόν μοι ἦν τὸ πόνημα.

Διὰ τοῦτο δέομαι, τοὺς μὲν συναγωνιῶντάς μοι ἔτι μᾶλλον συναίρεσθαί μοι τὸν κόπον, ὡς ὀφείλοντας τοὺς ἀξίους παρὰ θεῷ κομίσασθαι μισθούς, τοὺς δὲ ἄλλους τὸ παύσασθαι τῆς δυσπραγίας, ἀναλαβομένους φόβον θεοῦ καὶ τὸ τοῦ φοβεροῦ καὶ φρικτοῦ ἐκείνου κριτηρίου παράστημα, ἐν ᾧ ἀπολήψεται ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ. διατί γάρ, τέκνα, ἐνταῦθα ἐληλύθαμεν, ἐξελθόντες τοῦ κόσμου καὶ ἀποχωρισθέντες τῶν κατὰ σάρκα γονέων καὶ συγγενῶν καὶ φίλων, πόλεών τε καὶ πατρίδων, οἴκων τε καὶ χωρίων; οὐχ ἵνα σώσωμεν τὰς ἑαυτῶν ψυχάς; οὐχ ἵνα συγχωρηθῶμεν τὰ ἐν βίῳ ἡμαρτημένα; οὐχ ἵνα εὐαρεστήσωμεν κυρίῳ; οὐχ ἵνα κτησώμεθα τὰ αἰώνια ἀγαθά; οὐχ ἵνα ζήσωμεν ἀγγελικῶς, ζηλοῦντες τοὺς ἀσωμάτους νόας, μᾶλλον δὲ τοὺς ἁγίους καὶ τρισμακαρίους πατέρας ἡμῶν; καὶ πῶς τὰ ἐναντία πράττομέν, ἀντὶ τοῦ κλαίειν γελῶντες καὶ ἀντὶ τοῦ κατανύσσεσθαι στρηνιῶντες, ἀντὶ τοῦ εὐλαβεῖσθαι ἀγριούμενοι καὶ ἀντὶ τοῦ προσεύχεσθαι καταρώμενοι, ἀντὶ τοῦ ἠρεμεῖν ῥεμβόμενοι καὶ ἀντὶ τοῦ ἡσυχάζειν σχολιάζοντες, ἀντὶ τοῦ καθαίρεσθαι ῥυπούμενοι καὶ ἀντὶ τοῦ συστέλλεσθαι παῤῥησιαζόμενοι, ἀντὶ τοῦ νηστεύειν ἀκρατευόμενοι καὶ ἀντὶ τοῦ ψάλλειν διαδικαζόμενοι, ἀντὶ τοῦ ὑπακούειν αὐθαδιαζόμενοι καὶ ἀντὶ τοῦ ταπεινοῦσθαι ἐξυψούμενοι; οὕτως λήθη καὶ ἀπροσεξίᾳ τῶν πρώτων συνταγῶν καὶ συνθηκῶν καὶ ὁμολογιῶν ὑποσύρειν ἡμᾶς εἴωθεν ὁ ἀντίπαλος.

Ἀλλὰ γνῶτε, τέκνα, καὶ ἐπίγνωτε καὶ ἀνανήψατε καὶ συνέλθετε πάντες εἰς ὅπερ καὶ συνέθεσθε, ἀποπλῦναι τὰ ἁμαρτήματα, ἁγιασθῆναι, φωτισθῆναι, τελειωθῆναι, θεοποιηθῆναι, κληρονομῆσαι βασιλείαν οὐρανῶν. ναί, παρακαλῶ καὶ δέομαι, μὴ εἰς κενὸν ὁ κόπος ἡμῶν ὀφθείη! πόσα καὶ πηλίκα ταλαιπωρήκατε καὶ ταλαιπωρεῖτε! πόσα νενηστεύκατε καὶ νηστεύετε! πόσα ἠγρυπνήσατε καὶ ἀγρυπνεῖτε! πόσα ἐπετιμήθητε καὶ ἐπιτιμᾶσθε! πόσα βεβαστάκατε καὶ βαστάζετε! πόσα διηνύκατε καὶ διανύετε! μὴ τοίνυν διὰ χλιαρότητα καὶ ὠρινὴν ἡδονὴν τὰ πολύκτητα καὶ πολυπόριστα καὶ πολύευκτα ὑμῶν κατορθώματα ἀπολέσητε, ἀλλὰ τοῖς προτέροις συγκτήσασθε καὶ τὰ παρόντα, μεγαλεμπόρως τὸν βίον τοῦτον διανύσαντες, καὶ ἄπιμεν πρὸς τὸν παγγάληνον λιμένα τῆς ἀτελευτήτου ζωῆς.

Οἶδεν οὖν ὁ κύριος, ὅπως ἐφίεμαι τῆς ἑκάστου ὑμῶν καθηκούσης ἀναπαύσεως, καὶ τὴν ἐμαυτοῦ ταλαίπωρον ψυχὴν ὅπως συνδιατίθημι πρὸς τὰ συνεισφερόμενα ὑμῖν, ἀλγῶν ἐπὶ τοῖς ἀλγοῦσι καὶ ἀσθενῶν ἐπὶ τοῖς ἀσθενοῦσιν, ὡς ἀσθενὴς λίαν κατὰ ψυχήν, ἀθυμῶν ἐπὶ τοῖς ἀθυμοῦσιν, ἀγωνιῶν ἐπὶ τοῖς ἀγωνιῶσιν, περιστατούμενος ἐπὶ τοῖς περιστατουμένοις, φλεγόμενος ἐπὶ τοῖς πειραζομένοις. καὶ ἡνίκα οὕτως, τί μὴ παραχωρεῖτέ μοι οἱ πάντες καὶ εὐθύνεσθε καλῶς καὶ ἠρεμαίως, στοιχοῦντες τοῖς διατεταγμένοις, ἀλλ' ἀντιφέρετε καὶ ἀντεπεξάγετε οἱ τινὲς θελήματα ἰδικά, μᾶλλον δὲ πονηρά, ἐπιθυμήματα βλαβερά, βουλεύματα ὑπερηφανευτικά, οὐ στοιχοῦντες τῷ κανόνι τῆς ὑποταγῆς καὶ κοινοβιακῆς καταστάσεως, ἀλλ' ἐκ φιλαυτίας καὶ ἰδιορρυθμίας νομιμώτερα μᾶλλον ἐξευρίσκοντες καὶ ἁγιώτερα ἐκτιθέμενοι καὶ ἐνθεέστερα δογματίζοντες, ἅτινά εἰσιν ἀσεβήματα καὶ ἀνομήματα; οἱ μὲν γὰρ ἐξ αὐθεντίας, μᾶλλον δὲ διαταγῆς τοῦ διαβόλου, λάθρᾳ καὶ ἀγνοίᾳ μου σίδηρα περιεβάλεσθε καὶ ἀλλήλοις πρὸς ταῦτα παραχωρεῖτε καὶ συνέρχεσθε τῷ συντεκταίνοντι ὑμῖν τὴν ἁμαρτίαν διαβόλῳ· ἄλλοι ἐρημικὰς ζωὰς εὐφημεῖτε καὶ τῷ ἐρημῶσαι ὑμᾶς θέλοντι Σατανᾷ συνδιαλέγεσθε· ἕτεροι τόδε καὶ τόδε, ἵνα μὴ ἐκφαίνω τὰ πράγματα, ταὐτοθελῶς

1 ἦ] κῶδ. *εἰ.* 10 κατὰ τὰ ἔργα αὐτοῦ] Ῥωμ. β', 6. 22 κῶδ. *πράττωμεν.* 38 κῶδ. *ἀποπλῆναι.*

1 τεταλαιπωρήκατε καὶ ταλαιπωρεῖτε] κῶδ. *τεταλαιπωρεῖτε·* славянскі остраститеся и остращенѣ есте. 6 κῶδ. *χλιαρώτητα.* 8/9 κῶδ. *συνκτήσαστε.* 11 κῶδ. *παγγάλινον.* 23 κῶδ. *τὰ διατεταγμένα.* 29 κῶδ. *ἰδιορυθμίας.* 34 κῶδ. *περιεβάλλεσθε.* 36 κῶδ. *συντεκτένοντι.*

ἐργάζεσθε, τὴν εὐλογίαν τοῦ ἀντιπάλου πάντως δεχόμενοι. καὶ τί ταῦτα πράττοιτε, μὴ ἐρῶντες τὰ οἰκεῖα καὶ ἁρμόζοντα καὶ θεάρεστα καὶ σωτήρια ὑμῖν; ποῦ τις τῶν ὁσίων τοιαῦτα εἰργάσατο; εἰ δὲ καὶ εἰργάσατο, ἀλλ' ὅμως σπανιάκις ὑπὸ ὀπτασίας, ἢ θεοσημείας, ἢ πατρικῆς παραχωρήσεως, παρορμηθείς. ὑμεῖς δὲ μήπω ἀποκλυσάμενοι, οἱ μὲν τυχὸν μηδὲ αὐτὰ τὰ πρότερον ἁμαρτήματα, οἱ δὲ κἂν ἀποκλυσάμενοι, μήπω τὰ ἤθη ἡμερώσαντες, μηδὲ γευσάμενοι διακριτικῆς γλυκύτητος, τυφλώττοντες τῇ ἀβουλίᾳ καὶ ἰδιοθελησίᾳ, οὕτως, ὡσὰν σκώληκες, κατὰ κρημνοῦ φέρεσθε ὑπὸ τοῦ ὑποσύροντος ὑμᾶς ἀπάτῃ, τοῦ ὄφεως.

Μὴ οὕτως, μηδαμῶς, τέκνα μου, ἀλλὰ πιστεύετε τοῦτο τῶν σοφῶν εἶναι σοφώτερον καὶ τῶν ἁγίων ἁγιαστικώτερον, καὶ τῶν συμφερόντων συμφερώτερον ὑμῖν, τὸ μένειν ἐν τῇ κλήσει, ᾗ κέκληκεν ὑμᾶς ὁ κύριος, ἐν τῷ κοινοβίῳ, ἐν τῷ πατρί, ἐν τοῖς ἀδελφοῖς, ἐν τῇ θεοποιμάντῳ μάνδρᾳ· ὁ γὰρ ἐξερχόμενος θηριάλωτος ἔσται πάντως. ἐν ταύτῃ αὐλιζόμενοι τελεῖτε καὶ ἐκτελεῖτε τὰ ἰδιώματα αὐτῆς, τὴν ὁμοψυχίαν καὶ ὁμογνωμίαν, τὴν συνάθλησιν, τὴν συμμαρτύρησιν, τὴν συγκοπίασιν, τὴν συνύμνησιν. εἰ δέ τίς τι καὶ προὔχειν θέλει τῶν ἄλλων ἐν κατορθώμασι, δυνατὸς ὤν—φίλον τοῦτο θεῷ καὶ ἡμῖν—ὑποβαλλέτω ἑαυτὸν τῷ φρονήματι κατώτερον πάντων, μηδόλως ἀντιλογείτω, μηδόλως εὑρισκέσθω ἐν τῷ στόματι αὐτοῦ δόλος, μηδαμῶς καταφθαζέσθω γογγύζων. ἔστω βραδὺς εἰς ὀργήν, ταχὺς εἰς ὑπακοήν, ταχύτερος εἰς τὸ λέγειν "συγχώρησον" ἐν καιρῷ ἐνστατικῆς διαλέξεως, φαιδρὸς τῷ προσώπῳ διὰ τῆς ἔνδοθεν ἐπᾳδομένης ψαλμολογίας καὶ προσευχῆς καὶ καταστάσεως, κάτω νενευκὼς τὸ ὄμμα, ἀναθρώσκων δὲ τὸν νοῦν εἰς θεόν. ἔστω ἐγκρατευόμενος παντάπασι γέλωτος μέχρι μειδιάματος, τὸ δέον ἀποπληρῶν· ἔστω ἐγκρατὴς καὶ μέχρι λόγου ἑνὸς σαπροῦ καὶ μὴ φέροντος οἰκοδομήν· ἔστω ἀρκούμενος τῷ σιτισμῷ τῆς κοινῆς τραπέζης καὶ μηδὲ τότε ἐμπιπλώμενος· ἔστω ἀρκούμενος τῷ ὡρισμένῳ ὕπνῳ καὶ ἐν τῷ κανόνι νηφαλέως καὶ ἐγρηγορὼς παριστάμενος, ἀκριβευόμενος μέχρις ἑνὸς στίχου μὴ ἀπολέσαι· ἔστω καθ' ἑκάστην ἡμέραν βάλλων ἀρχὴν καὶ μέχρις ἑσπέρας τὸ τῆς ζωῆς αὐτοῦ πέρας διοριζόμενος, καὶ διὰ τοῦτο κατηφευόμενος καὶ στεναχιζόμενος καὶ ἑτοιμαζόμενος τὴν ἔξοδον τῆς ψυχῆς· ἔστω καθ' ἑκάστην ἡμέραν δακρυρροῶν, εἰ δ' οὖν ἀλλ' ἐν καιρῷ τῆς μεταλήψεως ἢ τῇ ἑσπέρᾳ τῆς καθευδήσεως ὥρᾳ, παρειὰς αὐτοῦ βρέχων ἐν κλαυθμῷ τῷ ἀναλογισμῷ τῶν παρεαθέντων ἐξ ἀτονίας πραγμάτων, ἢ καὶ τῇ ἀναλογίσει τῶν οὐρανίων θεαμάτων καὶ καθ' ἑκάστην ἡμέραν διοικουμένων ὑπὸ θεοῦ κριμάτων, καὶ μᾶλλον ἐπὶ τῇ τοῦ θανάτου ἐπινοίᾳ, διαχωρίσει τε τοῦ σώματος καὶ τῆς ψυχῆς, ἀπαγωγῆς τε τῶν ἀγγέλων, ἀπαντήσει τε τῶν δαιμόνων, ἀπολογίᾳ τε τῶν βεβιωμένων κατά τε νοῦν καὶ πρᾶξιν καὶ λόγον. ποῦ καὶ πῶς ἄρα εὑρεθήσεται ἡ ψυχὴ ἡ ταπεινή; καὶ εἰ ἄρα ἐν τῇ εὐλογημένῃ καὶ δεξιᾷ παραστάσει; καὶ εἰ ἄρα ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ; καὶ εἰ ἄρα ἐν τῷ θείῳ νυμφῶνι; ἢ μήπως περ ἀπῄει μετὰ τῶν ἐρίφων, ἔνθα ἐστὶν ἀκοῦσαι τὸ "ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ";

Ἰδοὺ πόσα προτερήματα καὶ ἀγωνίσματα ὑποδέδεικται ὑμῖν. καὶ ποῦ ἐστιν ἐν ἄλλῳ βίῳ θεοδρόμῳ τοσαῦτα ἐργάσασθαι καὶ πολυειδῆ τὴν ἀρετὴν παραστῆσαι, ἢ ὡς ἐν τῷ ἱερῷ κοινοβίῳ, καθὼς ὁ μέγας νομοθέτης ἡμῶν Βασίλειος ὁ θεῖος διαγορεύει; ἐγὼ τοίνυν φανερῶ ἀφανῶς τινας ἐξ ὑμῶν, ἵνα ἐγκεντρισθῆτε οἱ τὰ μὴ καθήκοντα διαπράττοντες πρὸς ὁμοζηλίαν, εἴπερ ἐθέλοιτε. εἰσὶ τοίνυν ἐν ὑμῖν οἱ ἐξ εἰλικρινοῦς πίστεως αὐτῶν καὶ ἀγάπης πρὸς θεόν τε καὶ τὸν καθηγούμενον τυχὸν μηδόλως ἐνυπνιαζόμενοι,

7 κῶδ. *παρορμηθῆς*. 20 Κορ'νθ. 1, ζ', 20. 24 κῶδ. *ἰδιόματα*. 29 ὤν] κῶδ. *ἄν*. 32 κῶδ. *εὑρισκέτω*.

3 κῶδ. *νηφαλαίως*. 11 εἰ δ' οὖν ἀλλ'= εἰ δὲ μή, ἀλλ' οὖν. 14 κῶδ. *παρεθέντων*. 25 Λουκ. ιϛ', 22. 26 νυμφῶνι] Ματθ. θ', 15. Μάρκ. β', 19. Λουκ. ε', 34 || περ] κῶδ. *ὅπερ*. 27 κῶδ. *ἀπείη* || μετὰ τῶν ἐρίφων] Ματθ. κε', 33. 28/30 Ματθ. κε', 41.

ὅπερ ἔχει καὶ ὁ θεῖος Βασίλειος. εἰσὶν ἄλλοι, οἱ τοῦ δακρύου ἐργάται καὶ μηδὲ μίαν ἡμέραν σχεδὸν ἀκλαυστὶ ἐξερχόμενοι. εἰσὶν ἕτεροι, οἱ μήποτε τὴν ἁγίαν μετάληψιν λαμβάνοντες, εἰ μὴ πρότερον χέωσι τὸ τῶν βλεφάρων ὕδωρ· εἰσὶ δ' ἄλλοι, οἳ τοσοῦτον προσέχοντες καὶ φιλαγνοῦντες, ὡς μηδόλως εἰς πρόσωπον βλάπτεσθαι, καὶ εἰσὶν ἄλλοι οἱ τὴν χρείαν τοῦ ὕπνου καθήμενοι ἐκτελοῦντες, καὶ ἄλλοι πάλιν οἱ ἔξω τῆς τραπέζης μηδόλως πεποκότες ὕδωρ, ἢ φαγόντες βρωτόν, ἄνευ δοθείσης εὐλογίας. ἕτεροι δ' αὖ πάλιν, οἱ προευρισκόμενοι πάντοτε ἐν τῷ κανόνι, κατὰ τὸν θεῖον Σάββαν, καὶ ἄλλοι οἱ μήποτε ἐξάγγελσιν ποιούμενοί μοι περὶ ἐκδικήσεως ἢ ἐκζητήσεως ἱματίου, ἢ ὑποδήματος, ἢ ἄλλου τινός, ἀλλ' ἢ μόνον πρὸς ἐπιζήτησιν νηστείας, ἀγρυπνίας, ἄλλης παντοίας κακοπαθείας εἰς τὸ σῴζεσθαι.

Ἴδε οἱ εὐθεῖς τῇ καρδίᾳ, ἴδε οἱ θέλοντες ἀγωνίζεσθαι τὰ ὑψηλότερα, ἴδε οἱ μετὰ τῆς οἰκείας σωτηρίας καὶ τὴν τῶν πλησίων ἀβλάβειαν περιποιούμενοι, μᾶλλον δὲ οὐκ ἀβλάβειαν, ἀλλ' ὠφέλειαν παντεπαίνετον μεθ' ὑπομνήσεως οἱ ποιοῦντες πεποιήκασι καὶ ποιοῦσιν· ἐν τούτοις καὶ τοὺς πεσόντας ἐγείρουσιν. τούτους οὖν οἱ βουλόμενοι μιμείσθωσαν· εἰ δὲ μή γε, ἀρκείσθωσαν ἐπὶ τοῖς καθολικοῖς κατορθώμασιν· ἀρκεσία γάρ ἐστι σωτήριος, καὶ ἐν ταύτῃ μόνῃ τὸν στέφανον αὐτῶν ἀπολήψονται, καὶ οὕτως τὸ παρὸν μακρότερον καὶ διεξωδικώτερον ὑπέγραψα ὑμῖν τὴν κατήχησιν, ἵνα μὴ φρονῆτε παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν, καθὼς καὶ διατέτακται, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΗ'.

Περὶ τοῦ περιφράξαι τὰς ἑαυτῶν ψυχὰς διὰ τῶν ἀρετῶν, ὅτι πολλοὶ οἱ πολεμοῦντες ἡμᾶς ἀπὸ ὕψους.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἵνα ἀπὸ ὑποδείγματος ἀρξώμεθα τῆς κατηχήσεως, πολέμου ἡνίκα συμβολὴ φθάσει γίνεσθαι, πρότερον καθίσαντες οἱ στρατηγοῦντες, ἐπισυναγαγόντες τὸν λαὸν καὶ λόγοις παρακλητικοῖς ἐπαλείψαντες καὶ πρὸς τοὺς ἀγῶνας συναγείραντές τε καὶ ἀνδρειώσαντες, οὕτως ἀπίασι πρὸς τὸν πόλεμον. καὶ κυβερνῆται νηῶν πρότερον μετὰ τῶν ναυτίλων συγκαθεσθέντες καὶ συνδιασκεψάμενοι τὰ τῆς ποντοπορείας, οὕτως κελεύουσί τε τὰ ἱστία καὶ ἐξορμῶσι, θεὸν ἐπικαλεσάμενοι ἀρωγόν. ἐῶ λέγειν ὁδίτας, ἐμπόρους τε καὶ γεωργοὺς καὶ πᾶσαν ἄλλην μέθοδον τῆς συμβουλευτικῆς καὶ συγκαθεστικῆς καὶ ὁμονοητικῆς, ἐπιδεομένην πάντως εὐκαιρολογίας.

Ἐπεὶ τοίνυν καὶ ὑμεῖς ὁ τοῦ Χριστοῦ στρατός, τὸ ἐκ τοῦ παντὸς κόσμου ἐκλελεγμένον κυρίῳ συνάθροισμα, τὸ ἀφιερωμένον θεῷ ἀνάθημα, "πάλην ἔχομεν", κατὰ τὸν ἀπόστολον, "οὐ πρὸς ἐναίμους καὶ ἐνσάρκους ἐχθρούς, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας", ἔργον ἡμῖν ἐστιν ἀναγκαῖον ἐπὶ τὸ αὐτὸ καὶ συναθροίζεσθαι καὶ συγκαθέζεσθαι καὶ συνδιασκέπτεσθαι οὐχ ἅπαξ, οὐ δίς, οὐ τρὶς τοῦ ἐνιαυτοῦ (ἦ γὰρ ἂν καὶ τρισσάκις πολεμοῦντες καὶ πολεμούμενοι, οἴκοι ἀνακάμψαντες, ἠρεμίαν ἤγομεν ἀμφότεροι, οἵ τε πολεμοῦντες καὶ οἱ πολεμούμενοι), ἀλλ' ἀδιαλείπτως καὶ ὡσαύτως, ὅτι καὶ ἀένναος ὁ παρὰ τῶν ἐχθρῶν ἡμῶν πόλεμος, ὡς ἴστε καὶ ἴσμεν οἱ πειραζόμενοι. οὐκοῦν τί ξένον ποιοῦμεν καὶ παράλογον, μᾶλλον δὲ εὐλογώτατα καὶ δικαιότατα καὶ χρησιμώτατα, εἰς ταὐτὸ καθ' ἑβδομάδα συνερχόμενοι τρίς, ἀλλ' οὖν καὶ καθ' ἑσπέραν συναγόμενοι καὶ οἱονεὶ συμβουλευόμενοι καὶ συγχροτούμενοι καὶ συνασπιζόμενοι διὰ τοῦ λόγου τῆς κατηχήσεως;

Βλέπετε τοιγαροῦν, στρατιῶται Χριστοῦ, πῶς ἐστε περιπεφραγμένοι τὰς ψυχὰς ὑμῶν, εἰ ἔχετε θώρακα εὐπιστίας, εἰ ὑπάρχει ὑμῖν ἀσπὶς ταπεινοφροσύνης, εἰ πάρεστιν ὑπακοῆς

20 κῶδ. *εὐθὺς* || εὐθεῖς τῇ καρδίᾳ] Ψαλμ. ζ', 11. ι', 2. λα', 11. λς', 14. ξγ', 11. οβ', 1. ηγ', 15. ιϛ', 11. ρκδ', 4. 33/34 κῶδ. *φρονεῖτε* || Ῥωμ. ιβ',3.

9 κῶδ. *ποντοπορίας*. 18 κῶδ. *πάλιν*. 18/23 Ἐφεσ. ε', 12. 28 κῶδ. *ἤγωμεν*. 30/31 κῶδ. *ἀενάως*. 34 κῶδ. *χρησιμότατα*.

δόρυ, εἰ σκέπει ὑμᾶς περικεφαλαία ἐλπίδος σωτηρίου, εἰ ἐπὶ χεῖρας ὑμῶν ἡ μάχαιρα τῆς εὐανδρείας, καὶ πρότερον, εἰ εὐήνιον ὑμῶν τὸ τίμιον σῶμα καὶ εὔδρομον, ὡς ἂν πῶλος εὐτακτῶν, ἀλλὰ μὴ δυσκαθεκτῶν καὶ ἀναχαιτίζων, βάλλοι κάτω τὸν ἐπιβάτην νοῦν, κατὰ πρόσωπον τῶν πολεμίων. ναὶ τοίνυν ἔχετε—ἀνθ' ὑμῶν ἀνταποκρίνομαι—, ἀλλὰ καὶ σχοίητε ἔτι καὶ ἔτι, τεκνία μου, ὅτι πολλοὶ οἱ πολεμοῦντες ὑμᾶς ἀπὸ ὕψους, ὅτι πεπυρωμένα ἄγαν τὰ βέλη τοῦ πονηροῦ, ὅτι ἡμερονύκτιον οὐδὲ τὴν ἀκαριαίαν ὥραν παραχωρεῖ· οὔτε γὰρ ἐσθίει, οὔτε πίνει, οὔτε καθεύδει, ὡς αὐτός που ὁ ἀποστάτης τῷ ἁγίῳ πατρὶ εἴρηκεν, ἀλλ' ἐν τούτῳ ἡ ἄζωος ζωὴ αὐτοῦ καὶ ἡ ὀλέθριος κίνησις, τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. ἀλλ' ἡ ῥομφαία αὐτοῦ εἰσέλθοι εἰς καρδίαν αὐτοῦ, καὶ τὰ τόξα αὐτοῦ συντριβείη. πῶς δέ; ἐὰν τὰ ψαλλόμενα ἐνωτιζώμεθα, ἐὰν ἐν τοῖς προειρημένοις ὅπλοις ἀποτρεπώμεθα αὐτόν. τοῦτον, ὡς αὐτὸς ὁ ἀλάστωρ ἔφη, συντρίβει ἡ ταπεινοφροσύνη· τοῦτον ἀναιρεῖ ἡ ὑπακοή· τοῦτον φυγαδεύει ἡ εὐχή· τοῦτον λιμοκτονεῖ ἡ νηστεία· τοῦτον κατεάγει ἡ φιλαδελφία καὶ πᾶσα ἡ λοιπὴ τῶν θείων ἀρετῶν ἐργασία.

Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ταῖς ἁμαρτίαις ἀξίως τῆς κλήσεως, ᾗ ἐκλήθημεν, περιπατήσωμεν, ἵνα μὴ λάβῃ καθ' ἡμῶν χώραν ὁ τύραννος. ἔχεσθε τῆς ὑπομονῆς ὑμῶν, τὸν πόνον ὑποφέροντες, τὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν, εἴτε δι' ἀροτριάσεως, εἴτε διὰ σκάψεως, εἴτε δι' ἀμφιάσεως, εἴτε διὰ καλλιγραφήσεως, εἴτε διὰ τεκτονεύσεως, εἴτε διὰ ἀρτοποιήσεως, εἴτε δι' ἄλλης τῆς οἱασοῦν πρόκειμένης τέχνης καὶ διακονίας, καὶ πρὸς ταῦτα πολὺς ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς τεταμίευται. ἰδοὺ ὡς δρομεὺς ὁ βίος ἡμῶν διεξέρχεται, ὡς πτῆσις ὀρνέων παρερχόμενος. οὔτε τὰ χρηστὰ διαρκῆ, οὔτε τὰ λυπηρὰ ἐπίμονα. τὴν καλὴν πραγματείαν πραγματευσώμεθα, ἀδελφοί. ἐν μιᾷ καιροῦ ῥοπῇ ὅλους αἰῶνας κληρονομήσωμεν. ῥοπὴ γάρ ἐστιν ἀληθῶς ὁ πᾶς ἡμῶν τῆς ζωῆς βίος πρὸς τὸν μέλλοντα ἄπειρον αἰῶνα, καὶ μακάριοι οἱ εὖ φρονοῦντες, καὶ τρισμακάριοι οἱ κόσμον μισήσαντες, καὶ ὁλομακάριστοι οἱ γονεῖς καὶ συγγενεῖς καὶ φίλους καὶ ἀδελφοὺς καὶ πάντα τὰ ἐν κόσμῳ διὰ κύριον καταλείψαντες. πῶς οὐ μὴ δοξασθήσεσθε ταῦτα πεποιηκότες; αὐτός ἐστιν ὁ λέγων "ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται". δοξάζετε οὖν τὸν θεὸν ἐν τοῖς μέλεσιν ὑμῶν, ὡς ἀληθῶς καὶ μέλη Χριστοῦ ἐστε ἡγιασμένα, καὶ θυσιάζετε ἑαυτοὺς καὶ ὁλοκαρποῦτε διὰ τῆς ὑποταγῆς ἀεννάως.

Μὴ οὖν τις ἐγκοπτέσθω τοῦ καλλίστου δρόμου, μὴ οὖν τις ἀκηδιάτω, μηδ' αὖ ῥαθυμείτω, μηδέ γε καθευδέτω, μηδὲ ῥεγχέτω. πάντες σύνδρομοι, πάντες σύζευκτοι τῇ ἀγάπῃ, πάντες ὁμοθελεῖς, πάντες ὁμοκάρδιοι, θεόδρομοι, εὐκίνητοι, ἀεικίνητοι τῇ εὐσεβείᾳ, εὐχόμενοι καὶ ὑπὲρ τῆς ἡμῶν ἀναξιότητος, ἵνα σὺν ὑμῖν εὕροιμέν πως ποτὲ σῴζεσθαι, εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΘ'.

Περὶ εὐχαριστίας καὶ ὑπομονῆς.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, λύχνον καιόμενον ἔχοντες ἐν ἡμῖν τὸ φίλτρον τοῦ κυρίου καὶ τὸν πόθον τῶν αἰωνίων ἀγαθῶν, ὀφείλομεν ἑκάστοτε ἐπιβάλλειν τὸ τῆς χρήσεως ἔλαιον, ἵνα μήπως ἀποσβεσθεὶς ἐπισκοτάσῃ καὶ ὡς ἐν νυκτὶ ὧδε κἀκεῖσε πλανώμενοι τοῖς πάθεσι κινδυνεύσωμεν. τί οὖν τὸ ἔλαιον καὶ ἡ ὑπόμνησις, ἡ ἀνάμνησις, ἡ ἀναλόγισις, ἡ ἀναγνώρισις τῶν προγεγενημένων, τῶν ἤδη παρισταμένων καὶ μελλόντων; ἀναμνησθῶμεν τοιγαροῦν ἡμέρας ἐκείνας τῆς

1/2 περικεφ. ἐλ. σωτηρίου] Ἐφεσ. ς', 17. 11 πεπυρ.. τὰ βέλη τοῦ πονηροῦ] Ἐφεσ. ς', 16. 18 κῶδ. *εὐθὺς*. 23 κῶδ. *συντρίβη*. 33 κῶδ. *ἀρωτριάσεως*.

11/12 Βασιλ. 1, β', 30.

νεότητος ἡμῶν, ἐν αἷς ἤμεν ὡς ἐν σκότει τῇ ἀγνοίᾳ πορευόμενοι, ἢ ὡς ἐν θαλάσσῃ τοῖς πράγμασι κυμαινόμενοι, ἢ ὡς ἐν πελάγει ταῖς ἡδοναῖς βυθιζόμενοι, καὶ ὅθεν ἡμᾶς ὁ ἀγαθὸς θεὸς ἀνεκαλέσατο καὶ ὁπόθεν ἀνερρύσατο καὶ ἐκ ποίων καὶ ἡλίκων παθῶν ἐξέσπασεν καὶ χεῖρα ὀρέξας ἀνέστησεν, καὶ τρίβον εἰλικρινῆ ὑπέδειξεν, καὶ δραμεῖν ἡμᾶς πρὸς τὸ φωτεινὸν καὶ ἅγιον σχῆμα τοῦτο παρωρμήσατο, πόσων καὶ πηλίκων ἄλλων, συγγενῶν, ἰδίων, ἑταίρων, συνήθων, φίλων, γνωρίμων, ἐναπομεινάντων καὶ μόνων ἡμῶν ὡς ἐξ αἰγυπτιακῆς δουλείας ἐξεληλυθότων καὶ εἰς τὸ ὑψηλὸν τοῦτο τῆς πολιτείας ὄρος ἀναβεβηκότων, καὶ ἐντεῦθεν ἀποσκοπούντων καὶ θεωρούντων ὡς ἐν βαθυτάτῳ τινὶ τόπῳ, πῶς βάλλουσί τε καὶ βάλλονται ὑπ' ἀλλήλων ἄνθρωποι μοχθοῦντες εἰκῇ καὶ μάτην καὶ ἐν τοῖς ἀπολλυμένοις καὶ ἀστάτοις καὶ ῥέουσιν μέγαν τινὰ καὶ ἀνένδοτον ἱδρῶτα ἐπιδεικνύμενοι, καὶ εἴθε μέχρι τούτου, ἀλλὰ μὴ εἰς ἀνταπόδοσιν αἰωνίας κολάσεως!

Ὑπὲρ οὖν τῆς τοιαύτης μόνης ἀπολυτρώσεως πόσην καὶ ἡλίκην ὀφείλομεν τῷ θεῷ χάριν εἰδέναι καὶ ἀνταποδιδόναι αὐτῷ ἀνταπόδοσιν, ὑπὲρ ὧν ἡμῖν ἀνταπέδωκεν; ἡ δὲ ἀνταπόδοσις αὕτη, ἡ ἀποταγὴ ἡμῶν καὶ ἐκ κόσμου ἀποφυγὴ καὶ ἐκ γονέων ἀπαλλαγὴ καὶ ἐξ ἰδίων ἀπαγωγή, καὶ ἡ ἐν ὑποταγῇ μακαρία ζωή. λοιπὸν οὖν ἐγνωκότες τὴν τοῦ θεοῦ δωρεὰν εὐχαριστήρια προσάγωμεν καὶ ὡς ἑορτάζοντες διαβιβαζώμεθα τὰς ἡμέρας τῆς παροικίας ἡμῶν, ὑπὲρ τὸν Ἰσραὴλ μᾶλλον ᾄδοντες καὶ ψάλλοντες, "ἄσωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς ἀπωλείας θάλασσαν". ἐπεὶ δὲ οὕτως λελυτρώμεθα, χρεία ἄρτι καλῶς ἡμᾶς τὴν ἔρημον τοῦ βίου διαβιβάζεσθαι, πειθηνίους τε εἶναι καὶ φιλησκόους, ὑπομονητικούς τε καὶ μακροθύμους, φιλάγνους τε καὶ φιλεντόλους, ἀλλὰ μὴ κατὰ τὸν παλαιὸν λαὸν γογγυστάς τε καὶ ἀνηκόους, φιλοσάρκους τε καὶ φιληδόνους, αὐθάδεις τε καὶ ἀντιλόγους καὶ κατ' αὐτοῦ τοῦ νομοθέτου ἀντάρτας, μιμνησκομένους οἱονεὶ κρεῶν καὶ λεβήτων, κρομμύων τε καὶ σκορόδων αἰγυπτιακῶν, ἅτινά εἰσι τὰ δυνάμει θεοῦ ἀποταγέντα καὶ ἀπαρνηθέντα ἡμῖν.

Μὴ οὖν οὕτως, μηδαμῶς, παρακαλῶ, ἀλλ' ὡς λαὸς τοῦ θεοῦ ἅγιος ἐσώμεθα ἀπαραπίκραντος, εὐήκοος, εὐμετάφορος ὅπου καὶ ἡνίκα καὶ ὅτε καὶ ὅθεν βούλεται, διὰ τῶν συμβαινουσῶν καὶ ἀποδεικνυμένων ἐντολῶν αὐτοῦ ἀγόμενοι καὶ περιπορευόμενοι καὶ φέροντες τὰ τῆς ὁδοῦ λυπηρά, κἂν λεῖψις βρώματος, κἂν σπάνις πόματος, κἂν ἄλλο τι τῶν εἰωθότων. καὶ ἐὰν οὕτως πεποιθότες ὦμεν, ἄγγελος θεοῦ ἡμῶν προπορεύεται καὶ κύριος ὑπὲρ ἡμῶν πολεμήσει τὰ πάθη, ὡς ἀλλόφυλα ἔθνη, καὶ εἰσελευσόμεθα οὐκ εἰς γῆν Ἀμορῥαίων καὶ Χαναναίων καὶ Φερεζαίων καὶ Εὐαίων, ἀλλ' εἰς τὴν γῆν ἐκείνην τῶν πραέων καὶ δικαίων, "εἰς γῆν ῥέουσαν μέλι καὶ γάλα" ἅγιον καὶ ἀθάνατον καὶ ἀκόρεστον, καὶ κατακληρονομήσομεν πάντα τὰ ἐν ἐπαγγελίαις ἀγαθά, συμβασιλεύοντες τῷ δεσπότῃ Χριστῷ. βλέπετε οὖν, ἀδελφοί, τὰ προκείμενα ἡμῖν ἀνταποδοτήρια, σύνετε τὰ ἑτοιμαζόμενα ἡμῖν ἀπολαυστήρια καὶ μὴν καὶ τὰ ἀντικείμενα τοῖς ἀτημελῶς βιοῦσι κολαστήρια καὶ τιμωρητήρια, καὶ τί πέπονθεν ὁ δυσήκοος ἐκεῖνος λαὸς ἐννοούμενοι καὶ εἰς ὅ τι οἱ εὐήκοοι ἀντεπεισέρχονται. καὶ δράμωμεν καὶ διώξωμεν ἐν πολλῇ χαρᾷ, ἐν πολλῇ προθυμίᾳ, ἐν ἀκαταγωνίστῳ ὑπομονῇ ἐπικρατοῦντες τὰς διακονίας ἡμῶν ἱερῶς, ὡς οἱ υἱοὶ τοῦ Καὰθ καὶ τοῦ Μεραρῆ τὰ ἅγια σκεύη ἐκεῖνα, καὶ αἴρωμεν τὴν σκηνὴν τῆς διαθήκης κυρίου, τὸν εὐαγγελικὸν αὐτοῦ νόμον ἀνολιγώρως.

Μηδεὶς οὖν ἀνήκοος, μηδεὶς γογγυστής, μηδεὶς ψιθυριστής, μηδεὶς κατάλαλος, μηδεὶς παῤῥησιαστής, μηδεὶς ψευδολόγος, μηδεὶς γελωτοποιός, μηδεὶς ζηλοπαθής, μηδεὶς φθονο-

---

31 κῶδ. *προσάγομεν*. 32 κῶδ. *ἑωρτάζοντες*. 34/36 Ἐξόδ. ιε', 1. 36 κῶδ. *ἀπολείας*. 41/42 Ἐξόδ. ιε', 24. ις', 3.

3/4 Ἀριθ. ια', 5. 14 κῶδ. *πώματος*. 19 Ἐξόδ. λγ', 2. 20 γῆν πραέων] Ψαλμ. λς', 11. 21/22 Ἐξόδ. λγ', 3. 34 κῶδ. *ὑμῶν*. 35 Ἀριθμ. δ', 1 κέ.

ποιός, μηδεὶς ἀεργός, μηδεὶς συκοφάντης, μηδεὶς ἐν μηδενὶ μωμούμενος τὴν ἁγίαν πολιτείαν, ἀλλὰ πάντες πανσθενεὶ πάντα τὰ ἀρεστὰ τοῦ θεοῦ πράττοντες, ἵνα ἐν τούτοις ἐπιτελέσαντες τὸν καλὸν ἀγῶνα τὸν τῆς δικαιοσύνης στέφανον ἀναδησώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Κ'.

Περὶ τοῦ συμπιέζειν ἑαυτοὺς ἐν τῷ πνευματικῷ ἀγῶνι καὶ τοῦ μὴ ἐγκαλλωπίζεσθαι.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ὡσὰν νεοττοὶ ἐπὶ καλιᾶς ὑπάρχοντες τὴν μητρικὴν τροφὴν πάντοτε ἀπεκδέχονται μεταλήψεσθαι, οὕτως ὑμεῖς τῆς ἐμῆς ταπεινώσεως τοῦ ἀμαθοῦς λόγου καθέζεσθε καὶ νῦν ἐπακροώμενοι. ἀλλ' ὥσπερ ἐκείνῃ δῴη κἀμοὶ κύριος, ὧδε κἀκεῖσε περιαθροῦντι καὶ περιθέοντι εἰς τοὺς πνευματικοὺς τῶν πατέρων λειμῶνας, ἐρανίζεσθαι καὶ οἷον ἀνθολογεῖν καὶ συνοίσειν ὑμῖν τὰ δέοντα καὶ αὐτάρκη, ἵνα τρέφησθε καὶ αὔξητε, ἵνα ζῆτε καὶ κινῆσθε τῷ πνεύματι, μέχρις ἂν ἐκπετάσητέ τινες ὑμῶν, θεοῦ θέλοντος, δι' ἀρετῆς τελείας, εἰς τὸ ἄλλων καθηγεῖσθαι καὶ ἀλλήλους τροφεύεσθαι. εἴη δὲ διὰ μεταβάσεως θανάτου πάντας ἡμᾶς ἐκπετάσαι εἰς τὰ οὐράνια καὶ ὑπερουράνια, ἐκεῖσε "ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός". οὕτω γὰρ ἐλπίζω ὁ ἀνάξιος καὶ οὕτω πιστεύω ἀραρότως καὶ ἀνενδοιάστως, ὅτι ἐκεῖ ἀπελεύσεσθε, ἐκεῖ εὑρεθήσεσθε, ἔνθα "πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία", ἔνθα χορὸς ἀγαλλιωμένων καὶ ἦχος ἑορταζόντων, ἀπολαύοντες τὰ ἐπηγγελμένα πᾶσι τοῖς ἁγίοις, τοῖς ἀπ' αἰῶνος Χριστῷ εὐαρεστήσασι, διὰ τὴν καλὴν ὑμῶν εὐδρομίαν, διὰ τὴν ἐπαινουμένην καὶ μακαρίαν ὑμῶν πολιτείαν, διὰ τὴν ἀπὸ τοῦ κόσμου ἀποφυγήν, διὰ τὴν ἀπὸ τῶν γονέων τῶν σαρκικῶν ἀπαλλαγήν, διὰ τὴν ἐκ τῶν θελημάτων ἀποκοπήν, διὰ τὴν καθ' ἡμέραν ἀθλητικὴν ἔνστασιν καὶ ὑπομονὴν τῆς μαρτυρικῆς ὑποταγῆς ὑμῶν, ὅτι ἐν αὐτῇ ὡς ἀληθῶς ὁμολογεῖτε τὸν κύριον καὶ ἀπαρνεῖσθε τὸν ἀρχιτύραννον διάβολον, ἀποδύεσθε πρὸς τὰ σκάμματα, καὶ τεμνόμενοι καὶ καταξεόμενοι ταῖς ἐπιφοραῖς τῶν νοητῶς καὶ αἰσθητῶς προσπιπτόντων ὑμῖν ἀπό τε σαρκικῶν ἐπιθυμιῶν, ἀπό τε δαιμονικῶν ἐπιβουλῶν, ἀπό τε ἀδελφικῶν συγκρουμάτων, ὕβρεων, ἐσθ' ὅτε καὶ ὀνειδισμῶν οἰκονομικῶν, ἐπιστημοναρχικῶν, ἐγκρατείας τέ φημι καὶ ἀγρυπνίας, ψαλμῳδίας καὶ φιλεργίας καὶ ἑκάστης ἄλλης ἐπιθεωρουμένης διακονίας, καθὼς πολυτρόπως συμπιαζόμενοι καὶ συνστρεβλούμενοι καὶ συνθλιβόμενοι καὶ συντριβόμενοι, καὶ οὐδαμόθεν ἐν μηδενὶ ἔξαρνοι γίνεσθε τῶν ὁμολογιῶν καὶ ἐν κυρίῳ συνθηκῶν, οὐδὲ κάμπτετε γόνυ τῇ Βάαλ, ἀλλ' εὐθαρσῶς καὶ ἀνδρείως διεξέρχεσθε τὴν ὁμολογίαν τῆς σωτηρίας ὑμῶν, καταισχύνοντες τοὺς ἐναντίους καὶ ἀνατρέποντες τοὺς ἀντιπαρατασσομένους ὑμῖν δαιμονικοὺς πολέμους. ἀγὼν οὖν ὑμῖν ἐστιν ἐν τούτῳ μέγας, τέκνα μου, καὶ ἀγώνων ὁ ἱερώτατος, καὶ ἐκεῖνα συμφθέγγεσθε μετὰ τοῦ ἀποστόλου λέγοντες · "τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς", δαυϊτικῶς συνεπᾴδοντες. ἀλλὰ μακάριοί ἐστε καὶ τρισμακάριοι, εἴπερ τὸν τηλικοῦτον ἀγῶνα ὑμῶν ἕως τέλους ἀποπληρώσητε, ἄμωμον καὶ ἀνόθευτον τῷ θεῷ παριστάνοντες, ἐπειδὴ καθ' ἡμέραν ἡ ἄθλησις παρίσταται καὶ τοῖς μαρτυρικοῖς στεφάνοις καταστέφεσθε. καὶ τοῦτο μὲν ἐπὶ τοῖς προλαβοῦσι, τοῦτο δὲ καὶ ἐπὶ τοῖς ἤδη παροῦσι καὶ μέλλουσι.

Τὰ δὲ παρόντα οἷα; ἵνα κἀνταῦθα μαρτυρήσω ὑμᾶς ἀξίως, ὅτι ἀπὸ μιᾶς ὑπομνήσεως ταπεινῆς ἡμῶν εἴκετε καὶ συνήλθετε

---

5 καλὸν ἀγῶνα] Τιμοθ. 1, ς', 12. 2, δ', 7. 6 δικ. στέφανον] Τιμοθ. 2, δ', 8 || κῶδ *ἀναδυσώμεθα*. 31 Ἡσαΐου λε', 10. 33/34 κῶδ. *ἀνενδυάστως*. 35 Ψαλμ. πς', 7. 37 ἦχος ἑορταζόντων] Ψαλμ. μα', 5.

10 κῶδ. *σαρκηκῶν*. 28/33 Ῥωμ. η', 35, 36. Ψαλμ. μδ', 22.

καὶ ἀπεδέξασθε καὶ ἀπεκόψατε τὰ διὰ χαλκοῦ εἰς χρῆσιν ὑμῖν ὑπάρχοντα, ταῦτα δὴ λέγω τὰ γραφεῖα, τὰ καλαμάρια, τὰς δακτυλήθρας, τὰ καλλιγραφικὰ διλάβια, τὰ ἐν ταῖς μαχαίραις ψέλλια, τὰ ἐν τοῖς κλειδίοις κρικέλλια, τὰ ἐν ταῖς μηλωταῖς, τὰ σακκορράφια, τὰ τῶν κανδηλῶν κρεμαστήρια, πλὴν τῆς ἐκκλησίας καὶ τὰ λοιπά, ὧν καὶ ἄνευ δυνατὸν ἕκαστον καὶ ἑκάστην διακονίαν τὰ κατὰ χρείαν ἀποπληροῦν· πρὸς τούτοις καὶ τὰ ἐλεφάντινα καὶ ὀστέινα κομβία ἀπό τε τῶν μανδύων καὶ τῶν λώρων, καὶ τὰς ἀπὸ τῶν μαχαιρῶν κεφαλίδας, ἔτι καὶ τὰς ζώνας τὰς μεταξορράφους καὶ πολυγραμμίστους, μεθ' ὧν καὶ τὰς πινακίδας τὰς πυξιδίους καὶ ἀναγλύφους. ἐν τούτοις γὰρ καὶ ἡμεῖς οἱ ταπεινοὶ ὀφειλόντως ἐπεσκεψάμεθα καὶ ὑμεῖς εὐηκόως ὑπεδέξασθε, καὶ εἰ καί τινες ἐλυπήθητε, οὐ θαυμαστόν, ἀλλ' ὅτι θᾶττον ἀπεκόψατε καὶ ἀπερρίψατε ἐπαινετὸν καὶ κἀν τούτῳ μαρτυρίου στέφανον ἐλάβετε.

Ἵνα τί δέ, τέκνα μου, ἐν τούτοις ἐνεκρατούμεθα, ἐν οἷς οὐδὲν τὸ ὄφελος, οὐκ ὀλίγη δὲ ἡ βλάβη καὶ ἡ ζημία τῆς ψυχῆς; εἰ γάρ, κατὰ τὸν θεῖον καὶ μακάριον Βασίλειον, "πᾶν ὃ μὴ κατὰ χρείαν ἀλλὰ καλλωπισμοῦ ἕνεκεν λαμβανόμενον περπερείας ἀπόδειξιν ἔχει, ἡ δὲ περπερεία μέρος κακίας", καὶ ὡς πάλιν αὐτὸς ἀλλαχοῦ, "ὅτι δεῖ τὸν ἀληθῆ χριστιανὸν καθαρεύειν παντὸς καλλωπισμοῦ", πῶς ἡμεῖς τοῦ κρίματος ἐκφευξόμεθα, ταῦτα καλλωπιστικῶς παραλαμβάνοντες; εἰ γὰρ καί τις εἴποι, "οὐ καλλωπισμοῦ χάριν, ἀλλ' οὕτως ἁπλότητι ἔχω, ὅπερ ἔχω", καὶ συνείδησίς ἐστιν ἡ κρινομένη λογίζεσθαι τὴν ὕλην οὕτως ἢ οὕτως, λέληθεν ἑαυτὸν φρεναπατῶν καὶ λόγους συνηγόρους τοῖς πάθεσιν αὐτοῦ ἐξευρίσκων· ἄλλος γάρ ἐστιν ὁ ἐπὶ κοπρίας καὶ ἄλλος ὁ ἐπὶ θρόνου, κατὰ τὸ γεγραμμένον, καθήμενος, καὶ ἄλλως ὁ ὀφθαλμὸς τέρπεται ἐπὶ τῇ τιμιωτέρᾳ καὶ ἀτιμωτέρᾳ ὕλῃ. εἰ δὲ καὶ φαίη τις ἐφθακέναι εἰς μέτρον τελειότητος τὸν χρυσὸν ὡς μόλυβδον καθορᾶν, ἐν ᾧπερ ἐλέγχεται ὑπὸ τοῦ ἁγίου ἐκείνου γέροντος ὁ ἐγκαυχησάμενος, ὅτι βίᾳ λογισμοῦ τοῦτό τις κατορθοῖ—δέδεται γὰρ μόνον τὰ πάθη, φησίν—, πῶς ἄρα καὶ τὸ σκανδαλίζειν ἑτέρους ἀποδράσει, οὗτινος τὸ κρῖμα βαρὺ καὶ ἀπαραίτητον; εἰ μὲν γάρ εἰσιν ὁμοταγεῖς, πάντως καὶ ὁμοζηλοῦσι καὶ ἀντιμιμοῦνται τὰ ἴσα πράσσειν· εὐζήλωτον γάρ τι πρᾶγμα ἡ κακία, καὶ χρεία πρὸς τοῦτο ἐπιζητεῖν τὸν ἄσπρον καὶ χρυσίζοντα χαλκόν, τήν τε γραμμοειδῆ καὶ τεχνικὴν ἐπεξεργασίαν, τήν τε στρογγυλοειδῆ καὶ βαφικὴν τῶν κομβίων ἀποτόρνευσιν, ὡσαύτως καὶ τὴν πυξινορράφικὴν καὶ ἑτεροβαφῆ καὶ πολυγραμμῆ τῶν λωρίων ποίησιν. εἰ δὲ κοσμικοὶ εἶεν, πόσος ὁ γέλως καὶ τὸ πρόσκομμα; τί γὰρ καὶ ὁρῶντες εἴπωσιν; "ἀλλ' οὐχ ὅτι καὶ οὗτοι ἐν τοῖς ὁμοίοις ἡμῶν πάθεσι κατακυλίονται" καὶ τὸν κατ' αὐτοὺς καλλωπισμὸν αἱρούμενοι, καὶ ἐν τούτοις ὡραΐζονται οἱ ἀφαρόκαυκοι καὶ ψευδομόναχοι λέγοντες· "βαβαὶ οἱ θηλυμανεῖς καὶ χρεμετίζοντες ἐπὶ τὰς ὁμοταγεῖς αὐτῶν"! καί γε ἀξίως τοῦτο καὶ ἀκούομεν καὶ ἀκουσόμεθα. αὐτοὶ δὲ ὑμεῖς, ἐρωτῶ, ὥσπερ κἀγὼ ἐμαυτῷ συνεπίσταμαι, οὐχὶ ἑνορῶντες ὡς, ὅτε ἐν κόσμῳ ἦμεν, τὰ αὐτὰ συναπεφθεγγόμεθα; ναί, τὸ κατ' ἐμὲ ἐξαγορεύω, ὅτι, ὁπόταν εἶδον μονάζοντα καλοφόρητον, ἐγναμμένα περιβεβλημένον, κορόβαφα, ἀποστίλβοντα, λεπτότατα καὶ ψιλοέργαστα, καλίκιά τε φοροῦντα ἢ ὑποδήματα ἐστιλβωμένα καὶ συνηρμοσμένα τῷ ποδὶ κατὰ λόγον, ἀποκρεμώμενον ἔχοντα περὶ τὴν ζώνην παγκαλῆ χαλκόψελλον χαλκοκέφαλον μάχαιραν, ἔστι δ' ὅτε καὶ ἀργυρόμικτον (ἐπεὶ καὶ χαλκοκλείδιον καὶ ὀδοντογλύφιον καὶ τὰ τούτοις ἑπόμενα, μάλιστα καὶ ἐποχούμενον ἵππῳ ἢ ἡμιόνῳ εὐσάρκῳ καὶ εὐβαδίστῳ καὶ πολυτίμῳ, καὶ ταῦτα μετὰ σέλλης ἡλίκης καὶ χαλινοῦ χαλκενδέτου), μέγα βλαβεὶς ἐμίσουν καὶ τὴν ἰδέαν αὐτοῦ. ἐκεῖνον δὲ ἐφίλουν ὁρᾶν, τὸν τὰ ἀπέριττα φοροῦντα καὶ ἀγράμμιστα, τὸν

3/4 κῶδ. *δακτυλίθρας*. 27/28 κῶδ. *περπερίας, περπερία*. 31 κῶδ. *ἐκφευξώμεθα*.

26 ὅτε] κῶδ ὅτι. 30 κορόβαφα] οὕτως ἐν τῷ κώδικι· πρβλ. σελ. 17, 22.

πεζοποροῦντα, τὸν ἀκαλλωπιστοπρόσωπον καὶ ἀπερικλυστόχειρον καὶ ἐκ τῶν τοιούτων ἀποπνέοντα, ἀλλ' οὐχὶ ἄλλως εὐωδιάζοντα· κἀν τούτῳ φωτιζόμενος ἐδόξαζον τὸν θεὸν καὶ ἐλογιζόμην τὸ σχῆμα ἅγιον καὶ ἀλλότριον τῆς κενῆς δόξης τοῦ κόσμου καὶ πρὸς τὰ ὅμοια ἐπόθουν ἐπιλέγεσθαι.

Ταῦτα οὐκ ἔγωγε μόνος ὁ τάλας, ἀλλ', ὡς οἶμαι, καὶ πᾶς τις ἐπισκήπτων, εἰ ἀληθὲς τὸ κριτήριον ἔχει τῆς συνειδήσεως, οὕτως εὑρήσει. πῶς δὲ καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπαγορεύσαντος μετὰ τῶν ἄλλων ἡμῶν μηδὲ τὴν τοῦ χαλκοῦ ἐν τῇ ζώνῃ κτήσασθαι, ἡμεῖς ὡς ἐπιλαθόμενοι τῆς ἐντολῆς τοῦτο πράσσομεν; κἂν γὰρ τοῦ χαλκοῦ τὸ εἶδος ἐν τῇ ζώνῃ οὐ πάρεστιν, ἀλλὰ περὶ τὴν ζώνην, ἢ ἐν τῷ μαχαιρίῳ, ἢ ἐν τῷ κλειδίῳ. καὶ ὁ αὐτὸς ἀποδέδεικται λόγος, κἂν βραχύ τι, ὅτι ὅλως οὐ καθαρεύομεν τὴν θεοπαράδοτον ἐντολὴν φυλάσσειν. δυνατοῦ τοίνυν ὄντος ἡμῖν τὴν χρείαν ποιῆσαι καὶ ἐν μαχαιρίῳ τοῦ σιδηροψελίου ὄντος, καὶ ἐν κλειδίῳ ὡσαύτως, καὶ ἐν γραφείῳ ὁμοίως, καὶ ἐν τοῖς ἑτέροις ὀργάνοις, πλὴν τῶν κατὰ ἀνάγκην, ὥσπερ πάλιν καὶ ἐν τοῖς κομβίοις τὸ ἀπὸ ξύλου, καὶ ἐν τοῖς πινακιδίοις τὸ ἄνευ πυξίδος καὶ γλυφίδος, καὶ ἐν τοῖς λωρίοις τὸ ἄνευ μετάξης καὶ γραμμίδος, ὡσαύτως καὶ ἐν τοῖς λοιποῖς ὁμοιοτρόπως, τί ματαιοπονοῦμεν καὶ πρὸς ὡραϊσμὸν καὶ καλλωπισμὸν λίχνων ὀφθαλμῶν τὰ τοιαῦτα ἀνθαιρούμεθα, ἔξω βαίνοντες τοῦ καλοῦ καὶ τοῦ ἀπερίττου, προσθήσω δ' ὅτι καὶ τῆς ἐντολῆς;

Ἀλλ' εὐλογητὸς ὁ θεὸς τοῦ πατρός μου, ὁ ἀγαθύνας ὑμῶν τὰς ψυχὰς συλλογίσασθαι τὸ ἀγαθὸν καὶ ἀπορρίψασθαι τὰ βλαβερά, καὶ μὴ ὅτι μικρὰ καὶ εὐτελῆ ἐστι ταῦτά τις ἀντηγορείτω καὶ ὅτι "ὤφελον τὰ μέγιστα κατορθοῦν". ἀμαθῶς καὶ ἀφρόνως ὁ τοιοῦτος φθέγγεται. ἀδελφὲ γάρ μου ἀγαπητέ, εἰ μὴ τὸ μικρὸν φορτίον δυνηθείης ἆραι καὶ εἰ μὴ τὴν πρώτην βαθμίδα ἰσχύσῃς ἐπιβῆναι, πῶς δυνηθείης τὰ βαρύτερα ἀναβαστάξαι καὶ εἰς τὴν δευτέραν στάσιν τῆς κλίμακος ἀναπηδῆσαι; ἀπάτη διαβόλου τοῦτο ἐπὶ πάσης ἐντολῆς θεοῦ. τί λέγει ὁ ἅγιος Δωρόθεος; ὅτι, φησίν, ἐκ τοῦ λέγειν "τί γάρ ἐστι τοῦτο καὶ τί ἐστιν ἐκεῖνο" λαμβάνει τις κακὴν καὶ μικρὰν νομήν, καὶ ἄρχεται καὶ τὰ μεγάλα καὶ βαρύτερα καταφρονεῖν καὶ καταπατεῖν τὴν συνείδησιν. οὕτως τοιγαροῦν ἐστι καὶ ἄνω κατὰ μικρὸν εἰς ἀρετὴν ἀνιέναι καὶ κάτω εἰς τὴν ἁμαρτίαν κατιέναι διὰ τῆς τῶν μικρῶν ἐπαναλήψεως, εἰ βούλει δὲ καὶ ὡς ἐπὶ τῶν γραμμάτων πρῶτον μαθεῖν σε δεῖ τὰ στοιχεῖα καὶ ὡς ἐπὶ δρόμου πρῶτον βηματίσαι καὶ ὡς ἐπὶ παντὸς ἄλλου κατὰ τὸν ὅμοιον τρόπον ἀπάρξασθαι. ὑμεῖς οὖν χάριτι Χριστοῦ, τέκνα μου, καὶ ἀπήρξασθε καὶ ἐδράμετε, ἀλλὰ καὶ τρέχετε, ἀλλὰ καὶ ἔτι δράμοιτε δυνάμει θεοῦ καὶ σταματίσοιτε, ὃ συμβαίνει διὰ θανάτου, ἵνα καὶ τὰ ἔπαθλα τῆς νίκης κομίσησθε παρὰ τοῦ ἀγωνοθέτου δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΑ'.

Περὶ τοῦ νήφειν καὶ πράττειν τὰ ἀξιάγαστα τῆς μακαρίας ὑποταγῆς καὶ [περὶ] τοῦ προσέχειν ἑαυτοῖς.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, πάλιν ἀρχόμεθα διὰ χρόνου εἰς τὴν κατὰ συνήθειαν κατήχησιν ἔρχεσθαι, ἤκοντες ἀπὸ τῆς ἀποδημίας. καὶ οὗτός μοι πρῶτος ὁ λόγος, ὅτι εἴτε ἀποδημοῦμεν, εἴτε ἐνδημοῦμεν, εὐχὴ ἡμῖν ἐστιν ἀεί, εἰ καὶ ῥυπαρά, περιφυλάττεσθαι πάντας ὑμᾶς σώους καὶ εἰλικρινεῖς καὶ ἀπροσκόπους ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ ἐναρέτῳ πολιτείᾳ ὑμῶν, καὶ μηδένα ὑπὸ τῆς τοῦ διαβόλου ἐπηρείας ὑποσκελίζεσθαι, ἀλλὰ νήφειν καὶ ἐγρηγορέναι ἕκαστον εἰς τὸ πράττειν τὰ δέοντα καὶ ἀξιάγαστα τῆς μακαριστῆς ὑποταγῆς. τούτου γὰρ σῳζομέ-

13 Ματθ. ι', 9. Μάρκ. ς', 8. 15 κῶδ. *πράσσωμεν*. 22 κῶδ. *σιδηροψελλίου*. 27 κῶδ. *πινακηδίοις*. 28 μετάξης] κῶδ. *μετάξεως* ἐξ ἀνυπάρκτου τύπου *μέταξις*.

νου, οὐδεμία μοι περὶ τῶν ἄλλων λύπη, εἰ καὶ λυπεῖν εἴωθεν, λέγω δὴ ἐν τῇ στενοχωρίᾳ τῆς σωματικῆς ζωῆς ἡμῶν, ὡς ἤδη κατὰ τὸ παρὸν συνεισήνεκται. ἀλλὰ καὶ τὴν στενοχωρίαν εὐρυχωρίαν λογίζομαι, καὶ τὴν πενίαν πλοῦτον, καὶ τὴν ἀπορίαν εὐπορίαν, καὶ τὴν στένωσιν πλατυσμόν, καὶ τὰ ἄλλα ὡσαύτως, ἔχων τὴν ἐλπίδα χειραγωγοῦσάν με, πεπιστευκώς, ὅτι "οὐ λιμοκτονήσει κύριος ψυχὰς δικαίων", καὶ ὅτι "οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ", οἵοί ἐστε ὑμεῖς, χάριτι Χριστοῦ τῇ ἄνωθεν προνοίᾳ διατρεφόμενοι καὶ θαλπόμενοι, οὐ μόνον τῇ κατὰ ψυχὴν θεωρίᾳ, ἀλλὰ καὶ τῇ κατὰ σῶμα ὑπηρεσίᾳ. τίς γὰρ τοσοῦτον πλῆθος, τὸ πλεῖστον μέρος ἐκ πτωχείας συνιστῶν καὶ οὐκ ἔχων ἀνθρωπίνην συνεισφοράν, δύναιτ' ἂν ἐκθρέψαι καὶ τὰ δέοντα καὶ αὐτάρκη συμπορίσαι, εἰ μὴ θεοῦ δάκτυλός ἐστιν ὁ κάμνων; ἐπάρατε τοίνυν τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε, ὅτι καὶ γέροντες καὶ ἀσθενεῖς καὶ κατακείμενοι καὶ παῖδες καὶ νήπια, οὐ μὴν ἀλλὰ καὶ ἀστικοὶ πολλοί, ἐξότε εἰσήλθομεν ἐν ταύτῃ τῇ βασιλίδι πόλει, καὶ τούτοις πᾶσι τὰ πρὸς χρείαν ἐπαρκεῖ κύριος. καὶ οὐκ ἔστιν ἀξιοθαύμαστον; καὶ οὐκ ἔστιν ἀξιομακάριστον; ναί, λέγω ὑμῖν, τέκνα καὶ ἀδελφοί μου, ἀλλ' ἐὰν καὶ ἡμεῖς ἐν ταπεινοφροσύνῃ πολλῇ μὴ ἀναπεπτωκότες ὦμεν, ἀλλὰ καὶ τὰ παρ' ἑαυτῶν εἰσάγοντες καὶ μοχθοῦντες ὑπὲρ τῆς εἰς τοὺς ἀδελφοὺς ὀφειλομένης χρείας. τότε γὰρ καὶ θεὸς ἐπικλίνεται, ὁπόταν ὁρᾷ τὰς ἐντολὰς αὐτοῦ ἐνεργουμένας ὑπὸ τοιούτου πλήθους, ἐξ ἀφανῶν τρόπων πόρους αὐταρκείας ἀπεκφαίνων. διὰ τοῦτο παρακαλῶν παρακαλῶ καὶ ὑπομνήσκων ὑπομνήσκω· ἕκαστος, ἐν ᾗ ἐκλήθη διακονίᾳ, σπουδαζέτω πολυκάματος καὶ πολύκαρπος εἶναι, καὶ νοητῶς καὶ αἰσθητῶς, ἐπεὶ καὶ θάτερος ὑπὸ θατέρου διαγινώσκεται, καὶ ὁ κατὰ τὸ σῶμα σπουδαῖος, δῆλον ὅτι καὶ κατὰ ψυχὴν ὑπάρχει, ὥσπερ καὶ ἄκαρπος κατὰ ψυχὴν ὁ ἀμελὴς περὶ τὴν ἔξω θεωρίαν.

Δεύτερος δὲ ἐκεῖνός μοι λόγος, ὅτι κοινά εἰσι τὰ πάντα, καὶ οὐ μόνον τὰ σαρκικὰ καὶ αἰσθητά, ἀλλὰ καὶ τὰ πνευματικὰ καὶ νοητά, αἱ ἀρεταὶ καὶ εὐπραξίαι. ἀλλήλοις κοινωνοῦμεν καὶ εἰς ἀλλήλους περιχωροῦμεν, ὡσὰν ἐπὶ τῆς τοῦ σώματος ὑποδείξεως, καθὼς ὁ ἀπόστολος λέγει, ὅτι "τὸ σῶμα ἕν ἐστι καὶ μέλη ἔχει πολλά· πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα ἕν ἐστι σῶμα, καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη"· καὶ ὡς ἀπὸ κεφαλῆς μέχρι ποδῶν ἤρτηται ἡ ἐφ' ἑκάστῳ μέλει ἐνεργουμένη χρεία, καὶ δεξιὰ καὶ ἀριστερά, οὕτω καὶ ψυχικῶς ἡμᾶς ἐστι θεωρεῖν. ὁ πατήρ μου καὶ πατὴρ ὑμῶν τὸ πρῶτον, ἐγὼ δεύτερον, εἶτα ὁ καθεξῆς μέχρι καὶ τοῦ ἐσχάτου ἕξει καὶ τὸν ἔπαινον καὶ τὸν ψόγον ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως. ἀλλὰ μὴ δοκεῖτε με εὐφραίνεσθαι τὸ πλεῖον ἔχοντα ὡς πρῶτον τῶν καλῶν· δεδιῶ γὰρ καὶ τρέμω, ὅτι, ὥσπερ ἐπὶ τοῦ ἀγαθοῦ, οὕτω καὶ ἐπὶ τοῦ κακοῦ ἀντείσαξίς ἐστι καὶ τὸ πολλοστὸν τῆς ἐνεργουμένης κακίας. ἐγὼ ὁ ταλαίπωρος ἀποκληροῦμαι κατὰ τὴν ἀναλογίαν τοῦ τὸ ὀλιγοστὸν ἐσχάτου ἔχοντος. ταῦτα οὖν γινώσκοντες, τέκνα μου, πάντες δράμωμεν, πάντες ἀγωνισώμεθα, πάντες συνεισενέγκωμεν, καὶ μηδεὶς ἐπὶ ζημίᾳ μηδὲ ἐπὶ ἐλαττώσει εἴη τοῦ κοινωνικοῦ ἔργου, κατὰ τὴν ἀνήκουσαν αὐτῷ διακονίαν καὶ δύναμιν.

Ἀλλὰ καὶ τοῦτο ἴστε γινώσκοντες, ὅτι οὐχ ὥσπερ ἡμεῖς τὴν στάσιν τῶν βαθμῶν ὁρίζομεν, καὶ θεὸς τάχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἄλλο γάρ φησι τὸ κρῖμα τοῦ θεοῦ καὶ ἄλλο τὸ τῶν ἀνθρώπων· προάξει γὰρ τυχὸν τὸν τριακοσιοστὸν τρίτον ἢ τέταρτον, καὶ τὸν δέκατον καταβιβάσει εἰς τὸ μεσαίτατον, καὶ τὸν ἔσχατον ἀναβιβάσει εἰς τὸ πρώτιστον, κατὰ τὴν ἑκάστου ἐπιμέλειαν καὶ ἀρετήν. καὶ εἰ καὶ φοβερὸν εἰπεῖν, ἀλλ' ἐξώ-

9/10 Παροιμ. ι', 3. 10/11 Ψαλμ. λς', 28. 28 κῶδ. *ταπεινωφροσύνη*.

7/12 Κορινθ. 1, ιβ', 12-27. 10 κῶδ. *πάσχη*. 11 κῶδ. *δοξάζηται*. 14 κῶδ. *μέλη*. 24 κῶδ. *πολοστὸν*. 26 κῶδ. *ὀλιγωστὸν*.

σει ἴσως καὶ ἐκ τοῦ συστήματος παντάπασιν, καὶ εἰς κόλασιν παραπέμψει τὸν κάνταῦθα ἑτερόψυχον καὶ ἀλλόφρονα καὶ γνωμικῶς διασχιζόμενον, ὥσπερ κἀμὲ τὸν ἁμαρτωλὸν διὰ τὰ πονηρά μου ἐπιτηδεύματα καὶ τὴν ἀμέλειαν. τί γὰρ ὑμῖν δοκεῖ; ὅτι μὴ διακενῆς ὁ ἀποδημῶν ἀποδημεῖ καὶ ὁ πραγματευόμενος πραγματεύεται, καὶ ὁ ἀροτριῶν ἀροτριᾷ, καὶ ὁ ὁδοιπορῶν ὁδοιπορεῖ, καὶ ὁ ἁλιεύων ἁλιεύει, καὶ ὁ σκάπτων σκάπτει, καὶ ὁ ἀρτοποιῶν ἀρτοποιεῖ, καὶ ὁ κελλαρεύων κελλαρεύει; καὶ παρίειμι τὰ ἄλλα, διὰ τὸ μῆκος τοῦ λόγου. μὴ οὗτοι πάντες ἐλλιμπανόμενοι καθίσματος καὶ ἡσυχίας καὶ στιχολογήσεως καὶ ψαλμῳδίας οὐ διαμερίσονται ἐξίσου τοῖς οἴκοι καθημένοις; πάνυ γε, ὥσπερ ἔστιν ἰδεῖν ἐπὶ τῶν κατὰ τὸν πόλεμον σκύλων καὶ λαφύρων. καὶ γὰρ καὶ ἐκεῖ ἴσα τῶν ἔξω πολεμούντων καὶ οἱ ἐναπομείναντες ἐν τῇ παραφυλακῇ διανέμονται. καὶ ἐπὶ μὲν τῶν ἀνθρώπων ἔστι λαθεῖν καὶ κλέψαι τὸ δίκαιον, ἐπὶ δὲ τοῦ θεοῦ τοῦ ἀδεκάστου οὐδαμῶς. ἀλλ' ᾧ μέτρῳ μετροῦμεν, ἀντιμετρηθήσεται ἡμῖν, ὡς γέγραπται.

Διὰ τοῦτο, ἀδελφοί μου, προσέχωμεν τοῖς λαληθεῖσι καὶ μὴ ζημιῶμεν οἱ ἔσω τοὺς ἔξω καὶ οἱ ἔξω τοὺς ἔνδον, οἷον οἱ ψάλλοντες καὶ προσευχόμενοι τοὺς διακονοῦντας, οἱ ἀσθενοῦντες τοὺς ὑγιαίνοντας (ἀλλ' ἴσως εἴποι τις ἐνταῦθα, ὅτι "καὶ τί δύναιτ' ἂν ὁ νοσῶν ἐργάσασθαι"; καὶ μάλα τὴν εὐχαριστίαν, τὴν ἀγογγυσίαν, τὴν ὑπομονὴν τῶν ἀλγηδόνων), ἔπειτα οἱ καλλιγραφοῦντες τοὺς σκάπτοντας, οἱ ἀροτριῶντες, οἱ ἀμπελουργοῦντες τοὺς διακονοῦντας καὶ ὁδοιποροῦντας, οἱ κελλαρεύοντες καὶ ἀριστοποιοῦντες τοὺς μαγκιπεύοντας καὶ ὀψοποιοῦντας, οἱ ἐπιτηροῦντες καὶ ἐπιστημοναρχοῦντες τοὺς ἁλιεύοντας καὶ τεκτονεύοντας, καὶ ἁπλῶς κατὰ ἀντίφρασιν ἕκαστος ἕκαστον, ὅτι ὁ θεὸς ἐπιβλέπει τὰς ὁδοὺς ἡμῶν καὶ ἐπὶ τὸ βιβλίον αὐτοῦ πάντες ἡμῶν οἱ λόγοι καὶ γράφονται καὶ γραφήσονται, καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ αἱ βίβλοι τῶν πράξεων ἡμῶν ἀνοιγήσονται καὶ τὰ ἑκάστου ἔργα ἐμφανισθήσονται, καὶ "ἀπολήψεται ἕκαστος κατὰ τὸν κόπον αὐτοῦ". εὔχομαι τοιγαροῦν πάντας ὑμᾶς τότε καὶ ἐπαινεθήσεσθαι καὶ στεφανωθῆναι διὰ τῶν ἐνταῦθα ἱερῶν ὑμῶν ἀγώνων καὶ σπουδασμάτων, ὦ τέκνα καὶ ἀδελφοὶ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΒ'.

"Οτι πάνυ ὠφελούμεθα καὶ προκόπτομεν ἐπὶ τὰ πρόσω κατηχούμενοί τε καὶ διδασκόμενοι.

Ἀδελφοί μου καὶ πατέρες, ὡς ἕκαστος ὑμῶν ἐπέχει διακονίας ἐν ταύτῃ τῇ ἁγίᾳ συνοδίᾳ, κἀγὼ ὁ τάλας λαχὼν ἀναξίως τοῦ ἄρχειν καὶ λέγειν οὐκ ὀφείλω ἀμελεῖν τῆς διακονίας μου, ἀλλ' ἀεὶ μετὰ τῶν ἄλλων καὶ τὴν ἑβδομαρήσιον κατήχησιν ποιεῖσθαι, ὅπως ἂν ἔχω δυνάμεως. ἴσως τέ τινες φήσειεν, ὅτι "τί γὰρ καὶ κερδαίνομεν ἐκ ταύτης, ἐφ' ὅσον εἰς ἔργον τὰ λαλούμενα οὐ προάγομεν; πολλάκις γὰρ ἀκούοντες περὶ τοῦ μὴ δεῖν γελᾶν, οὔπω τοῦτο κεκατωρθώκαμεν, καὶ πλειστάκις διδασκόμενοι περὶ τοῦ μὴ δεῖν ἀργολογεῖν ἔτι ἀργολογοῦμεν, καὶ πολλάκις νουθετούμενοι περὶ τοῦ μὴ δεῖν φθονεῖν ἢ βασκαίνειν τὸν πλησίον ἔτι ὑπὸ τοῦ πάθους διοχλούμεθα, καὶ ἁπλῶς ὑπομνησκόμενοι περὶ τοῦ μὴ δεῖν ἀμελῶς διακεῖσθαι ἔν τε ταῖς νυκτεριναῖς καὶ ἡμεριναῖς ψαλμῳδίαις καὶ προσευχαῖς ἔτι ἀπομετεωριζόμεθα καὶ ἀπονυστάζομεν, καὶ αἰσθητῶς καὶ νοητῶς, καὶ τὰ τούτοις ὅμοια ἐπιφθεγγόμενοι". ἀλλ' οὐκ εἰκότως ταῦτα οἱ λέγοντες λέγουσι, πρῶτον μὲν ὅτι οὐ ῥᾴδιον τὸ ἀνώτερον τῶν παθῶν γενέσθαι, ἀλλὰ καὶ τῶν πασῶν κόπων καὶ σπουδῶν κοπωδέστερον καὶ σπουδαιότερον· δεύτερον, ὅτι, ὥσπερ ἐπί τινος κλίμακος

23 κῶδ. *ἀδικάστου*. 23/24 Ματθ. ζ', 2. Λουκᾶ ς', 38. 26 κῶδ. *ζημιοῦμεν*. 30 κῶδ. *εἴπει*. 41 ἐπιβλέπει τὰς ὁδοὺς ἡμῶν] Σειρὰχ κγ', 19.

4 Κορινθ. 1, γ', 8. 14 κῶδ *ὀφελούμεθα*. 40 πασῶν] οὕτως ἐν τῷ κώδικι.

οὐκ ἔστιν εὐθύς τινα ἐπιβάντα ἀπὸ τῆς πρώτης βαθμίδος ἐπὶ τὴν ὑστάτην ἀναπηδᾶν, τῇ δὲ καθ' ἑξῆς ἀνόδῳ ἐπὶ τὸ ἄκρον ἀνέρχεσθαι, οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς ταῖς κατὰ μικρὸν αὐξήσεσι φθάνομεν, εἰ θέλοιμεν τῆς κορυφῆς ἐπιλαβέσθαι. ὥστε συμφέρουσα καὶ ἡ κατηχητικὴ ὑπόμνησις ἐμοί τε καὶ ὑμῖν, μετάγουσα καὶ μεταφέρουσα κατὰ μικρὸν ἐπὶ τὸ ἄναντες, μᾶλλον δὲ ἐκ τῶν χαμόθεν ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ τὰς τιμίας ὑμῶν ψυχάς. καὶ ἄλλως δὲ ἐννοῆσαι χρή, ὅτι, εἰ οὕτως, λαλουμένων καὶ ἀκουομένων τῶν ὀφειλόντων γενέσθαι καὶ κατορθωθῆναι εἰς δόξαν θεοῦ, οὐ γίνεται ἐπικράτησις τῶν παθῶν, τί δ' ἂν ἔμελλε συμβαίνειν καὶ εἰς πόσον ἐφθάζομεν κατόπιν εἶναι σιωπῶντες καὶ μὴ διευκρινοῦντες καὶ ὑποφαίνοντες τὰ ὀφειλόμενα;

Ἐγὼ δεδίδαγμαι παρὰ τῶν ἁγίων πατέρων, ὅτι περ οἱ λόγοι ὁδὸς ἐπὶ τὰ πράγματά εἰσιν, εἴτε χρηστοί, εἴτε ἑτέρως ἔχοντες, καὶ εὖ οἶδ' ὅτι τὸ λαλεῖν τὰ κρείττονα εἰς πρᾶξιν ἡμᾶς ἑκάστοτε φέρει. καὶ ὁμολογῶ, τέκνα μου, ὅτι ἐκ τῶν θεοπνεύστων ἀναγνωσμάτων μικρόν τε καὶ ἐκ τῆς ταπεινῆς ἡμῶν κατηχήσεως πάντοτε ἐπανέρχεσθε καὶ πάντοτε ἐπιτείνεσθε, ἀλλὰ κατὰ μὲν τὸ πρότερον οἱ ἐμπαθεῖς πρὸς ἀνάνηψιν καὶ βελτίωσιν, κατὰ δὲ τὸ δεύτερον οἱ ἐνάρετοι πρὸς τελείωσιν, καὶ ὁμολογοῦμεν τὴν χάριν τοῦ θεοῦ καὶ τὴν εὐεργεσίαν, καὶ οὐ κρύπτομεν τὸν ἔλεον. βλέπετε γὰρ ὅτι σχεδὸν οὔτε μάχαι γίνονται, οὔτε συκοφαντίαι, οὔτε κατηγορίαι, οὔτε λοιδορίαι, οὔτε παρακοαί, οὔτε σφετερίσεις καὶ λαθροφαγίαι· ἀλλὰ καὶ εἰ γίνονται, ἐπείπερ ἐσμὲν ἐν τῇ εὐολίσθῳ ταύτῃ σαρκί, θᾶττον καταστέλλονται, τοῖς ἐπιτιμίοις οἱ ἁλόντες θεραπευόμενοι· καὶ γὰρ οἳ μὲν ἀφορίζονται, οἳ δὲ ξηροφαγοῦσιν, οἳ δὲ παρίστανται, οἳ δὲ ῥητὰς γονυκλισίας βάλλουσι προσφόρως, κατὰ τὸ ἐπιβάλλον τῇ θεραπείᾳ τοῦ πάθους μέτρον. διὸ μηδεὶς λεγέτω, ὅτι οὐκ ὠφελούμεθα κατηχούμενοι, μηδὲ πάλιν ὅτι οὐ προκόπτομεν διδασκόμενοι. καὶ ὠφελούμεθα καὶ προκόπτομεν, χάριτι Χριστοῦ καὶ συνεργείᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, καὶ ἀναβαίνοντες ἀναβαίνομεν ταῖς καλαῖς ἀναβάσεσιν ἐπὶ τὸ ὄρος τῶν ἀρετῶν, φωτιζόμενοι καὶ ἱερούμενοι καὶ θεοποιούμενοι.

Ἀλλ' ἐπεὶ κόπῳ πολλῷ καὶ μόχθῳ, ὡς εἴρηται, κατορθοῦται, παρακαλῶ καὶ ἀντιβολῶ καὶ δέομαι, ἐπιμείνοιμεν τῇ καλῇ ἡμῶν ταύτῃ προθέσει, καὶ τὰς διψυχίας ἀεὶ περικόπτοιμεν, καὶ τὰς ὀλιγωρίας ἀεὶ ἐξοστρακίζοιμεν, καὶ νευρῶμεν ἑαυτοὺς ταῖς ἀγαθαῖς ἐλπίσι καὶ ταῖς μελλούσαις ἀνταποδόσεσι τῶν αἰωνίων ἀγαθῶν, καὶ τοῦτο ἕως ἂν ἐμπνέωμεν, ἵνα ἐκ τῶν παρόντων ὀχληρῶν καὶ ἐπιπόνων ἀπάραντες διὰ θανάτου κληρονόμοι καταξιωθῶμεν γενέσθαι τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΓ'.

Ὅτι χρὴ ἀναδραμεῖν ταῖς ἐννοίαις καὶ ἀναθεωρῆσαι τοὺς βίους τῶν πατέρων ἡμῶν καὶ ὁμοιοτρόπως αὐτοῖς πολιτευθῆναι.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, πρὸς τὰς συμβαινούσας ἡμῖν θλίψεις καὶ δυσχερείας σχεδὸν εἰπεῖν καθ' ἑκάστην ἡμέραν, εἰ ἑώρων σωματικῶς, εἶχον ἂν πάλαι ἐξατονῆσαι καὶ δοῦναι ἄλλῳ τὰς ἡνίας τῆς προστασίας· ἐπεὶ δὲ πρὸς θεὸν ὁ ταπεινός μου νοῦς ἀναβλέπει, δι' ὃν καὶ ὑμεῖς κέκλησθε ἐνταῦθα κἀγὼ παρέδωκα ὑμῖν ἐμαυτόν, οὐκ ἀπευδοκῶ, κἂν ἀνευδόκητός εἰμι, οὐδὲ απολέγομαι, κἂν ἄλογός εἰμι, οὐδὲ ἀπογινώσκω, κἂν ἀπεγνωσμένος εἰμί, ἀλλ' ἐπείγομαι καὶ συγκαίομαι καὶ συνθλίβομαι καὶ συντρίβομαι, καὶ πάντα ἑτοίμως ἔχω παθεῖν, τοῦ Χριστοῦ δυναμοῦντος, δι' εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ἕνεκεν ὑμῶν τῶν ποθη-

---

32 Ψαλμ. λθ', 11 «οὐκ ἔκρυψα τὸ ἔλεός σου». 41 κῶδ. *γονυκλησίας*.

23 Novae patrum bibliothecae tomus nonus, pars II, σ. 86-88.

τῶν μου, μᾶλλον δὲ — ἀληθὲς εἰπεῖν — δι' αὐτὸν τὸν κύριόν μου καὶ δεσπότην. εἰ γὰρ αὐτὸς ὁ κτίσας τοὺς σύμπαντας αἰῶνας κατεδέξατο δι' ἐμέ, τοῦτο δὲ ἑκάστῳ ἐφαρμόζει, καὶ εἵλετο τῷ τῆς οἰκονομίας μυστηρίῳ πειρασθῆναι, ὑβρισθῆναι, χλευασθῆναι, ὀνειδισθῆναι, καταγελασθῆναι, σταυρωθῆναί τε καὶ λογχευθῆναι καὶ τεθνάναι, τί μὴ ὑποστήσωμαι, μᾶλλον δὲ τί μὴ ὑποστησώμεθα συμβουλευτικῶς; ἀλλὰ θλίψεις, ἀλλὰ στενοχωρίας, ἀλλὰ τοῦτο, ἀλλ' ἐκεῖνο. καὶ γάρ, ἐὰν καλῶς πραγματευσώμεθα καὶ γρηγορήσωμεν καὶ διασπουδάσωμεν, κερδανοῦμεν ἀθάνατα καὶ αἰώνια. ἐὰν δὲ ῥᾳθυμήσωμεν καὶ ἀποκνήσωμεν, θησαυρίσομεν "ὀργὴν ἐν ἡμέρᾳ κρίσεως καὶ ἀποκαλύψεως θεοῦ".

Ὦ, ποῦ ποτέ εἰσιν αἱ ἅγιαι ψυχαὶ ἐκεῖναι; ὤ, ποῦ ποτε ἀπέλιπεν ὁ κατ' ἐκείνους πόθος καὶ δρόμος; χαρὰ αὐτοῖς ἦν καὶ εὐφροσύνη σωματικὴ θλῖψις, καὶ δόξα καὶ μεγαλωσύνη ἄκρα ἡ ταπεινοφροσύνη, ἔρως καίων καὶ φλέγων ἀνενδότως τὸ φίλτρον τοῦ κυρίου, ἐπιθυμία ἀκόρεστος οὐ τὸ οἰκεῖον θέλημα ἐκπληρῶσαι, ἀλλὰ τοῦτο πανσθενεῖ μὴ ποιῆσαι, ἔφεσις ἀνεκδιήγητος οὐ τὸ ἄρχειν, ἀλλὰ τὸ ἄρχεσθαι καὶ ὑποτάσσεσθαι ἕως γήρως. ποῦ μοι ἡ γηραλέα καὶ μακαρία κεφαλὴ ἐκείνη, ἡ ἐν τῇ τραπέζῃ παρασταθεῖσα μέχρις ἐγέρσεως; οἶδας ὁ ἀναγινώσκων. ποῦ μοι ὁ πολυπείραστος ἐκεῖνος μαργαρίτης τῆς ὑπακοῆς κατὰ τὴν τριακονταετίαν; ποῦ μοι ὁ τίς δε καὶ τίς δε; ὡς γὰρ χορεία ἀστέρων περίεστί μοι τῇ διανοίᾳ πᾶσα ἡ ἱεροσύλλεκτος πληθὺς ἐκείνη. τίς ἔσχε τὴν ὑπακοὴν ἀνυπόκριτον καὶ ἐδοξάσθη ἐν τάχει; δράμωμεν ταῖς ἐννοίαις, τέκνα, ἐπὶ τὸ ἐκείνου μοναστήριον. ἴωμεν ἐπὶ τὰ τοῦ μεγάλου Παχωμίου συστήματα· βλέψωμεν ἐκεῖ τὸν ἀοίδιμον Ἰωνᾶν, Πετρώνιον τὸν τρισόλβιον, Θεόδωρον τὸν ἡγιασμένον. εἶτα πορευσώμεθα ἐπὶ τὸ τοῦ ἀοιδίμου Θεοδοσίου ἀγνιστήριον, ὀψώμεθα κἀκεῖσε Βασίλειον τὸν ἀείζωον, Ἀέτιον τὸν θαυμάσιον, τὸν ὁδεῖνα καὶ τὸν ὁδεῖνα. κἀκεῖθεν ἀπελευσώμεθα πρὸς τὸ τοῦ θεσπεσίου Θεοκτίστου σεμνεῖον, πρὸς τὸ τοῦ παναγίου Εὐθυμίου καὶ Σάββα ἐργαστήριον· καὶ ἁπλῶς συντομολογῶ τὰ ἐν τοῖς ἄνω χρόνοις καὶ μέσοις καὶ τελευταίοις, πῶς καὶ πόσον καὶ ποταπῶς ἠγωνίσατο εἷς ἕκαστος τὸν ἀγαθὸν αὐτοῦ δρόμον.

Ὁμοιοτρόπως οὖν, τέκνα, καὶ ἡμεῖς, εἴπερ καὶ θέλομεν εὑρεῖν τὴν ζωὴν καὶ "τὸ φῶς τὸ ἀληθινόν", πορευσώμεθα, πάντα φέροντες, πάντα στέγοντες, "μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία" τοῦ ἔργου ἡμῶν, "ἐπὶ πᾶσιν ἀναλαμβάνοντες τὸν θυρεὸν τῆς εὐπιστίας, ἐν ᾧ δυνήσεσθε σβέσαι τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα", ἄμαχοι καὶ ἀφιλένδεικτοι διαμένοντες, χαίροντες καὶ συγχαίροντες τῇ ἀλλήλων εὐδοκιμήσει, συναρμολογούμενοι ἐν μιᾷ συμπνοίᾳ τοῦ πνεύματος ὡς ἕν τι σῶμα Χριστοῦ, εὐχόμενοι καὶ ὑπὲρ τῆς δυστήνου μου καὶ ταλαιπώρου ψυχῆς, ἵνα ὁ θεὸς τῆς εἰρήνης χορηγήσῃ πνεῦμα δυνάμεως εἰς τὸ ἰσχύειν διεξάγειν ὑμᾶς, κατὰ τὸ βούλημα αὐτοῦ, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΔ'.

Περὶ τοῦ μὴ ὀλιγωρεῖν ἐν τοῖς πνευματικοῖς ἀγῶσιν, ἀλλὰ συναμιλλᾶσθαι τὴν καλὴν ἅμιλλαν πρὸς ἀλλήλους, τοῦ νικᾶν τὸν ἀντίπαλον.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, βραχυτάτης οὔσης τῆς νυκτὸς καὶ τῆς ὥρας ἐπιδεομένης μετὰ τὴν ψαλμῳδίαν ἀναπαύσεως,

---

6 ὑβρισθῆναι, χλευασθῆναι] ἐλλείπει ταῦτα τῷ V. 7 καταγελασθῆναι] ἐλλείπει καὶ τοῦτο τῷ V. 11 ἐὰν] ἂν V. 13 κερδανούμεθα τὰ V. 15 κῶδ. *θησαυρίσωμεν* || Ῥωμ. β', 5. 27 κῶδ. *γήρους, γηραλαία.* 33 κῶδ. *χωρεία.* 36 κῶδ. *τάχη.* 39 κῶδ. *πετρόνιον.*

1 πορευσόμεθα V. 2 ὀψόμεθα V. 4 ὁδεῖνα] οὕτως ἐν τῷ P, δεῖνα V. 8 συντόμῳ λόγῳ V. 10 ἠγωνίσαντο V. 13/14 Ἰωάν. εὐαγγ. α', 9. Ἰωάν. ἐπιστ. 1, β', 8. 15 πάντα στέγοντες] Κορινθ. 1, ιγ', 7. 15/16 Κορινθ. 2, ς', 3. 17/19 Ἐφεσ. ς', 16. 21/22 κῶδ. *εὐδοκημήσει.* 26 κῶδ. *χωρηγήση.* 31 Novae patrum bibliothecae t. IX, pars II, σ. 56-57.

ὡς ὀχληρὰ εἶναι δοκεῖ ἡ κατήχησις. ἀλλ' οὖν μετὰ τῶν ἄλλων καταδέχεσθε καὶ ταύτην, παρακαλῶ, ἐν ὀλίγοις ῥήμασιν ὑπομνήσκοντός [μου] περὶ τῆς ἀσκήσεως ὑμῶν, ἐν ᾗ ἐκλήθημεν καὶ δι' ἧς ἀφείθημεν τῶν προτέρων ἁμαρτημάτων, καὶ ὑπὲρ ἧς ἀγωνιζόμεθα καὶ τλῃπαθοῦμεν καθ' ἑκάστην ἡμέραν· στενὴ γάρ ἐστιν ὡς ἀληθῶς ἡ ὁδὸς καὶ τεθλιμμένη, κατὰ τὸν λόγον τοῦ κυρίου, πρὸς τὴν πλατεῖαν καὶ εὐρύχωρον καὶ τοὺς πολλοὺς ἀπάγουσαν εἰς τὴν ἀπώλειαν. ἀλλ' οὖν ὅτι ζωῆς αἰωνίου ἐπαγγελίαν ἔχει, χαιρώμεθα τοίνυν, τέκνα μου, καὶ προθυμώμεθα καὶ τὴν καλὴν ἄμιλλαν πρὸς ἀλλήλους ἀμιλλώμεθα, ὡς ἐπὶ σταδίου τρέχοντές τε καὶ νικῶντες τὸν ἀντίπαλον, ἵνα τὸν τῆς δικαιοσύνης στέφανον κομισώμεθα ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως. διὰ τοῦτο τὰ βαρέα ὡς ἐλαφρὰ λογιζέσθω ἡμῖν, καὶ τὰ ἐπαχθῆ ὡς εὔχρηστα, καὶ τὰ λυπηρὰ ὡς περιχαρῆ, καὶ τὰ στερητικὰ ὡς ἐπιτευκτικά, καὶ τὰ ἀτιμαστικὰ ὡς τιμητικά, καὶ τὰ ὀνειδιστικὰ ὡς ἐγκωμιαστικά, ἡ ὑποταγὴ ὡς ἐπιτυχία ἀρχῆς, ἡ ὀλιγοδεΐα ὡς πολυτροφία, ἡ ὑδροποσία ὡς οἰνοποσία, ἡ βραδυφαγία ὡς ταχυφαγία, ἤ τις οὖν ἄλλη παρίσταται ἀσκητικὴ ἄθλησις· ἐν τούτῳ γὰρ τὸ μαρτύριον ἡμῶν καὶ ἡ ἀποκαραδοκία καὶ ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν, καὶ μὴ ὅτι πρὸς τὸ παρὸν λυπεῖ καὶ ἐκτήκει τὰς καρδίας ἐποκλάσωμεν καὶ ἐπολιγωρήσωμεν, ἀντιβολῶ, ἀλλ' ὅτι πρὸς τὸ μέλλον υἱοθεσίαν ἡμῖν ταμιεύεται καὶ βασιλείαν οὐρανῶν καὶ ἀθανασίαν ἀντισχώμεθα, ἀνταγωνισώμεθα καὶ εἰς ἀεὶ καινοποιώμεθα, μόχθους ἐπὶ μόχθοις καταβαλλόμενοι, καὶ ἀγῶνας ἐπὶ ἀγῶσιν, καὶ σπουδὰς ἐπὶ σπουδαῖς, καὶ ὑπακοὰς ἐπὶ ὑπακοαῖς, καὶ ἐκκοπὰς θελημάτων ἐπὶ ἐκκοπαῖς, καὶ ἐπιτιμίας ἐπὶ ἐπιτιμίαις, προσευχάς τε ἐπὶ προσευχαῖς καὶ ἀγρυπνίας ἐπὶ ἀγρυπνίαις, καὶ μελέτας ἐπὶ μελέταις θείαις, καὶ δάκρυα ἐπὶ δάκρυσι, καὶ ἔρωτας ἐπὶ ἔρωσι θείοις καὶ οὐρανίοις.

Τοιοῦτος καὶ τηλικοῦτος ὁ μακάριος βίος ὑμῶν, ἠλλοιωμένος καὶ ἐπηρμένος τῶν παραυτίκα, ξένος τις καὶ ἀλλόζωος ὑπὲρ τοὺς φρονοῦντας τὰ ἐν κόσμῳ καὶ ὑπὸ σαρκὸς διοικουμένους καὶ ὑπὲρ τὰ μέλλοντα τὰ τῇδε ἀντιποιουμένους. οἷοι δὲ ὑμεῖς, τέκνα μου καὶ ἀδελφοί, πρὸς τὸ καταλιπεῖν κόσμον καὶ τὰ ἐν κόσμῳ, γονεῖς καὶ ἀδελφοὺς καὶ τέκνα καὶ πᾶσαν περιουσίαν βίου, ἑτοίμως ἔχοντες ὑπὲρ τῆς εἰς τὸν κύριον ἀγάπης καὶ ταλαιπωρεῖσθαι καὶ περιοδυνᾶσθαι, καὶ ἕλκεσθαι καὶ περιφέρεσθαι, μυκτηρίζεσθαί τε, εἰ συμβῇ, καὶ χλευάζεσθαι, καὶ μὴν καὶ τύπτεσθαι καὶ στρεβλοῦσθαι καὶ μελοκοπεῖσθαι καὶ ἀποθνήσκειν. διὰ τοῦτο πολὺς ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς θησαυρίζεται, καὶ διὰ τοῦτο μετατιθέμενοι ἐκ κόσμου εἰς θεὸν ἄπιτε, καὶ χωριζόμενοι τῆς ἐπικήρου ζωῆς εἰς ζωὴν ἀτελεύτητον μεταβαίνετε, ἐὰν ἄρα μέχρι τέλους τὸ δοκίμιον ὑμῶν τῆς ὑποταγῆς ἐπιδείξησθε ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΕ'.

Περὶ τοῦ ἀνοθεύτως ἡμᾶς διατελεῖν τὴν πνευματικὴν ζωὴν ἡμῶν.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, τὴν ὀφείλουσαν ἐν τῷ τοσούτῳ πλήθει τῆς περὶ ἡμᾶς ἀδελφότητος προσεῖναι λογικὴν κυβέρνησιν καὶ ἀνδρικὴν ἐπιστασίαν ἐπιλογιζόμενος ὁ τάλας, καὶ τὴν ἐμαυτοῦ ἀθλιότητα κατασκοπούμενος, οἶδα καὶ πέπεισμαι ἀληθῶς, ὅτι δάκτυλος θεοῦ ἐστι, δι' εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ὁ συνεργῶν, ὁ τὴν σύστασιν ὑμῶν περιποιούμενος καὶ τὴν ἑνότητα ὑμῶν διακρατῶν, καὶ τὴν συνάφειαν ὑμῶν διαφυλαττόμενος. ἐπεὶ ποῦ ἦ βίου μου πονηροῦ ἐπίδοσις, ἦ λόγου σκοτεινοῦ ἐπί-

---

4 ὑπομιμνήσκουσαν V || ἡμῶν V. 5 κῶδ. *ἀφήθημεν*. 7/11 Ματθ. ζ', 13, 14. 15 προσαμιλλώμεθα V. 17 δικ. στέφανον] Τιμοθ. 2, δ' 8. 18 ἐν τῇ ἡμέρᾳ V. 19 ὡς ἐλαφρὰ - - ἐπαχθῆ] ἐλλείπει ταῦτα τῷ V. 26 ἦ] κῶδ. *εἴ*. 27 μαρτύριον ἡμῶν] Θεσσαλ. 2, α', 10. 28 Φιλιπ. α', 20. 32 υἱοθεσίαν] Ῥωμ. η', 13. Γαλάτ. δ', 5. Ἐφεσ. α', 5. 35 κῶδ. *καινοποιούμεθα*.

19 πολὺς ὁ μισθὸς ὑμῶν] Ματθ. ε', 12. Λουκᾶ ς', 23, 35. 24 δοκίμιον ὑμῶν] Ἰακώβου α', 3. Πέτρου 1, α', 7.

βλησις, ἴσχυεν ἂν τοσοῦτον ἔργον ἀναστήσασθαι, καὶ ταῦτα ἐν τῇ τῶν πόλεων βασιλευούσῃ καὶ ὡς καιροῖς ὀλιγώροις καὶ ἀσθενέσι τῆς ἀρχαιοπαραδότου πατρικῆς πολιτείας, ἐν οἷς οὐκ ἔστιν εὑρεῖν σχεδὸν πρόσωπον τὸ ὀρθοτομοῦν τὸν λόγον τῆς τοῦ βίου ἡμῶν ἀληθείας, ἀλλὰ διαφερομένων ἡμῶν ἑκάστου τῶν ἰθυνόντων πρὸς ἀλλήλους καὶ ἀποδιϊσταμένων ταῖς γνώμαις, ὅσον τὸ καθ ἡμᾶς τάγμα πρὸς τὸ τῶν λαϊκῶν;

Ἐγὼ μὲν οὖν τοῦτο θρηνῶ καὶ διαπονοῦμαι καὶ διασπαράσσομαι τὰ ἐλεεινὰ σπλάγχνα, ζητῶν εἰς τὴν ἐμαυτοῦ σωτηρίαν τινὰ βοήθειαν, ἵνα μὴ ἀπόλωμαι, ἢ θείαν ἢ ἀνθρωπίνην, τὴν δυναμένην ἀνανεώσασθαι τὴν σωτήριον πολιτείαν καὶ ὁδοποιῆσαι καὶ εὐτακτῆσαι ἕκαστα ἡμῶν εἰς τὸ ἀρχαῖον σχῆμα καὶ πολίτευμα, τοῦ κανονικῶς καὶ ἐννόμως, ὡς ὑποφαίνουσιν αἱ τῶν θείων πατέρων βίβλοι καὶ μάλιστά γε ἡ τοῦ μεγάλου Βασιλείου ἀσκητικὴ δέλτος. ὑμᾶς δὲ ὡς ἀληθῶς μακαρίζω, τέκνα, ὅτι ἐν γενεᾷ σκολιαζούσῃ, εἰ καὶ τολμηρὸν εἰπεῖν, καὶ ἐν ἡμέραις τοιαύταις ζητοῦντες ζητεῖτε τὸν κύριον καὶ κατευθύνετε τὰς καρδίας ὑμῶν, καὶ πιστοῦσθε μετὰ θεοῦ τὸ πνεῦμα ὑμῶν εἶναι, καὶ ὅτι ἀνοθεύτως καὶ ἀκαπηλεύτως διατελεῖτε τὴν ζωὴν ὑμῶν, ἀληθείᾳ ἀποταξάμενοι καὶ ἀψευδῶς ἀναχωρήσαντες ἀπὸ τοῦ κόσμου. καὶ τοῦτο καλούμενοι πράγματι φαίνεσθε· ἐμονώθητε γὰρ ἀληθινῶς ἀπὸ πάντων, τῷ μόνῳ θεῷ συναφθέντες διὰ τῆς ἀρίστης πολιτείας καὶ λατρεύοντες.

Ἐντεῦθεν τὸ κοινωνικὸν τῆς ζωῆς ὑμῶν καὶ τὸ μηδὲν ἴδιον ἐπονομάζεσθαι ἀναμεταξὺ ὑμῶν. ἐντεῦθεν ἡ ἄσχετος καὶ ἀκοινώνητος πρὸς τοὺς κατὰ σάρκα ὑμᾶς ποτε γεννήσαντας καὶ ἀγχιστεύοντας ἀπαλλοτρίωσις. ἐντεῦθεν ἡ ἀψευδὴς πίστις καὶ ἕνωσις πρὸς τὴν ἐμὴν ταπείνωσιν διὰ τῆς ἐξαγγελτικῆς τῶν κρυπτῶν καὶ καρδιακῶν βουλευμάτων ὑμῶν φανερώσεως. ἐντεῦθεν ὑμῖν τὸ ἐν τῇ στενώσει πλατύνεσθαι, ἐν τῇ στενοχωρίᾳ εὐρύνεσθαι, ἐν τῇ ἐπιλειψίᾳ τῶν σωματικῶν χρειῶν θεραπεύεσθαι καὶ εὐφραίνεσθαι. καὶ τί δεῖ πολλὰ λέγειν; ἐντεῦθεν ὑμῖν τὸ διαφανεῖς εἶναι καὶ ἐπὶ γλώσσης φέρεσθαι τῶν πολλῶν· καὶ οὐ πλανῶ ὑμᾶς, εἰ καὶ πλανήτης εἰμί, οὐδὲ μεθοδεύω ὑμᾶς, εἰ καὶ σκολιόγνωμος ὑπάρχω. ἀλλὰ δι' ἣν αἰτίαν ταῦτα λέγω καὶ ὑπομνήσκω; ἵνα στηρίζησθε καὶ κρατύνησθε καὶ ἐναγωνίως ἔχητε, μήπως ἀποπέσητε τῆς τηλικαύτης ἀναβάσεως, μήπως ἀπολιγωρήσητε τῆς τοιαύτης προθέσεως, ἀπειπόντες πρὸς τὰ ὑποτακτικὰ σκάμματα, ἢ παρεκτρεπόμενοι πρὸς τὰ ἐνδιάστροφα τῶν ἀνθρώπων σοφίσματά τε καὶ ληρήματα (οὐ γὰρ ἂν φαίην διδάγματα, καθὸ οὐχ ὑπὸ πνεύματος θείου κεκίνηνται), ἔχοντες καὶ τοῦτο πεπεισμένως, ὡς πολλοὶ καὶ πανταχοῦ πάρεισι φοβούμενοι τὸν κύριον καὶ ὑπὲρ ἡμᾶς θεραπεύοντες αὐτόν. ἀλλὰ πάντοτε τὰ σκάνδαλα καὶ διατί; ἀλλ' ἵνα οἱ δόκιμοι φανῶσιν.

Τοίνυν τῆς ἀγαθῆς ὑμῶν προθέσεως ἐχόμενοι μήποτε ἀμελήσητε τὸ φιλεῖν τὸν κύριον διὰ τῶν ἀγαθῶν πράξεων, μηδὲ τὸ ἐξερευνᾶν καὶ διαζητεῖν τὰ εἰς σωτηρίαν· πολλὰ γὰρ διαφεύγει ἡμῖν καὶ παραπίπτομεν, ὡς οὐκ οἴδαμεν, καὶ "παραπτώματα", φησί, "τίς συνήσει"; θέλω δὲ εἰδέναι ὑμᾶς, ὅτι οὐκ ἔστιν ἄλλο μετὰ τὴν ἐξαγόρευσιν σύντομον καὶ ἄφθαστον φάρμακον εἰς σωτηρίαν, ὡς καὶ αὐτοὶ συνεπίστασθε. καὶ ἡνίκα τοῦτο τὸ δῶρον νῦν παρέσχεν ὁ κύριος, τί ὅτι οἱ μὲν βραδύνετε πρὸς τὰς ἐξαγορεύσεις καὶ πνίγεσθε τῇ σιωπῇ καὶ ἑλκοῦσθε καὶ σκωληκιᾶτε τοῖς ἀθριαμβεύτοις λογισμοῖς; ἐγὼ οὖν, τέκνα, κατελεῶν ὑμᾶς εἰμι ἐν τούτῳ, εἴπερ τινὲς καὶ ἐστέ, καὶ ἀσθενῶ τῇ ἀσθενείᾳ ὑμῶν. διατί γὰρ, παρ' ὧν ἐστιν ὑγιαίνειν καὶ φωτίζεσθαι καὶ εὐπροσωπεῖν, ὑποστήκομεν τὰ ἐναντία; οἶδε πάντα ὁ θεός. οὐ γάρ ἐστι κτῆσις ἀφανὴς ἐνώπιον αὐτοῦ. πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. γνωρίζειν δὲ ὀφείλω ὅμως

8 κῶδ. *ἰθινόντων*. 20/21 κῶδ. *τῇ - - ἀσκητικῇ δέλτῳ*. 35 κῶδ. *ἐπωνομάζεσθαι*.

1 ἐπιλειψία=στερήσει. 9 κῶδ. *στηρίζεσθε καὶ κρατύνεσθε*. 17 κῶδ. *πεπεισμένος*. 27/28 Ψαλμ. ιη', 13.

κἀγώ. διὰ τοῦτο ζητῶ τὴν ἐξάγγελσιν, ἵνα γινώσκω τὰ ἐμὰ τέκνα καὶ γινώσκωμαι ὑπὸ τῶν ἐμῶν. αὕτη ἡ γνησία καὶ πνευματικὴ γέννησις, αὕτη ἡ ἀνόθευτος ὑποταγή, αὕτη ἡ ἀμέριμνος ὁδοιπορία, αὕτη ἡ γλυκεῖα προσευχὴ καὶ ἀδιάλειπτος προκοπὴ καὶ ἀναγωγὴ καὶ θέωσις τοῦ κεκτημένου τὸ δῶρον. εὔξασθε, τέκνα μου, ἵνα ἴδω κἀγὼ μακρόθεν, πῶς τὰ προαύλια τῆς ἀπαθείας, καὶ μάλιστα ἐπιζητουμένης ἐν τῇ τῶν πάντων ὑμῶν κυβερνήσει, καὶ μὴ οὕτως ἐναπομείνω ἀεὶ εἰς τὸ βάρος τῆς ἁμαρτίας.

Καλὸν οὖν τὸ τῆς κατανύξεως δάκρυον πηγαζόμενον, καλὸν ἡ καθαρὰ προσευχή, νυκτερινή τε καὶ ἡμερινή. καλὸν οὖν ἡ ὑπομονὴ τῶν προσκρούσεων, καλὸν ἡ τοῦ ἐργοχείρου ἐπίτασις, καλὸν ἡ τῶν ἀναγνωσμάτων ἀγρυπνητικὴ ἐπακρόασις, καλὸν ἡ βραδύγλωσσος ὁμιλία καὶ ἀγελοίαστος συντυχία, καλὸν ἡ σύμμετρος ἐγκράτεια καὶ μετὰ λόγου καὶ προστάξεως βρῶσις καὶ πάσις· καλὸν ἡ ἀναμνημονευτικὴ τοῦ θανάτου ἔννοια καὶ ἡ τοῦ βίου τῶν ἁγίων κατὰ τὸ δυνατὸν μίμησις. καλὸν ἡ φυγὴ τῆς φρικτοποιοῦ παῤῥησίας καὶ ἡ ἐπικρότησις τῆς θείας ταπεινοφροσύνης. τὰ πάντα δοκιμάζοντες, τὸ καλόν, κατὰ τὸν ἀπόστολον, κατέχετε, καὶ τὴν σήμερον, ὅτι παρήλθομεν, εὐχαριστήσωμεν τῷ κυρίῳ, καὶ ὅτι τὸν κανόνα ἐξετελέσαμεν, κἂν ὀλιγωρήσαμεν· ὡσαύτως καὶ περὶ τῆς αὔριον πάλιν δῴη κύριος δύναμιν καὶ κραταίωσιν, ἐνισχύων καὶ πρὸς τὰς σαρκικὰς καὶ σωματικὰς ἐργασίας, ἀμφοτέρωθεν ἡμᾶς παρηγορούμενος καὶ πλεονάζων ἡμῖν τὰ αὐτάρκη καὶ δέοντα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΣ'.

Περὶ τῆς ἀρίστης ὑποταγῆς ὑμῶν καὶ τοῦ μηδὲν μέγα ἡγεῖσθαι ὑπὲρ αὐτήν.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, δόξα, δόξα θεῷ τῷ ἀφορίσαντι ἡμᾶς ἐκ κοιλίας μητρὸς ἡμῶν εἰς τὸ ἱερὸν ἐπάγγελμα τοῦτο. χάρις κυρίῳ τῷ καλέσαντι ἡμᾶς εἰς τὸν θαυμαστὸν καὶ μακάριον τῆς μοναδικῆς πολιτείας τρόπον. ἡμῖν ὡς ἀληθῶς δέδοται, εἰ καὶ τολμηρὸν εἰπεῖν, ἀλλ' οὐκ ἀπὸ σκοποῦ, τοῦ "γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν" μᾶλλον ὑπὲρ τοὺς κατὰ κόσμον, "ὅτι βλέποντες οὐ βλέπουσιν" οἱ πολλοὶ αὐτῶν, ὡς ἔστι τὰ πράγματα. τί γὰρ καὶ οἷα τὰ ἐκείνων; μακαριοῦνται πλοῦτον, τὴν παραυτίκα δόξαν· χαίρουσι τρυφαῖς καὶ ἀπολαύσεσι· γάννυνται μύροις καὶ οἰνοφλυγίαις, μαλακοῖς τε ἱματίοις καὶ ἵππων ἀγέλαις, ἀνδραπόδων τε πλήθεσι καὶ γαιῶν πολλῶν κατασχέσεσιν, οἰκημάτων κάλλεσι καὶ λίθων διαφανῶν ἀγλαΐσμασι καὶ τῇ λοιπῇ ματαίᾳ ποικιλίᾳ· γελῶσι, πηδῶσι, σκιρτῶσιν ὡς ἔριφοι καὶ κορέννυνται καὶ λιπαίνονται ὡς ἕτοιμοι ὗες πρὸς σφαγήν. καὶ μή τι εἴπωμεν τῶν ἄλλων παθῶν τὸν ἐσμόν· παρατρέχει γὰρ ὁ λόγος τὰ ἐξ αὐτῶν τικτόμενα τῆς ἁμαρτίας ἔγγονα καὶ ἀποτελέσματα. καὶ ταῦτα αὐτοῖς τῶν ἐπαινουμένων τὰ αὐχήματα καὶ ἀγαλλιάσματα. ἀλλ' οὐ γὰρ τοῖς σταυρώσασι τὴν σάρκα "σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις" αὐτῆς, οἷοί ἐστε καὶ ὑμεῖς οἱ τῷ κυρίῳ Ἰησοῦ Χριστῷ, κατὰ τὸν ἀπόστολον, τὴν σάρκα σταυρώσαντες· ἄλλος γὰρ ὁ πόθος καὶ ἐπ' ἄλλοις ἡ ἔφεσις ἡμῶν, ὦ τέκνα. ζητοῦμεν καὶ ἐκζητοῦμεν τὴν πάλαι δίαιταν τοῦ Παραδείσου τῆς τρυφῆς, ἐξ ἧς ἀποβεβλήμεθα. ἀναπολοῦμεν καὶ ἀναγνωρίζομεν τὸ ἀρχαῖον πολίτευμα ἡμῶν. ἀναχωροῦμεν κόσμου πλάνου καὶ ἐρχόμεθα εἰς θεόν. ἀπεκδυόμεθα σκότος βιωτικὸν καὶ ἐνδιδυσκόμεθα φῶς νοερόν. βλέπομεν εἰς οὐρανὸν ἄνω καὶ γινώσκομεν λόγον κτίσεως, καὶ ἀποκτώμενοι τὰ πάντα δεσπόζομεν τῶν ἁπάντων. καὶ—ὦ τοῦ μεγάλου ἐπαγγέλματος! — τίς ἡμᾶς διέστησεν ἀπὸ σαρκὸς καὶ αἵματος, ἀπὸ

---

2 κῶδ. *γινώσκομαι*. 26/27 Θεσσαλ. 1, ε', 21. 30 κῶδ. *ὀλιγορήσαμεν*. 38 Novae patrum bibliothecae t. IX, pars II, σ. 106-108.

1 τὸ *θεῷ* ἐλλείπει τῷ V || ἐκ κοιλίας μητρὸς] Ματθ. ιθ', 12. Λουκᾶ α', 15. Πράξ. γ', 2. ιδ', 8. Γαλάτ. α', 15. 7/9 Ματθ. ιγ', 11, 13. 18 ποικιλίᾳ τῇ ματαίᾳ V. 20 σῦες V. 26 Γαλατ. ε', 24.

τῶν φυσάντων καὶ ἀπὸ τῶν ἐγγόνων, ἀπὸ τῶν συνήθων, ἀπὸ τῶν ὁμηλίκων, ἀπὸ τῆς πατρίδος, ἀπὸ τῶν πόλεων, ἀπὸ τῶν ἀγορῶν, ἀπὸ τῶν ὄχλων καὶ δήμων καὶ πάντων τῶν περικοσμίων; τίς ἡμᾶς ἔπεισε δούλους ἑαυτοὺς ἐκδοῦναι τοῖς πνευματικοῖς ἡγουμένοις καὶ πατράσι καὶ ἀναλαβεῖν τὸν ἀσκητικὸν ἀγῶνα τὸν δι' ἐγκρατείας, ἀγρυπνίας τε καὶ χαμευνίας, διανυόμενον καθ' ἑκάστην; τίς ἡμᾶς ἐφώτισε βλέπειν ἀδιαστρόφως καὶ μηδὲν μέγα νομίζειν χρυσὸν καὶ ἄργυρον καὶ κάλλος καὶ φαντασίαν, αὐτὸ τὸ βασιλικὸν διάδημα καὶ πορφυρικὸν περιβόλαιον, ἀλλ' αἱρετώτερόν τι μᾶλλον καὶ ἀξιωματικώτερον καὶ ἐντιμότερον ἡγεῖσθαι τὸ ταῦτα τὰ ῥάκια καὶ πολύῤῥαφα ἱμάτια περιβεβλῆσθαι καὶ ἐν αὐτοῖς ὑπὲρ τὰς λαμπρὰς χλαίνας ἀποσεμνύνεσθαι; τίς ἐδυνάμωσεν ἡμᾶς φυγεῖν ὕλην καὶ σάρκα καὶ τοῖς ἄνω συναρμοσθῆναι διὰ τῆς παρθενείας καὶ ἀφθόρους καὶ ἁγνοὺς διαμένειν κατὰ τοὺς ἀγγέλους;

Ταῦτα τοίνυν τὰ ἡμέτερα, ὦ ἀδελφοί, ἐγκαυχήματα, ἃ ὁ θεὸς ἐδωρήσατο ἡμῖν, ἀγαπήσασιν αὐτὸν καὶ ποθήσασι τὰ μέλλοντα, φῶς ἀπρόσιτον, δόξαν αἰωνίαν, χαρὰν ἀνεκλάλητον, εὐφροσύνην ἀδιάλειπτον, κληρονομίαν αἰώνιον, βασιλείαν οὐράνιον, χοροστασίαν ἀκατάλυτον, θεωρίαν τρισμακάριστον, πλοῦτον ἄῤῥευστον, πᾶν εἴ τι καλὸν καὶ τερπνὸν τῶν τοῖς ἁγίοις ἀγγέλοις καὶ μακαρίοις ἀπ' αἰῶνος πατράσιν ἐπηγγελμένων. ἐπεὶ οὖν ταῦτα οὕτως, βλέπωμεν καὶ προσέχωμεν, μήποτε ἀνθαιρώμεθα τὰ ἐναντία καὶ φθάσωμεν κατόπιν τῶν βιωτικῶς διαζώντων. διὸ ἁγνίσωμεν ἑαυτοὺς ἔτι καὶ παρθενεύσωμεν ἔτι, καὶ φροντίσωμεν ἀπὸ νοὸς καὶ αἵματος καὶ καρδίας καὶ σώματος, καὶ μηδόλως δῶμεν παῤῥησίαν τῷ δαίμονι. λόγος λόγον καταπιέζει, καὶ βλέμμα βλέμμα σκαμβάζει, καὶ ἀμέλεια ἀμέλειαν περιέπει, καὶ κατὰ μικρὸν μικρὸν γωνιάζοντες καὶ ἰδιάζοντες καὶ ὡς νυκτικόρακες εὑρισκόμενοι ἀποκυοῦμεν τὸν τῆς ἁμαρτίας θάνατον. μὴ οὖν, τέκνα, οὕτως, μή, δέομαι καὶ ἀντιβολῶ· προσέχετε ἀπ' ἀλλήλων. ἐκ τοῦ πλησίον ἡ ζωὴ καὶ ὁ θάνατος, κατὰ τὸν εἰπόντα, ἐλεεινὸν τὸ βάραθρον, τοῦ αἰωνίου πυρὸς τὸ ἀνταπόδομα. μὴ εἴπῃς "ἐπανελθὼν ἐπανῆκα", μὴ φθέγξῃ "χρονιῶν ἐχρόνισα", μὴ λογίσῃ "δυναμωθεὶς ἐνεδυναμώθην". μικρὰ ἀμέλεια, καταφρόνησις, ἐπὶ τὸ αὐτὸ ἀφυλάκτως σε προσλαμβάνουσα καὶ χειραγωγοῦσα, εἰς τὸ βάραθρον τῆς ἁμαρτίας καταβάλλει.

Σκοπεῖτε καὶ ὁρᾶτε, μικροὶ καὶ μεγάλοι, προάγοντες καὶ ἀκολουθοῦντες, ἄρχοντες καὶ ἀρχόμενοι· ἄνω ἐμακαρίσθημεν, ὧδε ἐταλανίσθημεν, ἄνω ἐδοξάσθημεν, ὧδε ἠτιμάσθημεν, ἄνω ἀγγελικῶς ἐβιώσαμεν, ὧδε σατανικῶς ἐπορεύθημεν. "συνέφερεν αὐτῷ", φησίν, "εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος". συμφέρει καὶ ἐπὶ τῷ τοιούτῳ ταῦτα εἰρῆσθαι, πλὴν ἀνακτέον καὶ ἐπιστρεπτέον. καὶ ταῦτα οὐ λυπεῖν ὑμᾶς θέλων ἐνεθέμην τῇ παρούσῃ κατηχήσει, ἀλλ' ἵνα, τέκνα μου, διὰ τῆς προαγγέλσεως τὴν ἐρχομένην ῥομφαίαν τῆς ἁμαρτίας ἐξ ὑμῶν τε αὐτῶν κἀμοῦ τοῦ ταπεινοῦ ἐξεώσωμαι ψυχῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΖ'.

Περὶ τῆς ἑορτῆς τῶν ἁγίων Θεοφανείων.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, πάλιν προεόρτιος ἡ κατήχησις, ἀπὸ τῆς τῶν γενεθλίων τοῦ Χριστοῦ εἰς τὴν τῶν ἐπιφανίων ἡμέραν καταντήσασα, οὐ σχοῦσα μὲν οὐδὲ ἔχουσά τι πρὸς ἀξίαν, οὐ λέγω τῶν θείων πανηγύρεων (τοῦτο γὰρ ἁγίων καὶ θεοσόφων ἔργον), ἀλλὰ τῆς ὑμῶν προσηκούσης ὑπομνήσεως. πλὴν καὶ τὸ νῦν καταβλητέον ἡμῖν τὸ εἰς δύναμιν. ἐδιδάχθημεν οὖν πρότερον [τὸ] τοῦ Χριστοῦ γενέθλιον, ὅτι Χριστὸς

2 κῶδ. *ὁμιλίκων*. 15 κῶδ. *ἐντιμώτερον*. 25 φῶς ἀπρόσιτον] Τιμοθ. 1, ς', 16 || δόξαν αἰωνίαν] Τιμοθ. 2, β', 10 || χαρὰν ἀνεκλάλητον] Πέτρου 1, α', 8. 27 κληρ. αἰώνιον] Ἑβρ. θ', 15. 29 κῶδ. *ἄρευστον*.

17/18 Ματθ. κς', 24. 25 κῶδ. *ψυχάς*. 30 Novae patrum bibliothecae t. IX, pars II, σ. 88-91. 39 τὸ νῦν] τοίνυν V.

ἐφανερώθη ἐν σαρκί, ὤφθη ἐν κόσμῳ· "ἦλθε γὰρ εἰς τὰ ἴδια. κἂν οἱ ἴδιοι αὐτὸν οὐ πάντες ἐδέξαντο", ἡμεῖς δέ, ἐπεὶ ἐδεξάμεθα αὐτόν (καὶ γὰρ τοῖς τῆς πίστεως ὀφθαλμοῖς καὶ εἴδομεν ἐν σπηλαίῳ τεχθέντα παρθενικῶς τε καὶ ἀπερινοήτως ἐκ τῆς προφήτιδος), καὶ προσεκυνήσαμεν· ἐν πνεύματι καὶ ἀληθείᾳ καὶ σὺν ἀγγέλοις τὴν τῆς εὐδοκίας αὐτοῦ ὑμνολογίαν ἀνεπέμψαμεν.

Ἐλάβομεν "ἐξουσίαν τέκνα θεοῦ γενέσθαι", ὡς ὁ θεῖος εὐαγγελιστὴς βοᾷ, ἀπορῥίψαντες τὰ ἐκ σαρκὸς καὶ αἵματος καλύμματα τῶν παθῶν εἰς τὸ τὰ ἱερὰ αὐτοῦ ἐπιφάνια θεάσασθαί τε καὶ ὑποδύσασθαι. ἄπεισιν ὁ λόγος πρὸς τὴν φωνήν (καιρὸς γὰρ ἦκε τῆς τελειώσεως· μέχρι γὰρ τῆς δεῦρο τριακονταετίᾳ ὑποτάσσεται ἀνθρωπίνως τοῖς γονεῦσι, τυπῶν ἡμῖν τὸ ὑποτακτικόν, καὶ τοῦτο, ὡς βούλει, εἴτε φυσικῶς λαβεῖν, εἴτε πνευματικῶς), ὁ νυμφίος πρὸς τὸν νυμφαγωγόν, ὁ δεσπότης πρὸς τὸν δοῦλον, ὁ ἐνσώματος θεὸς πρὸς τὸν ἔνσαρκον ἄγγελον· ὑπέξεισι γὰρ ἄρτι ὁ Ἰωάννης ἐκ τῆς ἐν ἐρήμῳ διαγωγῆς, ὅλως θεοφορούμενος καὶ πατροκινήτως διδασκόμενος, ἑτοιμάσαι τὰς ὁδοὺς κυρίου, εὐθείας ποιῆσαι τὰς τρίβους αὐτοῦ, κατασκευάσαι λαὸν περιούσιον. ἐπεὶ δὲ ταῦτα ἐγεγόνει διὰ τοῦ ἐν μετανοίᾳ βαπτίσματος, ὑπαντᾷ τὸν Ἰησοῦν ἐρχόμενον καὶ ἀνακράζει "ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου". ἐπιζητεῖ ὁ Χριστός μου πρὸς αὐτοῦ τὸ βάπτισμα, θάμβους πληροῦται ὁ Ἰωάννης, κατεπείγει αὐτὸν ὁ δεσπότης εἰς ὑπακοήν, ἀναδύεται καὶ ἀναβάλλεται ὁ ὑπηρέτης τὰ θεοπρεπῆ ἐκπληρῶσαι. πῶς οἴει τὸν Πρόδρομον, ἐν μεταιχμίῳ δύο παθῶν γενόμενον, τῷ μὲν πρὸς ὑπακοὴν συνωθούμενον, τῷ δὲ πρὸς συναίσθησιν τῆς οἰκείας ἀναξιότητος ἀντωθούμενον; ἐνενόει γάρ, ὡς εἰκός, καὶ ἐφθέγγετο τοιαῦτα· "πῶς τελετάρχου σχῆμα ὑποδήσομαι ὁ βραχὺς ἐγὼ καὶ ἀτέλεστος καί σε τὸν παντέλειον θεὸν τελεταρχήσω; πῶς ἅψομαι κορυφῆς τοῦ κλίναντος οὐρανοὺς καὶ καταβάντος, τοῦ μετροῦντος τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ καὶ πᾶσαν τὴν γῆν σπιθαμῇ; πῶς καταδύσω ἐν τοῖς ὕδασι καὶ γυμνὸν ἴδοιμι τὸν ἀπερίληπτον καὶ περιβάλλοντα τὸν οὐρανὸν ἐν νεφέλαις";

Ἀλλ' ὅμως ὁ Χριστός μου (οὕτω πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην) ὢ — τῆς μεγάλης συγκαταβάσεως! — τὴν ἐσθῆτα ἀπαμφιέννυται, εἰς τὸ ῥεῖθρον κάτεισι, βαπτίζεται καὶ ἡ μὲν θάλασσα, ὡς ὁ ἱεροψάλτης Δαβίδ, "εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω" καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς κατῆλθεν, ἡ δὲ φωνὴ πατρόθεν ἐπιμαρτυροῦσα "οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα". εἶτα ἄνεισιν ἐκ τοῦ ὕδατος ὁ Χριστὸς καὶ φωστὴρ καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν. ὢ μακαρίας χειρὸς τῆς ἁψαμένης κεφαλῆς, δι' ἧς κεφαλὴ πάντων τῶν προφητῶν ἀνηγόρευται! ὢ παλάμης παμμεγέθους, κρατησάσης κάραν τοῦ ἐν οὐρανῷ καὶ γῇ καὶ τοῖς πᾶσιν ἀχωρήτου! ὢ ἱερέως θεοχειροτονήτου καὶ πάντων ἱερέων ὑψηλοτέρου, θεὸν καταξιωθέντος ἐν σαρκὶ βαπτίσαι! φῶς ἔλαμψεν, ἀνίσχοντος ἐκ τοῦ ὕδατος τοῦ ἡλίου τῆς δικαιοσύνης, κατὰ τὴν τῇδε ἡμέραν, καὶ νοερῶς καὶ αἰσθητῶς γήθει καὶ ἀγάλλεται καὶ φαιδρύνεται ἥ τε γῆ Ζαβουλὼν καὶ Νεφθαλείμ, ἥ τε Γαλιλαία τῶν ἐθνῶν καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, μᾶλλον δὲ πᾶσα ἡ οἰκουμένη.

Πρὸς ταῦτα δοξάσωμεν, πρὸς ταῦτα φωτισθῶμεν καὶ ἡμεῖς φῶς γνώσεως, καὶ οἷον τῇ θεωρίᾳ γενόμενοι κατὰ τὸν Ἰορδάνην ἴδωμεν τὸ μέγα φῶς, τὸν Χριστὸν ἡμῶν βεβαπτισμένον, καὶ προσπτυξώμεθα τὰ ἐν τοῖς ὕδασιν ἴχνη αὐτοῦ ἀκατάληπτα, καὶ μηκέτι πρὸς τὸ σκότος ἐπιστρέφωμεν τῆς

1/3 Ἰωάν. α', 10-11. 10 Ἰωάν. α', 12. 25 ἑτοιμάσαι - τρίβους αὐτοῦ] Ματθ. γ', 3. Μάρκ. α', 3. Λουκᾶ γ', 4. 27 λαὸν περιούσιον] Τίτ. β', 14. 29/31 Ἰωάν. α', 29. 36 Πρόδρομον V, δρόμον P.

2 κλίναντος - καταβάντος] Βασιλ. 2, κβ', 10. Ψαλμ. ιζ', 10. ρμγ', 5. 3 μετρ. τὰ ὄρη - - σπιθαμῇ] Ἡσαΐου μ', 12. 6/7 περιβ. τ. οὐρ. ἐν νεφέλαις] Ψαλμ. ρμς' 8. 13 Ψαλμ. ριγ', 3. 14/17 Ματθ. γ', 16, 17. 21 ἀγορεύεται V. 26 πῶς φῶς V || φῶς ἔλαμψεν] Ματθ. δ', 15, 16. 27 ἥλ. τῆς δικαιοσύνης] Μαλαχ. δ', 2. 30 κῶδ. *νεφθαλήμ*. 34 φῶς γνώσεως] Ὡσηὲ ι', 12. 39 ἐπιστρέψωμεν V.

ἁμαρτίας, ἀλλὰ συνίωμεν καὶ συμπορευοίμεθα, ὀπαδοὶ καλοὶ γεγονότες. καὶ πρό γε τούτου συμβαπτισθῶμεν αὐτῷ· ἔξεστι γὰρ καθ' ἡμέραν, εἰ βουλόμεθα, τῷ τῶν δακρύων βαπτίσματι λέγω, τῷ ὄντι γὰρ καθαρτήριον καὶ ἀείφωτον. οἴκοθεν ἡμῖν τὰ νάματα, ἔχομεν καὶ ἡμεῖς Ἰορδάνην, τῷ τῆς κατανύξεως ῥείθρῳ φωτιζόμενοι. τὸ καθ' ἑκάστην συνεπώμεθα. κἂν εἰς ὄρος ἀνέλθῃ, συνανίωμεν αὐτῷ· κἂν πειράζηται ὑπὸ τοῦ διαβόλου, τὸν πειραστὴν ἐλεῖν βουλόμενος, συμπειρασθῶμεν αὐτῷ πρὸς μικρόν, ἵν' εἰς αἰῶνας ἀνενόχλητοι διαμείνωμεν. κἂν νηστεύῃ ὡς ἄνθρωπος τεσσαρακονθήμερον, τῷ ἐφημερησίῳ κανόνι ἢ καὶ τῷ ὑπερημερησίῳ ἐν καιρῷ συννηστεύσωμεν αὐτῷ, ἵνα τρυφήσωμεν τὰ ὑπὲρ ἔννοιαν ἀγαθὰ ἀιδίως. οὐκ ἐτέρφθη ὁ Χριστὸς τῷ εἴδει πασῶν τῶν ὑποδειχθεισῶν αὐτῷ βασιλειῶν τῆς γῆς πρὸς τοῦ Σατανᾶ· μηδ' ἡμεῖς καταθελχθῶμεν τοῖς τερπνοῖς τοῦ παρόντος βίου, ἢ καὶ ταῖς τῆς παρούσης πόλεως περικαλλείαις καὶ ἀπατωσύναις. καὶ ἐν τούτῳ οὔτε πεσούμεθα, οὔτε προσκυνήσομεν τῷ Σέραπι. οὐκ ἠπατήθη ὁ Χριστὸς ἡμῶν εἰπῶν τοὺς λίθους ἄρτους γενέσθαι· μήτι γε καὶ ἡμεῖς, ὡς ὑποβάλλει ὁ δράκων, τὰ πονηρὰ ἢ ἐν τῇ καρδίᾳ ἢ ἐν τῇ γλώσσῃ φθεγγοίμεθα, ἀλλ' εἴπωμεν θεολέκτως "ἄπελθε ὀπίσω μου, Σατανᾶ". ἂν οὕτως ἀποκρουσώμεθα αὐτὸν καὶ οὕτω ποιήσωμεν, οἰχήσεται καὶ ἀφανισθήσεται, μᾶλλον δὲ καταργηθήσεται, καὶ ἄγγελοι ἡμῖν ὀφθήσονται διακονούμενοι, καὶ συγκαταβησόμεθα τῷ Χριστῷ καὶ εἰς μαθητὰς αὐτοῦ ταχθησόμεθα, καὶ τῇ ἀπαθείᾳ περίδοξοι ἐσόμεθα, ὡς φῶτα τέλεια ἐν κόσμῳ, ἐν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1/2 συμπορευοίμεθα - - τούτου] ἐλείπει ταῦτα τῷ V. 3 τὸ καθ' V. 5 τῷ ὄντι] τὸ V. 9 ἀνέλθοι V. 14 κῶδ. *ἐφ' ἡμερησίῳ*. 22 κῶδ. *περικαλλίαις* 24 κῶδ. *προσκυνήσωμεν* || κῶδ. *οὐχ ἠπατήθη*. 25 κῶδ. *εἰπεῖν*, σλαβ. рекшаго || Ματθ. δ', 4. 29 Ματθ. δ', 10.

ΚΑΤΗΧΗΣΙΣ ΚΗ'

Περὶ τῆς κρατίστης διαγωγῆς ἡμῶν, ῥηθεῖσα ἐν τῇ ἑβδομάδι τῶν Βαΐων.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ἡ τῆς χαρᾶς ἡμέρα ἔφθασεν (ἡ γὰρ τῶν νηστειῶν περίοδος ἤδη τετελείωται) καὶ εὐλογημένοι ὑπὸ κυρίου, ὅτι τὸν κόπον καὶ τὸν καύσωνα ἠνέγκατε τῆς ἐγκρατείας, τὸ ἐπιτεταμμένον τῆς ἀγρυπνίας, τὸ εὔτονον τῆς ψαλμῳδίας, τὸ ταλαίπωρον τῆς κατὰ χρείαν ἐργασίας ἔν τε διασκάψεσιν, οἰκοδομήμασί τε καὶ λεπτουργήμασι, καλλιγραφήσεσί τε καὶ ὑφάσμασιν, ἱματορράφησί τε καὶ ὑποδηματορράφησι καὶ ταῖς κατὰ πᾶν ὅτι οὖν τῶν οὐσῶν διακονιῶν ἐγχειρήσεσι· καὶ γὰρ οὐδὲ τὴν τυχοῦσαν παροπτέον, ἀλλὰ ἑκάστῃ καὶ παντοίᾳ θεῷ ἀνακειμένῃ τῇ τοῦ κρατοῦντος αὐτὴν καθαρᾷ λειτουργίᾳ· μὴ γὰρ μέγα τι πρὸς κόπον τοῦ τὸν στίχον λέγοντος καὶ ὑπομνήσκοντος καθ' ἑκάστην περὶ τοῦ θανάτου, ἀλλ' οὖν ἐπ' αὐτῇ καὶ μόνῃ, καθ' ὃ δυνάμεως ἔχει, τὴν μισθαποδοσίαν αὐτοῦ λήψεται, ἴσα τυχὸν καὶ τοῦ οἰκονομοῦντος τὰ μείζονα. τί λοιπὸν εἴπωμεν ἐπὶ τοῦ τὰ δεύτερα φέροντος, ἢ τῶν ἐπιστημοναρχούντων, ἢ τῶν ἐπιτηρούντων, ἢ τοῦ κανοναρχοῦντος, ἢ τοῦ κελλαρεύοντος, ἢ τοῦ τραπεζοποιοῦντος, ἢ τοῦ σκυτοδευσοποιοῦντος, ἢ τοῦ μεμβρανοποιοῦντος, ἢ τοῦ κηπουργοῦντος, ἢ τῶν ἄλλων, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγωμεν; μεγαλόδοξοι οἱ μισθοί, πολυγέραστοι οἱ ἐγχειρισμοί, ἀθλητικοὶ οἱ ἀποτελεσμοί. οὕτως ἡμᾶς ἡ θεία χάρις καλῶς παρήγαγεν, καὶ ἔτι γε παραγάγοι καὶ ἐκ δυνάμεως εἰς δύναμιν μετενέγκοι τὸ θεοσύνθετον σύστημα, τὸ ἀδιάῤῥηκτον συνάθροισμα, τὸ νεοκατασκεύαστον κατάστημα, ἀλλ' οὖν ἀρχαιογνώριστον διαβίωμα, τὸ μόνον πρὸς θεὸν ὁρῶν καὶ πρὸς οὐδὲν ἄλλο ἐπιστρεφόμενον, τὸ ἐν κόσμῳ ὁμοψύχημα. εὖγε, εὖγε τῇ κρατίστῃ διαγωγῇ ὑμῶν καὶ τῷ παναρίστῳ καὶ θαυμαστοτάτῳ δρόμῳ, ὦ ἀδελφοὶ αἰδεσιμώτατοι!

Τί δαὶ περὶ τῆς ἑορτῆς ὑπομνήσωμεν,

---

24 κῶδ. *εἴπομεν*. 28 ἀπόγρ. *σκυτοδευσοῦντος*.

ἄγλωττοι καὶ ἐναγεῖς τυγχάνοντες; ἐπειδὴ καὶ λόγου χρεία καὶ ψυχῆς καθαρότης, πρὸς τὴν τῆς ὑποθέσεως δύναμιν (τὸ γὰρ μὴ καθαρῶς, φησίν, τοῦ καθαροῦ ἐφάπτεσθαι οὐ θεμιτόν), ὅμως ἔλκομαι δι' ὑμᾶς μνήμην καὶ μόνην ἐπενεγκεῖν, ἵνα καθαγιασθῇ, ἐμοῦ μὲν λέγοντος τὸ ταπεινὸν στόμα, ὑμῶν δὲ ἐπαΐουσαι αἱ καλαὶ ἀκοαί. ὁ πανταχοῦ παρὼν Χριστὸς ὁ θεὸς ἡμῶν μεταβαίνει σήμερον σαρκικῶς ἐκ τῆς Γαλιλαίας εἰς τὴν Ἰουδαίαν, πρὸς τὸν ἀοίδιμον Λάζαρον, ἤδη μέλλοντα θνήσκειν· προκατατίθησι γὰρ τὰ τῆς ἑαυτοῦ ἀναστάσεως ἐνέχυρα καὶ προλάμπει τὰς ἀκτῖνας τῆς ἀφθαρσίας διὰ τῆς τούτου ἀναζωώσεως. μεταβαίνοντι δὲ τί φάσκει ὁ τῶν μαθητῶν ἀξιοπιστότερος καὶ ἀξιάγαστος Θωμᾶς, ὁ λεγόμενος Δίδυμος; "ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ". ἴδε πίστεως θερμότητα μαθητοῦ καὶ ὀξύτητος φίλημα! · συνανήγειρεν ὅλον τὸν ἀποστολικὸν ἐκεῖνον χορὸν καὶ παρέθηξεν εἰς εὐτολμίαν ἀνδρικὴν συγκινδυνεῦσαι τῷ διδασκάλῳ!

Ταῦτα οὐχ ὡς ἔτυχεν, οὐδὲ μέχρι τοῦ γράμματος ἵσταται, ἀλλ' εἰς ἡμᾶς διαβαίνειν τὸ ὑπόδειγμα ἱστόρηται, ἵνα καὶ ἡμεῖς συνεπώμεθα τοῖς ἡγουμένοις, κἂν θανάσιμα εἶεν τὰ προκείμενα. ἐπεὶ δὲ διήνυε τὴν ὁδόν, λέγει φανερῶς τοῖς φοιτηταῖς, "Λάζαρος, ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ ἀπέρχομαι ἵνα ἀναστήσω αὐτόν". μέγα, ὅτι ἠξίωται Λάζαρος φίλος καλεῖσθαι τοῦ πάντων δεσπότου. ὦ τῆς ἀῤῥήτου συγκαταβάσεως, εἰς τοσοῦτον ἠκούσης μέτρον ταπεινώσεως, ἵνα φίλον τὸν ἄνθρωπον ὀνομάσῃ. ἐν τῷ Λαζαρικῷ προσώπῳ πᾶν τὸ ἀνθρώπινον ἔκπαλαι διὰ παρακοῆς, διὰ τοῦ πρωτοπλάστου, ἐχθράναν, εἰσποιούμενος καταφιλιάζει, καὶ οἱ ποτὲ μακρὰν ὄντες τῇ διαστάσει τῆς κατὰ ἁμαρτίαν ἔχθρας ἐγγίζομεν ἄρτι τῇ θείᾳ ἀγάπῃ, καὶ οἱ τὴν ἐπίκηρον καὶ θνητὴν ζωὴν λαχόντες ἀθανατιζόμεθα τῇ τοῦ κοινωνήσαντος ἡμᾶς κατὰ φύσιν λόγου θεότητι. "ὁ λόγος γάρ", φησίν, "σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν". ἀλλ' ἀνίωμεν εἰς τὸ προκείμενον.

Εἰσελήλυθε τοίνυν ἐν τῇ Βηθανίᾳ καὶ τὸν ἐν δεήσει κλαυθμὸν Μάρθας τε καὶ Μαρίας ὑπακούσας οἰκτιρμόνως ἐρωτᾷ ὁ ἀληθής, ποῦ τέθειται ὁ θανών; δακρύει ὁ σωτὴρ ἀνθρωπικῶς, δύο φύσεως δεικνὺς τὴν ἀλήθειαν. τῇ γὰρ θεϊκῇ ἐμβριμήσει ἀνακόπτει τὸ δάκρυον. μανθάνει οἰκονομικῶς ὁπόσων ἡμερῶν τὸ ἀποβίωμα καί φησιν, "ὅτι τεταρταῖός ἐστι". παραθαῤῥύνει τὰς πενθούσας, κρατυνομένας ἐν τῇ πίστει· παρακελεύεται τοὺς παρόντας ἀποκαλύψαι τὸν τάφον καὶ ὁ τῆς ζωῆς ταμίας καὶ τῆς πνοῆς διαδότης μεγάλῃ τῇ φωνῇ φησιν "Λάζαρε, δεῦρο ἔξω", καὶ θᾶττον ὁ τεθνηκὼς ἀνίσταται καὶ ὁ σεσηπὼς σεσάρκωται, καὶ ὁ ἄπνους ἐζώωται καὶ τὸ μόνον εἰπεῖν ἔργον νῦν παριστάμενον· ὁ γὰρ εἰπὼν "γενηθήτω φῶς καὶ ἐγένετο", ὡς καὶ ἐπὶ τῶν ἄλλων κτισμάτων, οὕτω καὶ ἐπὶ τοῦδε ἢ μόνον ἐφώνησε καὶ τῇ πλήξει τοῦ φθόγγου ἡ θεϊκὴ ἐνέργεια ἐκ θανάτου εἰς ζωὴν τὸν νενεκρωμένον ἐπανήγαγε. Λαζάρου τοῦ μακαριωτάτου ἑορτάζωμεν τὰ μνημόσυνα, μᾶλλον δὲ τὰ ἐγέρσια, Λαζάρου ἐκείνου τοῦ τριάκοντα ἔτη ζήσαντος, ὡς ὁ λόγος, καὶ ἐπισκοπήσαντος μετὰ τὴν ἀνάζησιν!

Ταῦτα τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐγέρσεως τὰ προαύλια. ταῦτα τὰ κατὰ τοῦ θανάτου προμηνύματα, καὶ χαίρομεν καὶ συγχαίρομεν ταῖς περὶ Μάρθαν καὶ τὸ ἱερὸν τεράστιον ἐξομολογούμεθα· ἀλλὰ καὶ ὡς οἱ παῖδες τοῖς τῶν ἀρετῶν κλάδοις τῇ καρδίᾳ νηπιάζοντες προσυπαντήσωμεν Χριστῷ, εἰσιόντι εἰς τὰ Ἱεροσόλυμα, καὶ προφητικῶς ἀνακράξωμεν· "χαῖρε, πόλις Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται πραΰς, ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου", τὸ τῶν ἐθνῶν ἄλογον, ὡς λόγος, ὑποτάξων, καὶ δαβϊτικῶς μελῳδήσωμεν· "ὡσαννὰ ἐν τοῖς

13 κῶδ. *ἐνέχειρα*. 17/19 Ἰωάν. ια', 16. 19 κῶδ. *θερμότης*. 29/31 Ἰωάν. ια', 11.

1 Ἰωάν, α', 14, 16. 8 Ἰωάν. ια', 34, 35. 12 Ἰωάν. ια', 40. 17 Ἰωάν. ια', 43, 44. 21 Γενέσ. α', 3. 26 κῶδ. *ἑορτάζομεν*. 38/40 Ματθ. κα', 5. Ζαχαρ. θ', 9. 42 Ψαλμ. ριζ', 25, 26. Ματθ. κα', 9. Μαρκ. ια', 10.

ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου" ἐπὶ τὸ πάθος τὸ ζωηφόρον καὶ ἑκούσιον. ἐνταῦθα σταίημεν τῆς κατηχήσεως, εὐχαριστοῦντες τῷ δι' ἡμᾶς δεδωκότι τὴν μακρὰν ὑπόμνησιν, αὐτῷ Χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΘ'.

Περὶ τοῦ σωτηρίου πάθους καὶ περὶ ὁμονοίας.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, εὔθυμός εἰμι τῷ πνεύματι καὶ ἔδωκέ μοι ὁ κύριος πασχάζειν ἐν ἀγαλλιάσει, ἀποσκευασαμένῳ τὸ λυπηρὸν τῆς ταλαιπώρου μου ψυχῆς, χάριν τοῦ ἀδελφοῦ ἡμῶν καὶ ἡγουμένου Τῶν Καθαρά· τῷ ὄντι γὰρ "περίλυπός εἰμι ἕως θανάτου", σχεδὸν εἰπεῖν, διαναβαλλομένου αὐτοῦ καὶ ἀποσειομένου τὸ ἐγχρινόμενον ἡμῖν θεοπρεπῶς καὶ σωτηρίως. καὶ ὅρα τῆς ὑπακοῆς ἡλίκον ἐστὶ καὶ οὐράνιον τὸ κατόρθωμα, ζωῆς αἰωνίου ἐφόδιον, ὥσπερ καὶ τὸ ἐναντίον τῆς παρακοῆς φέρον εἰς κίνδυνον. ἐκεῖνον μὲν οὖν ἡ χάρις τοῦ ἁγίου πνεύματος, εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, σὺν τῇ ὑμετέρᾳ δεήσει, καταρτίσειεν, σθενώσειεν, ὁδηγήσειεν ποιμαίνειν οὐκ ἐν σκεύεσιν ἀπείρου ποιμένος, ἀλλ' ἐν δυνάμει θείᾳ τὸ πεπιστευμένον αὐτῷ ποίμνιον, καὶ δοίη δι' ὁμοψυχίας ἐν ἡμῖν εἶναι καὶ εἰς ταὐτὸ ζῆν, καθὼς κέκριται.

Ὑμᾶς δὲ ποίοις λόγοις παρακαλέσομεν, ὦ τέκνα πολυπόθητα, καὶ τίσιν ὑπομνήμασι λαλήσομεν τὰ τῆς παρούσης ἡμέρας; ἤδη τὸ κατὰ τοῦ κυρίου συμβούλιον συναθροίζεται σήμερον καὶ ἐπὶ τὸ αὐτὸ συνέρχονται ἄρχοντες καὶ λαοὶ συλλαβέσθαι τὸν δίκαιον, καὶ ἀνθ' ὧν ὤφειλον ὡς εὐεργέτῃ ἀμείβειν τὰ κράτιστα, ὑπὲρ τούτων ἐπέρχονται ὡς κύνες λαβεῖν αὐτόν. ψυχὴ γὰρ ἐπίφθονος καὶ βασκαίνουσα μᾶλλον ἀγριαίνει ταῖς θεραπείαις, ἕως ἂν εἰς αὐτὸ φθάσῃ τὸ θανατῶσαι τὸν εὐεργετήσαντα. ἐλεεινὸν δέ, ὅτε καὶ μαθητὴς συνεπιτίθεται τοῖς κακοῖς καὶ τὸν διδάσκαλον ἐνεδρεύεται. τοιοῦτός ἐστιν ὁ παράφρων Ἰούδας. λαμπτὴρ ὢν ἐσκοτίσθη· ἐν ὑψηλῇ πολιτείᾳ ὑπάρχων ἔπεσεν ὡς ὁ Ἑωσφόρος· ὁ πρὶν ἰώμενος νῦν ἐτραυματίσθη· ὁ ἔχων τῆς ἀποστολῆς ἀξίωμα τὸ τῆς ἀποστασίας περιβόλαιον ἐνδύεται. ὁ τῶν ἀπορρήτων μυστηρίων ὑποδοχεὺς ἄρτι τῶν διαβολικῶν βουλευμάτων ὑπουργὸς καθίσταται. φεῦ τῆς ἀπανθρωπίας! ἄβαλε τῆς ἀβελτηρίας αὐτοῦ! ἆρα πῶς λήθαργος κατέστη τῶν τηλικούτων κατορθωμάτων; ἆρα πῶς προήχθη εἰς τοιαύτην τόλμαν; ἀλλ' ὅμως ἡ πονηρία πάντα πράττειν οἶδε, καὶ διαστρέψασα τὸ νοερὸν τῆς ψυχῆς κατ' ὀλίγον εἰς ἀλογίαν περιτρέπει τὸν ἄνθρωπον. διὰ τοῦτο λυττᾷ κατὰ τοῦ δεσπότου ὁ τάλας καὶ μεγαλύνει ἐπ' αὐτὸν ψαλμικῶς πτερνισμόν, εἰσιὼν καὶ ἐξιὼν δολερῶς καὶ λόγον παράνομον τιθέμενος κατ' αὐτοῦ καὶ τὴν τοῦ μύρου κένωσιν ὡς ἀτοπίαν καταιτιώμενος. οἷοί εἰσι καὶ οἱ νῦν προδόται τῆς ἀληθείας καὶ τῆς ἱερᾶς ὑποταγῆς διασπασταί, λογύδρια βατταρίζοντες περιδέξια αὐτοῖς καὶ συνήγορα τῆς ἀποστασίας.

Ἀλλ' ὁ μὲν οὕτως κινούμενος καταπριᾶται τὸν ἀτίμητον εἰς ὀλιγοστὰ ἀργύρια, καὶ οὐδὲ τὸ τῆς συνδειπνήσεως αἰδεσθεὶς οἰκείωμα, οὔτε τὸ τῆς διανίψεως ἐκπλαγεὶς ὑπόδειγμα, οὐ μὴν οὐδὲ τὸ τῆς διελέγξεως ἐντραπεὶς πρόσρημα, οὐδ' ὅτι τὸ γλωσσόκομον πεπιστευμένος διαβαστάζειν στέργει, ἀλλ' ἀπορρήγνυται τοῦ χοροῦ τῶν συμμαθητῶν καὶ συνάπτεται τῶν δαιμόνων τῷ ἀρχηγῷ, καὶ ὅλην τὴν σπεῖραν νύκτωρ ἐπιφερόμενος καταλαμβάνει τὸν ποθούμενον τόπον καὶ προδίδωσιν ἐν φιλήματι δολίῳ "τὸν κύριον τῆς δόξης"· ἡμεῖς δέ, ὦ ἀδελφοὶ καὶ τέκνα, μιμηταὶ τῶν λοιπῶν ἀποστόλων γινόμενοι ἀδιάσπαστοι μείνωμεν, καὶ ὁμολογοῦντες ἀποθνήσκειν ὑπὲρ ἐντολῆς, συναποθάνωμεν

---

18 Ματθ. κς', 38. 27 κῶδ. *καταρτήσειεν*. 28 κῶδ. *ποιμένειν*. 31 κῶδ. *ἡμᾶς* 33 κῶδ. *παρακαλέσωμεν*.

20 Ψαλμ. μ', 10. 31 κῶδ. *διανύψεως*. 35 κῶδ. *ἀπορρύγνυται*. 39 Κορινθ. 1, β', 8. 41 κῶδ. *γενόμενοι*.

αὐτῇ, ἐν μηδενὶ πτυρόμενοι ταῖς τῶν τινῶν ἀπορρήξεσι, μᾶλλον δὲ λακίσεσιν· ὡς γὰρ ἐκεῖνος καὶ αὐτοὶ διὰ φιλαργυρίαν καὶ φιλοδοξίαν ἀπαγχονίζονται. καὶ οὕτω μὲν τὰ τῆς προδοσίας ἀπήρτισται, ὁ δὲ Χριστὸς ἡμῶν καὶ κύριος ὁπόσα καὶ πηλίκα ὑπὲρ ἡμῶν οὐ πέπονθεν, ἑλκόμενος καὶ περιδονούμενος ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως ὑπὸ τοῦ φονῶντος ὄχλου, εἶτα παρεστὼς τῷ ἀνόμῳ Καϊάφᾳ, ἐρωτώμενος, διελεγχόμενος, ἐρεσχελούμενος, ἐμπαιζόμενος ῥαπιζόμενος, ἀπαγόμενος, ἀποδιδόμενος Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι; κἀκεῖσε διανόει μοι τοὺς φυλακισμούς, τοὺς ἀνετασμούς, τὰς ἐπερωτήσεις, τὰς ἀποφάσεις, τὰς κατακραυγὰς τοῦ "αἶρε, αἶρε, σταύρωσον αὐτόν", τῶν Ἰουδαίων τὰς ἐξαιτήσεις, τῶν λεγόντων "τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν", τὴν κατ' αὐτοῦ βαφὴν τοῦ Πιλατικοῦ καλάμου, τὴν φραγέλλωσιν, τοὺς κολαφισμούς, τοὺς ἐμπτυσμούς, τὴν παικτὴν πορφύρωσιν καὶ στεφάνωσιν, τὴν ὀνειδιστικὴν γονυπέτησιν καὶ κατὰ κεφαλῆς πυγμὴν τῶν γελαστικῶς ἐπιβοώντων "προφήτευσον ἡμῖν τίς ἐστιν ὁ παίσας σε"; τὸν προπηλακισμόν, τὸν συνωθισμόν, τὸν θορυβασμόν, τὸν ἐπικροτασμὸν τοῦ παντὸς κατ' αὐτοῦ μιαρωτάτου ὄχλου· εἶτα τὴν σταύρωσιν, τὴν τῶν ἁγίων χειρῶν καὶ ποδῶν καθήλωσιν, τὸν τῶν ἱματίων διαμερισμόν, τὸν ἐπιτωθασμὸν καὶ ὑβρισμὸν τῶν παραπορευομένων καὶ λεγόντων "εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. οὐά! ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι". τὰ λοιπὰ ἐπιγελάσματα καὶ κατεμπαίγματα καὶ καταλαλήματα, τὴν λόγχευσιν, τὴν τῆς χολῆς ἀπόγευσιν τὴν νέκρωσιν καὶ ὅσα τούτοις ἄλλα συνέπονται καὶ συμπέπρακται.

Ὑπὲρ τούτων ἁπάντων τί ἡμεῖς συνανοίσομεν οἱ κατάκριτοι τῷ ὑπὲρ ἡμῶν πεπονθότι καὶ ταφέντι καὶ ἀναστάντι; τὸ "ποτήριον σωτηρίου λήψομαι" μετὰ τοῦ Δαβὶδ "καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι". διὰ τοῦτο φθαζούσης τῆς ἁγίας ἀναστάσεως προσέχωμεν ἀκριβῶς, καὶ τὴν μὲν ἑορτὴν ἑορτάσωμεν λαμπρῶς καὶ θεϊκῶς—πάσχα γάρ ἐστι, πάσχα τῶν τῆς θείας οἰκονομίας δωρεῶν τὸ πρῶτον καὶ μέγιστον—, τὸ δὲ σῶμα περικρατήσωμεν εὐλαβῶς καὶ κἂν ὑπαλλάξωμεν τὰ βρώματα, ἀλλὰ μὴ ἀνθυπαλλάξωμεν τὰ καταστήματα. πῶς δὲ ἔσται τοῦτο; ἐὰν σωφρόνως καὶ μετρίως καὶ οἴνου ἀπογευσώμεθα, καὶ ἐλαίου καὶ ὄψου ἀπολαύσωμεν καὶ τῶν ἄλλων παραθεμάτων. ὃ μέν, συμβουλεύω, ἀρκείσθω μιᾷ κράσει, ἢ δύο μόνον, ἕνεκα τοῦ διαλῦσαι, ὃ δὲ καὶ τρεῖς πινέτω, ἀσθενέστερος ὢν καὶ λιχνωδέστερος. τὸ δὲ ὑπὲρ τοῦτο οὐ τῶν ὑγιαινόντων, ἀλλὰ τῶν ἀσθενούντων, οὐδὲ τῶν ἐγκρατῶν, ἀλλὰ τῶν ἀκρατῶν. καὶ βλέπε, ποῦ φέρει· εἰς ἐμπλησμὸν καὶ κόρον ὕπνου. καὶ τί ὁ προφήτης; "ἔφαγε", φησί, "καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος". μιμνήσκου καὶ Σοδομιτικὸν πῦρ, λάμβανε καὶ τὸν πολυοινήσαντα Λὼτ καὶ ἀσελγήσαντα ἐν ταῖς θυγατράσιν. ἀναθεώρησον καὶ τὸν γυμνωθέντα Νῶε τῇ ἀπειροποσίᾳ. ἀνάγκη γὰρ τὸν νοῦν ἀδρανῆ τυγχάνοντα μὴ οἷόν τε ἀντισχεῖν πρὸς τὰς ἀοράτους παλαίστρας, ἀλλ' εὐθὺς γέλωτος ἀφορμαί, θεωρίαι ἐμπαθεῖς, συλλήψεις λογισμῶν, ἀποκυήσεις φθορῶν κατά τε ψυχήν, κατά τε τὰς ἐκκρίσεις. καὶ ὀκνῶ τὰ ὑπὲρ ἐκεῖνα λέγειν, ἐπειδὴ κακῶν διδασκάλων, ὡς ὁ Θεολόγος, κατὰ τὰ μαθήματα, μᾶλλον δὲ πονηρῶν γεωργῶν πονηρὰ τὰ γεώργια.

Ταῦτα δὲ προκατηχῶ ὑμῖν, ἵνα ἀσφαλίσησθε, τέκνα, ἵνα μὴ κενώσητε τοὺς τεσσαρακοστικοὺς καμάτους, ἵνα μὴ ἀπολέσητε τοὺς πολυδρόμους πόνους ἐν μιᾷ καιροῦ ροπῇ, δι' ἀμετρίαν καταβαπτιζόμενοι καὶ κατακινδυνεύοντες ἐν τῷ πελάγει τῆς ἁμαρτίας (μετὰ γὰρ τῆς τῶν βρωμάτων ἀλλοιώσεως ἐστι καὶ ὁ χρόνος συναλλοιούμενος. εἴσεισι γὰρ τὸ ἔαρ, κινεῖται τὸ σῶμα, βρύουσιν αἱ

15/16 Ἰωαν. ιθ', 15. 17 Ματθ. κζ', 25. 20 κῶδ. *φραγγέλωσιν*. 24 Ματθ. κς', 68. 31/33 Ματθ κζ', 40, 41. 38 κῶδ. *συνανοίσωμεν*. 41/42 Ψαλμ. ριε', 4.

11 κῶδ. *παραθημάτων*. 18 κῶδ. *τούτου*. 19/20 Δευτερ. λβ', 15. 21 Σοδομιτικὸν πῦρ] Γενέσ. ιθ', 24, 25. 22 Γενέσ. ιθ', 32-38. 23/24 Γενέσ. θ', 20-24.

πηγαὶ δαψιλώτερον, βράζει περισσοτέρως καὶ τὸ αἷμα, φύουσι τὰ ἄνθη, συναύξουσι καὶ τὰ βλαστήματα τῶν παθῶν. καὶ προσέχετε διὰ τοῦτο, παρακαλῶ, ὑπομνήσκω), ἀλλ' ἵνα ἐν τάξει καὶ πρὸς χρείαν καὶ φάγωμεν καὶ πίωμεν, καὶ κοιμηθῶμεν καὶ διεγερθῶμεν, καὶ ὁμιλήσωμεν καὶ προσχαριούμεθα, φεύγοντες τοὺς ἐπικρυπτοτέρους τόπους καὶ ἀφιδιαστικωτέρους καὶ τὸ δύο δύο συνευρίσκεσθαι, μάλιστα ἐπὶ ἀρχαρίων καὶ ἀγενείων. καὶ ἐὰν οὕτω πολιτευσώμεθα, οὐ διαλείψομεν καθ' ἡμέραν ἑορτάζειν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Λ'.

Περὶ τοῦ μὴ γογγύζειν ἐν ταῖς στενώσεσι τῶν σωματικῶν χρειῶν.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, ἔργον ἡμῖν ἐστι τοῦτο καὶ ἀγὼν ἀκαταπόνητος, τὸ ἑκάστοτε λαλεῖν καὶ ὑπομνήσκειν καὶ παρακαλεῖν ὑμᾶς ἐν τῇ ὑπομονῇ τῆς κατὰ θεὸν ὑμῶν ζωῆς. εἰ γὰρ οἱ ποίμνης ἐπιστατοῦντες ἀλόγου, ἀγρυπνίας καὶ ἀδολεσχίας καὶ μερίμνας κατὰ τὸ ἀναγκαῖον ἀναλαμβάνουσιν, ἄγοντες καὶ διεξάγοντες τὰ ἐμπιστευθέντα αὐτοῖς θρέμματα, πόσῳ γε μᾶλλον ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίως λαχοῦσι τὸ ἄρχειν ὑμῶν τῶν προβάτων τοῦ Χριστοῦ ἄϋπνον ἔχειν τὸ τῆς ψυχῆς ὄμμα καὶ τῇ τοῦ λόγου προσφωνήσει ὡς οἷόν τινι σύριγγι προσλαλεῖν καὶ προσφθέγγεσθαι τὰ δέοντα καὶ συμφέροντα, καὶ μέντοι πόνους καὶ θλίψεις καὶ στενοχωρίας ἀνατλᾶν ὑπὲρ τοῦ εὐτρεπίζειν καὶ χορηγεῖν ὑμῖν τὰ ἐδώδιμα ἀμφοτέρωθεν; ἐπεὶ δὲ οὕτως τὰ καθ' ἡμᾶς ἀπαιτεῖται, οὔτε ὑμῖν ὁ λόγος ἐᾷ οὕτως ἁπλῶς ὡς ἔτυχεν ἀποφέρεσθαι, ἀλλὰ προσεκτικῶς ἐπαΐέναι τῆς ταπεινῆς φωνῆς ἡμῶν. "τὰ πρόβατα γάρ", φησί, "τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει", ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.

Τί δὲ ταῦτα οὕτως προοιμιασάμην ὑμῖν; καί γε μὴ βαρέως ἐνέγκοιτε τὸ λεγόμενον, ὅτι τινὲς ἐξ ὑμῶν τοῖς χείλεσί με εὐλογοῦσιν, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. διατί; ὅτι ἐπειδή περ στενώσεως ἐπισυμβάσης ἡμῖν ἐν ταῖς σωματικαῖς χρείαις ἐκ τῆς τῶν προλαβόντων χρόνων ἀφορίας, ἔκ τε τῆς ἐπισυναγωγῆς τῶν ὑπὸ θεοῦ πεμπομένων ὡς ἐκ πελάγους ἐν τῷ λιμένι τῆς ἀποταγῆς εἰς σωτηρίαν, ἔκ τε ἄλλων πολλῶν καὶ διαφόρων ξενοδοχιῶν καὶ διανομῶν, καθ' ὅ ἐσμεν ἐν τῇ Βασιλευούσῃ πόλει ταύτῃ, εἶτα πρὸς ταῦτα κατηχησάντων ἡμῶν καὶ ἐκλαλησάντων τὸ ἐνὸν ἡμῖν λυπηρὸν καὶ φροντιστικὸν καὶ μεριμνητικὸν πρὸς τὸν ἐνιαυσιαῖον τῶν χρειῶν πορισμόν, ἐκλιπαρησάντων τε καὶ δυσωπησάντων ὀρέξαι χεῖρα καὶ διεγερθῆναι ἕκαστον καὶ κινῆσαι τὰς ἰδίας χεῖρας ἐπεξεργαστικώτερον, καθ' ἣν ἐντέτακται διακονίαν, καὶ μὴν ὑπομνησάντων, ὅτι πάντως συμβαίνει ζητοῦντας ἡμᾶς τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν πορεύεσθαι, ἐν ᾗ θλίψεις καὶ στενοχωρίαι, πεῖνα καὶ κόποι καὶ ἀγρυπνίαι, γυμνότης καὶ ταλαιπωρία καὶ εἴτι ἄλλο τῶν τοιούτων, προσθέντων, ὅτι τάχα καὶ δοκιμάζων ὁ θεὸς τὸν πρὸς αὐτὸν ἡμῶν πόθον, εἰ ἐγκαρτερῶμεν ἐν τοῖς λυπηροῖς, παραχωρεῖ πειράζεσθαι ἡμᾶς πρὸς μικρόν, οὐ μᾶλλον ὡς νῦν δέον καὶ ὀφειλόμενον καὶ χρεωστούμενον ἀπεφάνθητε, ἀλλὰ τοῖς μὲν χείλεσιν, ὡς προείρηται, ἀπελογίσασθε καὶ ἀπευχαριστήσατε· μετὰ δὲ ταῦτα, ἐπειδὴ οὐ καρδίαν πρὸς θεὸν ἐσχήκατε ἀληθινήν, διεγογγύσατε καὶ ἐδυσφορήσατε καὶ κατεξανέστητε οὐ κατὰ Μωσέως τινὸς (ηὐλαβήθητε γάρ, εἴπερ οὕτως ὑπελαμβάνετε), ἀλλὰ κατ' ἐμοῦ τοῦ μόνου ἁμαρτωλοῦ, ἐπιλέγοντες "διατί τοσούτους ἐπισυνάγει, οὓς οὐ δύναται θρέψαι; καὶ τίς χρεία τῆς ἀνάγκης ταύτης καὶ τίς αὐτὸν ἀναγκάζει ὑποδέχεσθαι τοσοῦτο πλῆθος";

Διὸ πρὸς ταῦτα ἀναγκαῖον ἀντιφθέγξασθαι καὶ τὸ δικαίωμα τοῦ θεοῦ ἀναγγεῖλαι, καὶ

11 κῶδ. *διαλείψωμεν*. 34 κῶδ. *χωρηγεῖν*. 39 Ἰωάν. ι', 27.

22/24 Ματθ. ζ', 13, 14.

τὴν ῥομφαίαν τὴν ἐρχομένην ἐπὶ τοὺς τοιούτους, πρὸς τὸ μὴ ἐκζητηθῆναι ἐκ χειρῶν μου βεβήλων τὸ αἷμα τῆς ἀπωλείας αὐτῶν. οὗτοι γὰρ πρῶτον μὲν οὐχ ὡς υἱοὶ γνήσιοι κοινωνικῶς ἔφησαν, διατί δεχόμεθα, ἀλλ' ὡς τέκνα μωμητὰ καὶ ἀλλότρια "διατί δέχεται" εἰπόντες, ὑπεξαιροῦντες ἑαυτοὺς τῆς κοινωνίας καὶ ὁμοψυχίας μου. ἔπειτα, εἰ καὶ οὕτως ἔφησαν, καταγνωστοὶ καὶ ὑπεύθυνοι, ὅτι, κατὰ τὸ ψαλλόμενον, "κατελάλησαν τοῦ θεοῦ καὶ εἶπον, μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν" τῷ τοσούτῳ πλήθει; καὶ μὴ ἐγώ εἰμι ὁ ἐπιχορηγὸς τῶν τροφῶν, ἢ ὁ τοὺς καρποὺς φέρων, ἢ ὁ τὰς ἀποθήκας πληρῶν, ἢ πάλιν ἐξ ἰδίας αἱρέσεως καὶ αὐθεντίας εἰσδεχόμενος τοὺς προσερχομένους καὶ αὔξων τὴν ἀδελφότητα; οὐκ αὐτός ἐστιν ὁ κύριος καὶ θεὸς καὶ τροφεὺς παντὸς τοῦ κόσμου, ὁ ἀνοίγων τὴν χεῖρα καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας, ὁ λέγων ὅτι "ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν"; εἶτα πρὸς τοὺς ὀλιγωροῦντας "ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι"; ἔπειτα διά τινος σοφωτάτου "ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε, τίς ἐνεπίστευσεν κυρίῳ καὶ κατησχύνθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν"; εἶτα αὖθις διὰ τοῦ Εὐαγγελίου "πάντα τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω"· καὶ πάλιν "ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν", καὶ ὅσα ἕτερα συνάδοντα τοῖς προειρημένοις.

Τί λοιπὸν κινεῖσθε κατ' ἐμοῦ τοῦ ταλαιπώρου καὶ γλωσσαλγεῖτε καὶ μωρολογεῖτε; ἀλλ', ὡς ἔοικεν, Ἰσραηλῖταί τινές ἐστε λυτρωθέντες ἐκ χειρὸς Φαραὼ τοῦ ἀοράτου καὶ ἐκ τῆς πικρᾶς πλινθουργίας τῶν παθῶν καὶ τῆς σκοτεινῆς Αἰγύπτου, τῆς κοσμικῆς ματαιότητος, εἶτα ἐν τῇ διελεύσει τῆς ἀσκητικῆς καὶ θλιπτικῆς διαγωγῆς, ἐπισυμβαινόντων τινῶν στενοχωριῶν, οὐκ εὐχαριστοῦντες θεῷ, οὐκ ἀποδιδόντες αἶνον δοξολογίας, ὡς ἂν διὰ τῆς τοιαύτης ὑμῶν ἀγαθῆς διαθέσεως ἔλθοι τὰ ἐπιδεόμενα ὑπὸ τῆς προνοίας, ἀλλὰ καταγογγύζοντες καὶ οἷον φάσκοντες "ὤφελεν ἀποθανεῖν ἡμᾶς ἐν Αἰγύπτῳ", ὑπομιμνησκόμενοι καὶ λεβήτων, κρομμύων τε καὶ σκορόδων, ἃ ἔξεστιν ὑπολαβεῖν ὡς αἱρεῖται ἕκαστος, ἐν οἷς ἦν ἐν τῷ κόσμῳ. ἀλλὰ τί οἱ τότε πεπόνθασι, συνιεῖτε οἱ ἀναγινώσκοντες· οὐδεὶς γὰρ αὐτῶν εἰσαχθῆναι ἠξιώθη εἰς τὴν γῆν τῆς κληρονομίας, ἔπεσον δὲ τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ, καθὼς γέγραπται. φοβοῦμαι τοίνυν, ὦ τέκνα, μὴ τὸ αὐτὸ πάθωμεν καὶ ἡμεῖς, τὰ αὐτὰ πράσσοντες. καὶ τότε μὲν νηπιότης τῆς σκιᾶς καὶ τοῦ νόμου, νῦν δὲ ἡ τελειότης τῆς χάριτος καὶ ἀληθείας τοῦ Χριστοῦ. καὶ τοῦτο πάλιν οὐκ ἐπὶ τῶν λαϊκῶν, ἀλλ' ἐφ' ἡμῶν τῶν ἀναδραμόντων εἰς τὸ ὕψος τῆς ἀγγελικῆς πολιτείας. ποῦ ποτε ἐφάνη ἐπὶ τῶν ὁσίων πατέρων ἡμῶν τοιοῦτος διαγογγυσμός; ἢ τίνα ἐκεῖνοι ἀπώσαντο εἰσδέξασθαι θέλοντα σωθῆναι ἐν τοῖς κοινοβιακοῖς, χάριν στενώσεως σωματικῆς; ἀλλ' οὐχὶ μᾶλλον καὶ παντὶ ἀνέῳκτο ἡ θύρα αὐτῶν, οὐ λέγω τῷ βουλομένῳ ἀποτάξασθαι, ἀλλὰ καὶ τῷ ἁπλῶς ἐπιδεομένῳ πτωχῷ, διαθήκας καὶ μετὰ κοίμησιν αὐτῶν ἁγίας διαθέμενοι ἐπὶ τούτοις;

Οἴδατε τὰ τοῦ μεγάλου φωστῆρος ἡμῶν Εὐθυμίου. διαγινώσκετε τὰ τοῦ ἁοιδίμου πατρὸς ἡμῶν Σάββα καὶ Θεοδοσίου, τοῦ τρισμακαρίστου Παχωμίου. ἆρά γε ἐπισυμβέβηκεν αὐτοῖς στένωσις; καὶ μάλα καὶ πολλαχῶς, ὡς τὸν μὲν ἐν τῷ πάσχα μηδὲ τὴν ἁγίαν προσφορὰν ἔχειν, τὸν δὲ καὶ τὰ κειμήλια

---

3 κῶδ. *ἀπολείας.* 5 κῶδ. *κοινονηκῶς.* 10/12 Ψαλμ. οζ', 19. 19 ἀνοίγων - εὐδοκίας] Ψαλμ. ρμδ', 16. 20/23 Ματθ. ς', 33. 24/27 Ματθ. ς' 26, 30 || κῶδ. *ἡμῶν.* 29/33 Σειρὰχ β', 10. 32 κῶδ. *ἐγκατελήφθη.* 34 Ἰωάν. ς', 38. 35 κῶδ. *ἐκβάλλω.* 35/37 Μάρκ. ι', 14.

5 ἐπισυμβαινόντων] οὕτως ἐν τῷ κώδικι. 11 Ἐξόδου ις', 3. 12 κῶδ. *ὑπομημνυσκόμενοι.* 17/19 Ἀριθ. ιδ', 29, 32. 22 Κολασ. β', 17. Ἑβρ. ι', 1. 32 κῶδ. *ἀνέωκτω·*

ἐπιδοῦναι εἰς διάπρασιν, πρὸς τὸ μὴ διαπεσεῖν τὸ κροῦμα, εἰ καὶ οὐ γέγονε διὰ τὴν ταχεῖαν τοῦ θεοῦ ἐπίσκεψιν. καὶ γοῦν ἑκατὸν νομισμάτων ἐπαγορασίαν σίτου κατὰ ἀνάγκην ἐποιήσατο ὁ μέγας Παχώμιος, καὶ οὕτω πολυμερῶς καὶ πολυτρόπως ποτὲ μὲν εὐθυνοῦντο, ποτὲ δὲ ἐστενοῦντο, καὶ ἀμφοτέρωθεν εὐχαρίστουν καὶ ὑπέμενον τὰ ἀληθινὰ τέκνα καὶ συνέπασχον τοῖς πατράσιν ἐν χαρᾷ καὶ ἀγαλλιάσει· οἱ δὲ μὴ οὕτως ἔχοντες καὶ τότε καὶ νῦν πίπτουσιν ἐν κατάρᾳ καὶ ἀπωλείᾳ. διὰ τοῦτο προσεκτέον, ὦ τέκνα καὶ ἀδελφοί, καὶ ἐπιμνήσθητε ὅτι ὑμεῖς αὐτοὶ οἱ διαγογγύζοντες οὐκ ἐξ οἰκείας ὑμῶν ἐργασίας τὴν τροφὴν πορίζεσθε, καὶ ὅτι ἐληλυθότες ἐνταῦθα μηδὲν ἐπιφερόμενοι ἤκετε, καὶ ὅτι οὐκ ἀπεστράφητε, δι' ἣν αἰτίαν προβάλλεσθε, εὐχαριστήσατε καὶ αἰνέσατε τὸν θεόν τε καὶ ἡμᾶς.

Πῶς οὖν, ὦ ἄφρονες, ὃ πεπόνθατε, οὐκ ἐπιδείκνυσθε ἐν ἄλλοις, καὶ οὗ ἀπελαύσατε δώρου, οὐ μεταδίδοτε ἑτέροις, ἄφιλοι, ἀσυμπαθεῖς, ἄστοργοι; κύνας ἀλόγους εἰ προσεδεχόμεθα λιμοκτονουμένους, ἀποδοχῆς ἦμεν ἄξιοι—"δίκαιος γάρ", φησίν, "οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ"—, οὐχὶ ἀνθρώπους λογικούς, τῆς αὐτῆς ἡμῖν φύσεως κοινωνοῦντας, ἀδελφοὺς ἡμῶν ὑπάρχοντας, ἐκ ναυαγίου εἰς λιμένα λιπαροῦντας εἰσαχθῆναι, ἐξ ἀπορίας εἰς σωτηρίαν, ὑπὲρ ὧν Χριστὸς ἀπέθανεν· ἀλλ' οὐδὲν τῶν τοιούτων ἐν τοῖς ἄφροσι διανενόηται. καὶ τὰς ἐντολὰς οὖν φυλάττειν με ἀγαπᾶτε καὶ διαλαλεῖτε καὶ ἐπαγγέλλεσθε ἀποθνήσκειν μετ' ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματος κυρίου, καὶ ἐπὶ μικρᾷ στενοχωρίᾳ ἀνανεύετε καὶ ἀναδύεσθε· διατί μὴ μᾶλλον ἀναγκάζετέ με, ἵνα μηδεὶς ἐκ τῶν ἐρχομένων πτωχῶν ἀναχωρῇ ἄνευ τοῦ χορτασθῆναι καὶ πεποκέναι οἶνον, καὶ λαβεῖν τινα ἐπιζητούμενα, ὑποδεικνύοντες τὴν ἐκ τῶν χειρῶν ὑμῶν μεγίστην πρόσοδον καὶ τὸ ἐκείνους πληροῦσθαι διὰ τῆς ὑμῶν ὀλιγαρκίας, ἀλλὰ καὶ χορτάζεσθαι θέλετε καὶ ἐμπιπλᾶσθαι καὶ διφαγεῖν, ἐπεὶ καὶ τριφαγεῖν, ὀψαροφαγεῖν τε συχνοτέρως, ἐλαιοφαγεῖν τε καὶ οἰνοποτεῖν ἐν κρασοβολίοις οὐ δύο καὶ τρισίν, ἀλλὰ καὶ πρός, ὃ παρὰ τοῖς πατράσιν ἀπείρηται, καὶ μάλιστα ἐν τοῖς ὑγιαίνουσι, καὶ ἐκεῖνα πάλιν δογματίζετε ὡς ἄλογοι; καὶ οὐ συμβαίνει ἀμφότερα· "οὐδεὶς γὰρ δύναται", φησί, "δυσὶ κυρίοις δουλεύειν", γαστριμαργίᾳ φημὶ καὶ φιλοθείᾳ. ἀλλ' "ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ" τοῦ μὴ ἐπιγνῶναι ἐπὶ πᾶσι τοῖς τε ὑπὸ τῶν ἁγίων πατέρων ἐνταλθεῖσι καὶ ὑφ' ἡμῶν τῶν ἁμαρτωλῶν ὑπομνησθεῖσιν, ὅτι οὕτως δεῖ ἡμᾶς παθεῖν καὶ "διὰ πολλῶν θλίψεων εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν", τοιγαροῦν μετάγνωτε καὶ μετανοήσατε, ὅτι ἡμαρτήσατε καὶ ἐπλημμελήσατε ἐνώπιον κυρίου μεγάλως· ἐγὼ γὰρ ὁ τάλας οὐκ ἀπευδοκῶ, οὐδὲ ἀπαναίνομαι, ἀλλ' ὡς ἤδη ἀρχὴν βάλλων ἐν ἐπιθυμίᾳ πολλῇ καὶ ζεούσῃ καρδίᾳ καὶ εἰσδέξομαι πάντα τὸν ἐρχόμενον (οὐκ ἐγώ, ἀλλ' ὁ ἐντειλάμενος θεός, ἔπειτα καὶ αὐτοὶ μετ' ἐμοῦ· ἓν γάρ ἐσμεν οἱ πάντες), τὸν γυμνὸν ἐνδιδύσκων καὶ τὸν ψυχούμενον θάλπων, τὸν ἀνυπόδετον ὑποδύων καὶ τὸν ἄστεγον εἰσάγων, καὶ τὸν πεινῶντα τρέφων καὶ τὸν διψῶντα ποτίζων· ταῦτα ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν λύτρον, πεποιθὼς ἐπὶ ταῖς ἀψευδέσιν αὐτοῦ ἐπαγγελίαις, ὅτι οὐχ ὑστερήσει οὐδὲ λιμοκτονήσει ψυχὰς δικαίων, οἷοί περ ἐστὲ ὑμεῖς (οὐ γὰρ πάντας ἠτιασάμην) οἱ ἀγόγγυστοι, οἱ χαίροντες ἐν ταῖς ἐκπληρώσεσι τῶν ἐντολῶν τοῦ θεοῦ, ἐν τῷ πληθυσμῷ τῆς ἀδελφότητος, οἱ ἐγκαρτεροῦντες ἐν ταῖς δοκιμασίαις τοῦ θεοῦ, οἱ πάντα προϊέμενοι καὶ μέχρι θανάτου ὑποστήκοντες, ἢ εἴπερ ἀνεχόμενοι παριδεῖν ἡμᾶς μίαν καὶ μόνην ἐντολὴν τῶν γεγραμμένων, δι' ἧς ἕωλοι καὶ αἱ λοιπαὶ γίγνονται· "ὁ γὰρ ὅλον τὸν νόμον τη-

12 κῶδ. *προσεκταῖον*. 19 κῶδ. *ἠνέσατε*. 25/26 Παροιμ. ιβ', 10. 42 κῶδ. *ὀλιγαρκείας*.

2 κῶδ. *συχνωτέρως*. 7/8 Ματθ. ς', 24. 9/10 Λουκᾶ κδ', 25 14/15 Πράξ. ιδ', 22. 24 κῶδ. *ἐνδιδύσκον*. 29 λύτρον] Ματθ. κ', 28. Μάρκ. ι', 45. 32 λιμ. ψυχὰς δικαίων] Παροιμ. ι', 3. 38 κῶδ. *ὑποστίκοντες*. 41 Ἰακώβου β', 10.

ρῶν, πταίων δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος", καθὼς γέγραπται.

Ἐπιβλέψατε τοίνυν (πρὸς ὑμᾶς γὰρ πάλιν ἐπιστρέφομαι, ὦ ἀπαίδευτοι) ποσάκις ἡμᾶς ὁ θεὸς ἐξ ἀναγκῶν ἐῤῥύσατο καὶ πηλίκας αὐτὸς εὐεργεσίας ἐνεδείξατο διὰ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν. οὐχὶ δέδωκε καὶ σίτους καὶ οἴνους ἐν καιρῷ στενοχωρίας; οὐχὶ ἐκίνησεν ἀνθρώπους καὶ διήνοιξεν αὐτῶν τὰς ἀποθήκας εἰς τροφὴν ἡμῶν; οὐχὶ μέχρι τοῦ παρόντος ἀπὸ χωρῶν καὶ νήσων καὶ ἐξ ἀλλοδαπῶν πόλεων πέμπονταί ἡμῖν, ὡς οὐκ ἐσμὲν ἄξιοι, εὐλογίαι τινές, μέλιτα, ἔλαια, τυρός, σκεπάσματα, ἱμάτια, χρυσίον, ἐξ ἐπισκόπων, ἐξ ἀρχόντων, ἐξ αὐτῶν τῶν τὰ διαδήματα περικειμένων; οἴδατε τὰ ἐπὶ τῆς παρελθούσης βασιλείας ὅσα καὶ πηλίκα, οἴδατε καὶ τὰ ἐπὶ τῶν παρόντων εὐσεβῶν βασιλέων ἡμῶν. καὶ ὅτε μὲν αἱ δωρεαί, εὐχάριστοι καὶ φιλέντολοι καὶ προθυμητικοὶ μέχρι θανάτου· ὅτε δὲ αἱ ἐλλείψεις, βλάσφημοι καὶ γογγυσταὶ καὶ μεμψίμοιροι. καὶ ταῦτα οὐ κωμῳδεῖν ὑμᾶς θέλων λελάληκα, ἀλλά, καθὼς ὑπήχθητε, ἵνα διὰ μικροῦ ὀνειδισμοῦ ἐξαιρεθῆτε τῶν αἰωνίων βασανιστηρίων. συγχωρήσει τοιγαροῦν ὑμῖν ὁ κύριος καὶ πρὸς τὸ ἐξῆς ἀσφαλεστέρους ἀπεργάσεται, ἵνα πάντα φέροντες, τὰ πάντα ὑπομένοντες σὺν τοῖς λοιποῖς ἀδελφοῖς ὑμῶν, τὸν τῆς δικαιοσύνης στέφανον ἀπολάβητε ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΑ'.

Ὅτι χρὴ προσέχειν ἑαυτοῖς ἐν τοῖς διαφόροις βρώμασι, καὶ περὶ ἐγκρατείας.

Ἀδελφοί μου καὶ πατέρες· ἐὰν καθ' ἑκάστην ἡμέραν τὸ ῥυπαρὸν ἡμῶν στόμα ἀνοίγωμεν πρὸς ὑμᾶς, ὦ τέκνα πεποθημένα καὶ σεβάσμια, οὐκ ἀρκετὸν ἡγούμεθα διὰ τὸν περιόντα ἡμῖν πόθον καὶ τὴν ἐπὶ τὸ σώζεσθαι ὑμᾶς ἐπικειμένην ἡμῖν φροντίδα· εἰς τοῦτο γάρ, κἂν ἁμαρτωλοί ἐσμεν, ἀδολεσχοῦμεν νύκτα καὶ ἡμέραν, καὶ περὶ τούτου καταγινόμεθα καὶ τοῦτο ἀναπνέομεν, καὶ τούτου ἐφιέμεθα, καὶ τοῦτο ἐκζητοῦμεν, καὶ τοῦτο ἡ ζωὴ ἡμῶν καὶ ὁ ἐπαινετὸς θάνατος. διὸ καὶ τὸ νῦν, ἐξερχομένων τῶν ἀδελφῶν, ἀνεπνεύσαμεν, εὑρόντες τὸ συλλαλεῖν ὑμῖν ἐν τοῖς γράμμασι.

Πῶς τοίνυν, ἀδελφοὶ ἡγιασμένοι, ἐπασχάσατε; καὶ πῶς διέρχεσθε ἐν εὐσεβείᾳ τὰς τῆς ἁγίας ἀναστάσεως θεοφωτίστους ἡμέρας; οἶδα δέ, ὅτι καθαίρεσθε καὶ φωτίζεσθε, καὶ ὑψοῦσθε καὶ ἁγιάζεσθε, καὶ τελειοῦσθε ἐν τῇ χάριτι τοῦ κυρίου μου, ἔχοντες τὸ εἰς ἀλλήλους ὁμονοητικὸν καὶ διεγηγερμένον ἐν πᾶσι καὶ μεγαλοπρόθυμον· τοῦτο γὰρ ἐπιδηλοῦσιν αἱ διαφόρως ἐπεισερχόμεναι ἐπιστολαὶ ὑμῶν, ἀναγγέλλουσαι ἡμῖν τὸ τῆς πίστεως κραταιὸν ὑμῶν καὶ τὸ τῆς ἀρετῆς ὑψηλότατον. καὶ γοῦν κύριος ὁ θεὸς ἡμῶν, ὁ οὕτως ὑμῖν ταῦτα χαρισάμενος καὶ ἐν τοιούτοις ὑμᾶς κατορθώμασι στηριξάμενος, πλειόνως καὶ μειζόνως καὶ διαρκεστάτως διατηρήσοι καὶ διαφυλάξοι ὅλους ὑμᾶς τοὺς ἐμοὺς φωστῆρας καὶ λαμπτῆρας, ὀφθαλμούς τε καὶ βραχίονας καὶ εἴτι ἄλλο τῶν ὁσιωτάτων. βλέπετε τοίνυν, τέκνα μου, καὶ ἀπὸ τοῦ παρόντος, ὅτι τὸ καλὸν καὶ δύσκτητόν ἐστι καὶ τοῖς μὴ προσέχουσιν εὐάλωτον, καὶ τὸ πολυχρονίως εὑρεθὲν ῥᾳδίως διὰ μικρᾶς ἀμελείας διαφεύγοιεν. προσέχετε ἑαυτοῖς ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ, ὅτι ἐαρινός ἐστι καὶ τοῦ σώματος κινητικός, καὶ ἡ σὰρξ ἡμῶν γῇ οὖσα ζητεῖ γῆϊνος ἐνεργεῖν. ἡ τοίνυν γῇ κοπριζομένη καὶ πιαινομένη ἀναφύει καὶ βλαστάνει καὶ ἀνθοφορεῖ. καὶ ἡ σὰρξ τὸ αὐτό, τοῖς διαφόροις βρώμασι καὶ πόμασι πιαινομένη. ἀνάγκη τὰς τῶν παθῶν ἀκάνθας ἀναβράζειν. περιλάβετε ταύτην καὶ ὑποπιάσατε ἀποστολικῶς, καὶ πρόνοιαν αὐ-

---

ῆ κῶδ. *ὀπηλίκας*. 14 τινές] κῶδ. *τιναί*. 20 κῶδ. *προθυμιτικοί*. 22 κῶδ. *μεμψίμυροι*. 30 δικαιοσ. στέφανον] Τιμοθ. 2, δ', 8 || κῶδ. *δικαιωσύνης στ. ἀπολαύητε*.

6 τούτου] κῶδ. *τοῦτο*. 16 κῶδ. *ὑψοῦσθαι*. 17 κῶδ. *τελιοῦσθε*. 27 κῶδ. *ὑμῶν*. 43 Ῥωμ. ιγ', 14.

τῆς εἰς ἐπιθυμίαν μὴ ποιεῖσθε, ἀλλὰ τὰ δέοντα καὶ αὐτάρκη χορηγοῦντες μένετε ζῆν ἐν τῷ πνεύματι.

Λοιπὸν μέτρον καὶ ἐπὶ τοῦ ἄρτου καὶ ἐπὶ τοῦ οἴνου. καὶ ὁ μὲν οἶνος, εἰ καὶ δίδοται εἰς πόσιν, ἀλλὰ κατὰ μικρὰν παρηγορίαν καὶ ἐν καιροῖς ἑορταστικοῖς καὶ ἐν τοῖς κοπωδεστέροις ἔργοις, ἢ ἐν τοῖς νοσηλευομένοις, ἢ ἐν τοῖς ἀθυμοῦσι καὶ ἐν τοῖς πρὸς ὁδὸν ἀπαίρουσιν, ἐπεὶ ἐπὶ τῶν ἄλλων ὀφείλει λαμβάνεσθαι μέχρι μιᾶς κράσεως, ἢ καὶ δύο τὸ πολύ· τὸ γὰρ γεροντικὸν τί ἀσφαλίζεται, οἴδατε. οὐ τοίνυν ἀπείργειν ὑμᾶς βουλόμενος τῶν βρωμάτων, τέκνα μου, ταῦτα λέγω (καταργείσθω γὰρ τὰ βρώματα, κατὰ τὸν ἀπόστολον), ἀλλὰ τὴν ὄντως τροφὴν ὑμᾶς ἐφιέμενος ἔχειν, διὰ τοῦτο ἐν ὑπομνήσει τίθημι τοὺς λόγους. θέλω ὑμᾶς ἐσθίειν καὶ πίνειν, ἀλλ' ἁρμοδίως καὶ θεοπρεπῶς καὶ σωστικῶς, πρός τε δύναμιν τοῦ σώματος, διὰ τὰ πρὸς χρείαν κατεπείγοντα ἔργα. ἢ οὐκ οἴδατε, ὅτι ἀντὶ τῆς ἐγκρατείας ταύτης καὶ ἀποστερήσεως τῶν τοῦ κόσμου ἡδέων, κρεοφαγιῶν καὶ οἰνοποσιῶν καὶ λουσμάτων καὶ θερμασμάτων καὶ καρυκευμάτων καὶ ζωμευμάτων, ἑτοιμάζεται ὑμῖν ὁ θεῖος ἐκεῖνος Παράδεισος, ὁ ἔχων "τὸ ξύλον τῆς ζωῆς" καὶ τὸ ὕδωρ τῆς ἀθανασίας, καὶ τὸν γλυκασμὸν τοῦ πνεύματος καὶ τὸ ἀμήχανον καὶ ἀπερινόητον κάλλος τῆς εὐχροίας τῶν ἀῤῥήτως θεωρουμένων αἰωνίων ἀγαθῶν; ὑμῖν τὸ ἀπολαύειν καὶ τρυφᾶν ἐκεῖσε ταμιεύεται· ἐκεῖ φθάζοντες ἔτι μικρὸν ὅσον διὰ θανάτου φάγεσθε καὶ πίεσθε ἀκορέστως καὶ αἰωνίως. καὶ γὰρ ἐνταῦθα, τέκνα μου, ἐὰν ἐπ' αὐτῶν τῶν βασιλευόντων λάβωμεν, οὐ τρυφὴ ἀλλὰ τροφὴ σκωλήκων ἡ ἀπόλαυσις αὐτῶν, οὐδὲ εὐζωΐα, ἀλλὰ δυσζωΐα ἡ ἄνεσις αὐτῶν, οὐδὲ χαρά, ἀλλὰ λύπη ἡ χαροποίησις αὐτῶν, οὐδὲ κατάσχεσις, ἀλλὰ ἀπόσχεσις ἡ κληρονομία αὐτῶν.

Καὶ ὄντως "ματαιότης ματαιοτήτων" ἡ εὐδαιμονία αὐτῶν. οὕτως ὁ μείζων αὐτῶν βασιλεύσας καὶ τῶν ἡδέων τοῦ κόσμου ἀπολαύσας προείρηκε Σολομών. ἔχετε δὲ ὑμεῖς τὴν φίλην ὑμῶν ἐγκράτειαν, τὴν σύζυγον ὑπακοήν· τὰς θυγατέρας τοῦ κυρίου, τὴν ἁγνείαν, τὴν παρθενίαν, τὴν ἐλεημοσύνην· τὰς ἱερὰς νεάνιδας, τὴν κατάνυξιν, τὴν ταπείνωσιν. ἀναβλέψατε εἰς τὸν οὐρανὸν ἄνω καὶ ἴδετε ποῦ ἡ κατοικία ὑμῶν καὶ ποῦ ἡ κεφαλὴ ὑμῶν, ὁ Χριστὸς καὶ ὁ κοινὸς πατὴρ πάντων, καὶ ἡ πόλις ὑμῶν, ἡ ἄνω Ἱερουσαλήμ, ἡ μήτηρ Παύλου καὶ Πέτρου καὶ τῶν κατ' αὐτοὺς ἁγίων. ὄντως, ἐὰν ἐπιμείνητε, ἐνικήσατε· ἐὰν διαρκήσητε, ἐστεφανώθητε· ἐὰν οὕτω τελειωθῆτε, ἀνοιγήσονται ὑμῖν αἱ πύλαι τῆς βασιλείας τῶν οὐρανῶν καὶ τότε μου μνημονεύσετε τοῦ τάλανος καὶ ἀσώτου, ὅλως ὁρῶντες, μὴ εἰς κρίσιν ἀποπεμπόμενοι. ἀλλὰ δεήθητε καὶ ὑπὲρ ἐμοῦ, ὦ τέκνα μου, ἵνα με ὁ θεὸς σὺν ὑμῖν διασώζων διασώσῃ καὶ δῷ πνεῦμα συνέσεως καὶ καταρτισμὸν ψυχῆς, εἰς τὸ ἀναμέσον ὑμῶν θεοπρεπῶς ἀναστρέφεσθαι.

Ταῦτα μὲν ἐν τῷ τέως ἐλαλήσαμεν. ἔπειτα καὶ ὁ οἰκονόμος, ὡς προέγραψα, ἐξελεύσεται· ὑμεῖς δὲ εὑρίσκοντές τινας γραμματοφόρους, μὴ διαλείπητε ἀντιπέμποντες ἡμῖν τὰ καθ' ὑμᾶς, ὅπως ἔχῃ, καὶ ἀγωνίσασθε, τέκνα μου, εἰς τὰ ἔργα τῶν χειρῶν ὑμῶν, εἰς ἐπιμέλειαν τῶν κτηνῶν, τῶν χωρῶν, τῶν ἀμπελώνων, πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦντες. ἡγοῦ καλῶς, τέκνον Ἀκάκιε. ἅπαντες ὑμεῖς οἱ λοιποὶ ἀδελφοί μου ἐνθέως ἕπεσθε τῷ προάγοντι, ἵνα εὖ ὑμῖν γένηται πᾶσιν, καὶ ἔσεσθε τέκνα φωτός. ἄρτι δὲ σὺν τῷ ἀββᾷ Ἀμμωνίῳ ἀπεστείλαμεν καὶ τὸν ἀββᾶν Βαρθολομαῖον καὶ ἐπιτηρητήν, ὡς τέκνον ἡμῶν, ἐπὶ ταῖς παρισταμέναις χρείαις· συμφθάζει δὲ μικρόν τί ποτε ἐξελθεῖν καὶ τὸ σκάφος μετὰ τῶν χρειῶν ὑμῶν. ἵνα δὲ γινώσκητε, ὅτι καὶ ἀδελφοὺς ὑπεδε-

15 κῶδ. *καταργήσθω*. 15/16 Κορινθ. 1, ς', 13. 28 τὸ ξύλον τῆς ζωῆς] Γενέσ. β', 9. 31 κῶδ. *εὐχρόας*. 37 λάβωμεν] οὕτως ἐν τῷ κώδικι· σλαβιστὶ **приимемъ**. 38 κῶδ. *σκωλίκων*. 42 Ἐκκλ. α', 2.

11 κῶδ. *ἡμῶν*. 12 Γαλάτ. δ', 26. 14 κῶδ. *διαρκήσατε*. 21 πνεῦμα συνέσεως] Ἐξοδ. λα', 3. λε', 31. Δευτερ. λδ', 9. Ἰωβ ιε', 2. 26 κῶδ. *γραμματιφόρους*. 27 ἡμῖν κῶδ. *ἡμᾶς*. 30 κῶδ. *ἀμπελόνων*. 35 τέκνα φωτὸς] Ἐφεσ. ε', 8.

ξάμεθα, οὐ μὴν ἀλλὰ καὶ τὸ σχῆμα ἔχοντας· ἐξ ὧν εἷς ἐστι καὶ ὁ ἀββᾶς Ἐφραίμιος, τῆς πόλεως γεγονὼς περιφανὴς ἄνθρωπος καὶ ἀνὴρ εὐσεβὴς καὶ ζητῶν τὸν θεόν. εὔξασθε, ἵνα ἐν κυρίῳ καταρτίζωνται. προσαγορεύει ὑμᾶς ὁ κύριος καὶ πατήρ μου καὶ πατὴρ ὑμῶν, ὁ οἰκονόμος, ὁ παροικονόμος, ὁ πρωτοπρεσβύτερος Ἀθανάσιος, ὁ ἐπιστημονάρχης Βαρσανούφιος, ἡ λοιπὴ πᾶσα ἀδελφότης. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΒ'.

Περὶ τοῦ εὐχαρίστως φέρειν τὰ λυπηρὰ τῆς κατὰ Χριστὸν ἡμῶν ζωῆς.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, πρὸς τὰς ἐμαυτοῦ πράξεις ἀφορῶν, ὅτι πονηραί εἰσιν, οἶδ' ὅτι οὐδὲν ὁ ἀσθενής μου λόγος ἀνύσειε προσφερόμενος ὑμῖν. ἀλλ' ἵνα μὴ ἀκούσαιμι "πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις", ὅπερ εἴρηται ἐν τοῖς Εὐαγγελίοις, διὰ τοῦτο ἐπείγομαι, συλλαμβάνων τὴν εὐχὴν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν εἰς ἐπικουρίαν, λαλεῖν καὶ ὑπομνήσκειν ὑμᾶς τὰ δέοντα, καὶ πιστεύω ὅτι τῇ καλῇ ὑμῶν τῇ πρὸς τὰς ἐντολὰς τοῦ θεοῦ ἐπείξει καὶ προαιρέσει καὶ τὸ ἐμὸν ἄχρηστον χρήσιμον ἐναποδείξετε.

Μοχθεῖτε οὖν, τέκνα μου, καὶ ἀγωνίζεσθε, καὶ πρὸς τὰ ἐπερχόμενα λυπηρὰ τῆς κατὰ Χριστὸν ὑμῶν ζωῆς μὴ ξενοπαθεῖτε, ὡς παρὰ προσδοκίαν ἐρχόμενα· μὴ γὰρ οὐ τοῦτο ὡμολογήσατε, ἐληλυθότες ἀπὸ τοῦ κόσμου, κατενώπιον θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων αὐτοῦ καὶ πᾶσαν θλῖψιν καὶ στενοχωρίαν ὑπομεῖναι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, τοῦτο μὲν καὶ ἐν πείνῃ καὶ δίψῃ, τοῦτο δὲ καὶ ἐν ψύχει καὶ γυμνότητι, ἐν ὕβρεσί τε καὶ ὀνειδισμοῖς καὶ τοῖς ἄλλοις ἀσκητικοῖς; λοιπὸν οὐ ξένον τι, ἀλλὰ τὸ ἤδη ὁμολογηθὲν ὑμῖν συμβαίνει, ὁσάκις ἂν καὶ συμβαίη. τί δὲ ἐντεῦθεν τὸ κέρδος; βασιλείας οὐρανῶν κληρονομία, τῶν αἰωνίων ἀγαθῶν εὐφροσύνη, ἀθανασίας ἀπόλαυσις, ζωῆς ἀϊδίου μακαριότης, υἱοθεσία, τρυφὴ παραδείσου, εἴτι ἄλλο ἐστὶ καὶ λέγεται.

Ὄντως οὖν ἀξίως πρὸς ταῦτα ἀνέκραγεν ὁ μέγας ἀπόστολος, ὅτι "οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς", καὶ τότε ἐκεῖνος τὴν οἰκουμένην ὅλην διοικῶν καὶ ὡς ἐν μέσῳ λεόντων καὶ ἄρκτων καὶ πάρδων καὶ λύκων ὑπὸ τῶν ἀπίστων ἑλκόμενος καὶ περιαγόμενος, δακνόμενός τε καὶ σπαρασσόμενος, μετὰ τοῦ πεινῆν καὶ διψῆν αὐτὸν νύκτωρ τε καὶ μεθ' ἡμέραν ταῖς ἰδίαις χερσὶν ἐργάζεσθαι πρὸς τὸ μὴ ἐπιβαρεῖν τινα, ἀλλ' αὐταρκεῖν αὐτῷ τε καὶ τοῖς οὖσι μετ' αὐτοῦ ταῖς κατὰ τὸ σῶμα χρείαις. ἡμεῖς δὲ εἰ μὲν, ἐν οἷς ἐσμεν, εὐχαρίστως καὶ ὑπομονητικῶς φέρωμεν, εὖ ἂν ἔχοι καὶ οὐκ ἀπολειψόμεθα τῆς ἐκείνου μερίδος· εἰ δέ γε ἀποδυσπετοίημεν καὶ δυσαχθόμεθα καὶ βαρυθυμοῦμεν, πῶς τοῖς μέχρις αἵματος ἀντικαταστᾶσι πρὸς τὴν ἁμαρτίαν κοινωνήσομεν; ἢ πῶς οὐ καταγέλαστοι ἐσόμεθα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μηδὲ τὰ ἐλάττονα μετὰ προθυμίας αἱρησάμενοι, λέγω δὴ τὴν ἀντίλογον ὑπακοήν, τὴν ἀγόγγυστον ἐργασίαν, τὴν ἀνυπερήφανον ὑπηρεσίαν, τὴν εὔκαιρον σιωπήν, τὴν εὔλογον λαλιάν, τὴν ἐπὶ τῇ τυχούσῃ διακονίᾳ μεταφοράν, τὴν εὐτονίαν τοῦ ἔργου, τὴν ἐκκοπὴν τοῦ θελήματος, τὴν εὐχάριστον ὑποδοχὴν τῆς τυχούσης ἐπιτιμίας, τὴν ἀνένδοτον παράστασιν τῆς ψαλμῳδίας καὶ προσευχῆς, νυκτερινῆς τε καὶ ἡμερινῆς, καὶ μέντοι καὶ τὴν ἐφήμερον τῶν ψαλμῶν στιχολογίαν; ταῦτα γὰρ πάντα—ἐπεὶ καὶ πλείω τούτων ἄλλα οὐδὲ γὰρ δυνατὸν ἕκαστον καταλέγειν—ὑποδεχόμενοι καὶ ὑποφέροντες, κάλλιστα βιοῦμεν καὶ βιώσομεν, καὶ ἐπιτερπόμενός ἐστιν ὁ θεὸς ἐν τῷ ἔργῳ ἡμῶν, καὶ ὁ πληθυσμὸς τῆς ἀδελφότητος ὁσιώτερος, καὶ ἡ τῶν ἔξωθεν ἐπίσκεψις ὠφελιμωτέρα, καὶ ὁ τοῦ μαρτυρίου στέφανος

19/20 Ματθ. κε', 26, 27.

5/7 Ῥωμ. η', 18. 12 κῶδ. *πινῆν*. 12/15 Κορινθ. 1, δ', 11-13. 13 μεθ'] κῶδ. *καθ'*. 32 κῶδ. *ἀνένδωτον*. 38 κῶδ. *βιώσωμεν*.

ὑμῖν ἑτοιμαζόμενος. λοιπὸν "τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ" καὶ τῶν προειρημένων; οὐδὲν οὐδαμῶς. ἀλλὰ καὶ εἰ ἀποθανεῖν ἡμᾶς δέοι καθ' ἑκάστην ἡμέραν, μετὰ χαρᾶς τοῦτο ἀσπασόμεθα, μόνον ὅτι διὰ Χριστὸν πάσχομεν χαίροντες καὶ ἀγαλλόμενοι καὶ "μηδεμίαν ἐν μηδενὶ προσκοπὴν διδόντες, ἵνα μὴ μωμηθῇ" ἡ ἀγαθὴ πολιτεία ἡμῶν. καὶ τοσαῦτα μὲν περὶ τούτων.

Ἴστε δέ, ὅτι στένωσις ἡμῖν γέγονεν ἐν τῷ σίτῳ, ἀποτυχησάντων τῶν χωρῶν, διὰ τὰς ἁμαρτίας μου, τοῦ ἑνὸς μοναστηρίου, ὥστε μηδὲ κόκκον προσδοκᾶν ἡμᾶς ἐκ τῶν ἐκεῖσε ἐνταῦθα δέχεσθαι. ἀλλ' οὐδεμία ἀθυμία, εἴπερ εὐτυχεῖτε κατὰ ψυχήν· εἴρηκε γὰρ ὁ εἰρηκὼς καὶ ἀψευδὴς ἐστιν ἐν ταῖς ἐπαγγελίαις αὐτοῦ, ὅτι "ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν"· ὅπερ καὶ προέδειξε καὶ δείκνυσι καθ' ἑκάστην ἐν ὀφθαλμοῖς ἡμῶν τὰ θαυμάσια καὶ τὰς δωρεὰς αὐτοῦ. μόνον, ὡς εἴρηται, ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὸν οὐρανὸν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ τὰ ἄλλα συνεισοίσει ὁ καλὸς οἰκονόμος καὶ δοτὴρ ἁπάντων θεός, ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΓ'

Περὶ ἐγκρατείας οὐ μόνον τροφῶν, ἀλλὰ καὶ τῶν παθῶν, ῥηθεῖσα ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ἐμάκρυνα τοῦ κατηχεῖν ὑμῶν τὰς τιμίας ἀκοὰς τὸν ἐξουθενημένον μου λόγον ἐκ τοῦ νοσηλεύεσθαί με ἐπὶ πολύ, καὶ ἡ μὲν χρεία ἐπείγει τοῦ λαλεῖν, ἡ δὲ ἀδυναμία ἐγκοπὴν ποιεῖ τοῦ διαβήματος. ἀλλ' οὖν μικρά τινα ὑπομνηστικὰ ἐν τῷ μικρόν με ἀνακομίσασθαι προσφθέγξομαι ὑμῖν. ὡς ἴστε, ὁ παρὼν καιρὸς ἡ ἁγία Τεσσαρακοστή ἐστιν, ἀπαιτοῦσα ἡμᾶς τοὺς πνευματικοὺς ἀγῶνας ἔτι μᾶλλον παρὰ τὸν προλαβόντα χρόνον, ἤγουν τὴν προθυμίαν, τὴν εὐψυχίαν, τὴν εὐτονίαν, τὴν καρτερίαν, τὴν ὑπομονήν, τὴν οὐρανοδρόμον προσευχήν, τὴν δακρυοφόρον κατάνυξιν, τὴν εὔκαιρον σιωπήν, τὴν πρέπουσαν λαλιάν, τὴν ἀναντίλογον ὑπακοήν, τὴν συντριβοκάρδιον ταπείνωσιν, τὴν σύμμετρον ἐγκράτειαν καὶ ἀποχὴν οὐ μόνον τῶν ποικίλων καὶ κατὰ κόρον τροφῶν καὶ ποτῶν, ἀλλὰ καὶ φθόνου καὶ μίσους, θυμοῦ καὶ ἔριδος, ζήλου καὶ γογγυσμοῦ καὶ ὑπερηφανίας καὶ παντὸς ἄλλου μυσαρωτάτου πάθους.

Ἐπισκέψασθε οὖν ἑαυτούς, ὦ τέκνα, καὶ προσέχετε, παρακαλῶ· καθαρεύσατε τῶν προῤῥηθέντων καὶ καταρτίσατε ἑαυτοὺς σκεύη ἀπόλεκτα, ὄργανα θεοήχητα, ψαλτήρια τερπνότατα, πρὸς ὑποδοχὴν τοῦ ἁγίου πνεύματος· εἰς τοῦτο γὰρ καλεῖ ὁ καιρὸς καὶ τοῦτό ἐστιν ἡ νηστεία. μή μοι λεγέτω τις, ὅτι "τόσον καὶ ψάλλω καὶ στιχολογῶ καὶ τοσοῦτον προσεύχομαι· βραχυφαγῶ λίαν καὶ ὀλιγοποτῶ· καθεζόμενος ἀφυπνῶ, γονυκλιτῶ τε τοσοῦτον, αἴρω τὰς χεῖρας εἰς τὸν οὐρανὸν πολυώριον". ἀποδεκτέα μὲν οὖν καὶ ταῦτα. πῶς γὰρ οὔ; ἀλλ' ἐκεῖνό μοι φραζέτω, εἰ τὸ φρόνημα καταβεβλημένον ἔχει καὶ τὸ πνεῦμα κατανενυγμένον καὶ τὸ θέλημα ἐκκεκομμένον, ὥστε ἀεὶ εὐηκοεῖν καὶ μηδαμῶς ἀντιλέγειν, μηδὲ γογγύζειν τὸ καθόλου, ἢ φιλονεικεῖν τὸ καθάπαξ, μὴ διαφθονεῖν τὸν ἀδελφόν, μηδὲ ζηλεύειν τὸν πλησίον, μηδὲ κενονοεῖν καὶ κενολογεῖν ταῦτα καὶ ἐκεῖνα, ὡς "διατί ἐκεῖνος οὕτως ἔχει καὶ διατί τοῦτο τοιῶσδε"; κἀκ τούτου ἀλλοιοῦσθαι τὴν καρδίαν καὶ ἀγριοῦσθαι τῷ προσώπῳ καὶ προφέρειν οὐκ ἐξ ἀγαθοῦ θησαυροῦ τῆς ψυχῆς, ἀλλ' ἐκ πονηροῦ, ῥήματα καὶ βαττολογήματα ἀπιστίας καὶ ἀφοβίας καὶ ἀτονίας, ἅτινα οὐ μόνον αὐτόν, ἀλλὰ καὶ τοὺς ἀκούοντας φέρει εἰς κατάπτωσιν.

Οὐ τὰ τοιαῦτα οὖν, ὦ ἀδελφοί, νηστείας ἔργα, οὐδὲ ἐγκρατείας σκάμματα, ἀλλ' εἴ τι

1/2 Ῥωμ. η', 35. 5 κῶδ. *ἀσπασώμεθα*. 7/8 Κορινθ. 2, ς', 3 17/19. Ματθ. ς', 34. 23 κῶδ. *ὁσιώτητι*. 25 κῶδ. *δωτὴρ*. 27 Novae patrum bibliothecae t. IX, pars II, σ. 157-160. 35 λαλεῖν] καλεῖν V. 36 ποιεῖται V. 39 ἡ ἁγία Τεσσαρακοστή] νηστεία V.

10 κατακόρων V. 13 κῶδ. *μισαρωτάτου*. 27 κῶδ. *ἔχοι*. 33 κενεννοεῖν V.

ταπεινώσεως ἔχει καὶ ὑπακοῆς, ὡς εἴρηται· ἐν τοῖς δυσὶ γὰρ τούτοις κατορθώμασιν οἱονεὶ ὡς ἐν πτέρυξί τισιν ὁ ὑποτακτικὸς εἰς οὐρανὸν ἀνίπταται καὶ τῷ θεῷ συνόμιλος γίνεται. θαυμαστὸν δὲ οὐδέν, ὅτι, καίπερ οὕτως ἡμῶν λεγόντων καὶ ὑμῶν ἀκουόντων, ἐπεισέρχεται ἐν ὑμῖν τὰ μὴ πρέποντα, ἐπεὶ καὶ χώρα μικρὸν ἀμεληθεῖσα τῆς γεωπονίας ἐπιφύει τὰ ζιζάνια. τί δέ ἐστιν, ὅ φημι; ὅτι τινὲς τῶν ἀσυνετωτέρων—οὐ γὰρ ἐγκρατῶν τὸ πρᾶγμα, οὐδὲ τελείων—ζητοῦσι καὶ ἐκζητοῦσιν, ἐρεσχελοῦσι καὶ ἀντιβολοῦσι, διδόασι καὶ ἀντιδιδόασι, βλέπουσι καὶ ἀντιβλέπουσιν, ἐφίενται καὶ ἀντιεφίενται ὥσπερ τινὲς παῖδες καὶ νεωτερίζοντες, ἢ τάχα εἰπεῖν καὶ κοσμίζοντες, περὶ τί γε; περὶ ἐπωμίων, περὶ καλικίων, περὶ ἄλλων τινῶν τῶν τυχόντων. καὶ διατί ταῦτα οὕτως, τέκνα, καὶ τοῦτό ἐστι τὸ καύχημα ὑμῶν, ἢ τοῦτό ἐστι τὸ νήστευμα ὑμῶν, ἀλλ' οὐχὶ μᾶλλον τὸ κατάπτωμα καὶ καταχόρτασμα; τί οὐ στέργετε ἐν τοῖς διδομένοις; τί οὐχ ὑπομένετε ἡμέραν ἐπιδόσεως; τί οὐκ ἐκδέχεσθε τὸν προσεπιόντα καιρόν; οὐχ εἷς ἐστιν ἢ δύο, ἢ τρεῖς, ἀλλὰ καὶ τέσσαρες καὶ πέντε ἀπ' ἐμοῦ τε τοῦ ἁμαρτωλοῦ καὶ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν σκοποῦντες καὶ οἰκονομοῦντες μετὰ πόνου καὶ φόβου θεοῦ, συμπαθείας τε καὶ εὐσπλαγχνίας, καὶ τῆς καθ' ἕκαστον ἀξίως ποιούμενοι τὴν κατὰ χρείαν ἐπίδοσιν. ἀλλ' οὐ πάντως πάντοτε, οὐδὲ τὰ αὐτὰ οἱ αὐτοὶ οὔτε λαμβάνειν ὀφείλετε, οὔτε ἀμφιέννυσθαι, οὔτε σκέπεσθαι, οὔτε ὑποδύεσθαι, οὔτε τροφεύεσθαι, οὔτε ποτίζεσθαι, ἀλλὰ καθὼς ἡ χρεία ἐπιζητεῖ καὶ οἱ ἐπέχοντες τὴν οἰκονομίαν διοικήσουσι. τυχὸν ἴσως σὺ ἐπιζητῶν οὐδ' ὃ φορεῖς ἄξιος εἶ πάντως, καὶ ἐν ᾧ ὀφείλεις ὡς ἀνάξιος κατανύττεσθαι, γογγύζων καὶ κάλλιον ἐπιζητῶν, σκόπησον ὁπόσον τὸ κρῖμα ἐπὶ τὴν σεαυτοῦ κεφαλὴν συνάγεις. ἄρτι ταῦτα μοναστῶν εἰσιν ἀληθινῶν, ἢ ὑποτακτικῶν ἐκλεκτῶν; μὴ γένοιτο, μισθαρνουμένων δέ τινων καὶ δουλοπρεπῶν. οἱ τοιοῦτοι γὰρ τὰ τηλικαῦτα ἐπιζητοῦσιν, ὡς ὑπὸ ζυγὸν ἢ δουλείας ἢ μισθαρνίας τελοῦντες· ὁ δὲ γνήσιος υἱός, ὡς εἰδὼς ὅτι πάντα τὰ τοῦ πατρὸς διαφέρει αὐτῷ καὶ ὡς φιλῶν φιλεῖται παρὰ τοῦ γεννήτορος, μένει καθὼς ὁρᾶται ὑπὸ τοῦ πατρός, τάχα καὶ ποιεῖται γλυκεῖαν καὶ εὔκαιρον καὶ φιλοπάτριον τὴν ἐπιζήτησιν.

Προσέχετε τοίνυν τί λαλῶ καὶ μὴ ὅτι ἐγὼ ἄρτι νοσῶν ἐσθίω καὶ πίνω παντοίως καὶ καταθαλπόμενος, καίπερ ἐν ταῖς ἡμέραις ταύταις, ἀντιφθέγξασθε· οὐ γὰρ θεμιτὸν ὑμῖν, ἐπεὶ καὶ αὐτοὶ ὑμεῖς ἅπαντες προΐστασθέ μοι εἰς τὸ μὴ διδεῖν ὑμῖν ἔργον θλίψεως, ἀσθενοῦντι διὰ τῆς ἐγκρατείας, ἀλλὰ συνιέντες ὅτι ταῦτα πρέπει ἁγίοις καὶ ἐν τούτοις ἡ ἀνόθευτος ὑποταγή, ἐν τῷ πάντα στέργειν καὶ ὑπομένειν. τὰ τοιαῦτα μισητὰ καὶ βδελυκτὰ ζητήματα, ἅπερ καὶ θεὸς καὶ εὐσεβοῦντες ἅπαντες ἀποστρέφονται, μισήσατε. καὶ δοῦλον οὐ ζητοῦντα πρὸς χρείαν ἀλλ' ἐπιμένοντα πότε καὶ πῶς ὁ δεσπότης κατανυγεῖ νέμειν τὰ προσήκοντα εἰδότες, οὐδὲ κἂν ὡς δοῦλοι πιστοὶ αἱρούμεθα τῷ θεῷ καὶ δεσπότῃ πάντων δουλεῦσαι. δουλεύσωμεν αὐτῷ τοίνυν, ἀδελφοί μου γνησιώτατοι, ὡς γνήσιοι υἱοί, κατὰ τὴν προδεδηλωμένην θεωρίαν, καὶ μὴ ληρεῖτε ἐν τοῖς ταπεινοῖς μου λόγοις (ληρήσει γὰρ ὁ τοιοῦτος εἰς τιμωρίαν αἰώνιον), ἀλλὰ συμβάλλετε ταῦτα εἰς τὰς ὁσίας ὑμῶν ψυχάς, καὶ οἱ μὲν μὴ ἁλόντες εἰς τὰ τοιαῦτα χαίρετε καὶ φυλάσσεσθε, οἱ δὲ ἐμπεπτωκότες ἰάθητε διὰ τῆς παραινέσεως· εἰ δέ τις ἐμπέσοι πρὸς τὸ ἐξῆς, τὰ ἐπιτίμια παιδευέτωσαν αὐτόν.

Οἴμοι! οἴμοι! πῶς ἀζήλωτον τὸ ἀγαθὸν καὶ δυσεύρετόν ἐστιν ἐν τοῖς ἀνθρώποις, πῶς δὲ εὐζήλωτον καὶ εὐχερὲς τὸ κακόν! οὐδεὶς βλέπει πρὸς τὸν ὑπομονητικόν, πρὸς τὸν ῥακοδυτοῦντα, πρὸς τὸν καταψυχόμενον,

---

8 κῶδ. *γαιοπονίας.* 14 κῶδ. *ἀντιφέρονται.* 16 κῶδ. *ἐπομίων.* 19/21 καὶ τοῦτο - - καταχόρτασμα] ἐλλείπει ταῦτα τῷ V. 23 κῶδ *ἐπιδώσεως.* 24/27 οὐχ εἷς ἐστιν - - πατρὸς ὑμῶν] ἐλλείπει ταῦτα τῷ V. 32 οὔτε] κῶδ. *οὕτως.*

13 καταθάλπομαι V. 14 κῶδ. *ἀντιφθέγξασθαι.* 16 κῶδ. *προΐστασθαι.* 27 τῷ δεσποτῃ καὶ θεῷ πάντων V. 41 ἀποβλέπει V.

πρὸς τὸν περιφρονούμενον, πρὸς τὸν ὀλιγοτροφούμενον, πρὸς τὸν παραθεωρούμενον, πρὸς τὸν εὐήκοον, πρὸς τὸν θεοταπείνωτον, καὶ εἰκονίζει πρὸς τὴν θείαν ὁμοίωσιν· ἀλλὰ πᾶς—σχεδὸν εἰπεῖν—πρὸς τὸν κάκιστον ἐπιζητεῖ ἀποσκοπεῖν, πρὸς τὰν ἐπιζητητικόν, πρὸς τὸν ἀντίλογον, πρὸς τὸν ὑβριστικόν, πρὸς τὸν γογγυστικόν, πρὸς τὸν καλοφορητικόν, πρὸς τὸν καταθαλπόμενον, πρὸς τὸν ἀναπαυόμενον, καὶ εἰς ἑαυτὸν ἀναμάσσεται τὰ κακά, γινόμενος υἱὸς ἀπειθείας καὶ υἱὸς τοῦ σκότους. ἀλλὰ φεῖσαι, φεῖσαι κύριε, καὶ ἐν τῷ ἐλέει σου ἀνακτησάμενος ἡμῶν τὰς ψυχὰς δίδου ποιεῖν τὸ θέλημά σου καὶ ἐργάζεσθαι τὰ προστάγματά σου, ἵνα ἐν πᾶσι καὶ παντοίως ἀκριβευόμενοι τὸν ἑαυτῶν βίον τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν σου ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅτι σοὶ πρέπει πᾶσα δόξα, τιμή, κράτος, προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΔ'.

Περὶ τοῦ μὴ ἀμελεῖν τῆς οἰκείας σωτηρίας μέχρι θανάτου.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, κυβερνήτου ἴδιόν ἐστι τοῦ ἀπευθύνειν τὸ πλοῖον πρὸς τὴν προκειμένην ὁρμήν, εἰς τὸ ἀποσῶσαι αὐτὸ πρὸς λιμένα σωτήριον. καὶ μὴν καὶ ποιμένος γνώρισμά ἐστι τοῦ τὸ ποίμνιον αὐτοῦ εἰσελαύνειν καὶ ἐξελαύνειν ἀπό τε νομῶν εἰς νομὰς καὶ παρὰ ψυχρὸν ὕδωρ ἀναπαύειν, καὶ προσλαλεῖν αὐτὸ διὰ σύριγγος, καὶ φρουρεῖν αὐτὸ ἀθηριάλωτον διὰ ἀγρυπνίας, καὶ ὅσα ἄλλα ἐφαρμόζει τῷ ἀγαθῷ ποιμένι. ὡσαύτως καὶ τῷ στρατηγοῦντι ἴδιόν ἐστι λαὸν ἄγειν ἄριστα καὶ παραθήγειν αὐτὸν διὰ παρακλητικῶν λόγων οὐ μόνον εὖ μάλα φέρειν τὰ δυσχερῆ τῆς ὁδοῦ, ἀλλὰ καὶ ἐν καιρῷ συμβολῆς πολέμου χωρεῖν ἀνδρείως κατὰ τῶν ἐναντίων. οὕτως κἀγὼ ὁ τάλας καὶ ἀνάξιος ταύτην τὴν φροντίδα πεπιστευμένος τῆς καθ' ὑμᾶς προστασίας, τὴν ταπεινήν μου ψυχὴν προθεῖναι ὀφείλω μέχρις αἵματος ὑπὲρ τῆς κοινῆς σωτηρίας ὑμῶν· τοῦτο γάρ ἐστιν ἴδιον, κατὰ τὸν λόγον τοῦ κυρίου, τῷ ἀγαθῷ καὶ ἀψευδεῖ ποιμένι. ἐντεῦθέν μοι ἀγῶνες ἐπεισέρχονται ἀεὶ καὶ λύπαι καὶ μέριμναι, φροντίδες τε καὶ ἀδολεσχίαι, ἀγρυπνίαι τε καὶ ὀλιγωρίαι, καὶ πανταχόθεν περιέλκομαι, καὶ ἐξ οἰκείας δυνάμεως ἀντισχεθῆναι ἀπορῶν πρὸς τὸν θεὸν καταφεύγω τὸν φιλάνθρωπον, αἰτῶν καὶ δεόμενος, ἵνα μὴ τῇ ἀθυμίᾳ καὶ ἀθρανείᾳ παροργισθεὶς ἐπάρῃ τὴν κραταιὰν αὐτοῦ χεῖρα ἐκ τῆς διασώσεως ὑμῶν. ἕνεκα δὲ τῆς ὑμῶν πρὸς αὐτὸν ἀγάπης καὶ εἰλικρινοῦς πίστεως ἐπιμένων ἐπιμενεῖ σκέπων καὶ φυλάττων τὸ πλήρωμα ὑμῶν εἰς δόξαν καὶ ἔπαινον τῆς αὐτοῦ μεγαλωσύνης, δι' ὑμῶν κἀμὲ τὸν ἁμαρτωλὸν ἐκβιαζόμενος περισῴζεσθαι· τῷ ὄντι γὰρ ἔργον ἐστὶ διεξάγειν ψυχὰς λογικὰς καὶ τοσοῦτον πλῆθος περικρατεῖσθαι.

Ἐγὼ οὖν, τέκνα μου, ὁμολογῶ καὶ ἀπέχω τοὺς ἐπὶ τῷ ἔργῳ τοῦ θεοῦ ἀγῶνας καὶ μόχθους καὶ ἱδρῶτας ὑμῶν, καὶ ὅτι καθ' ἑκάστην ἡμέραν τείνεσθε ἔνθεν καὶ ἔνθεν διὰ τῶν πνευματικῶν καὶ σωματικῶν ἔργων, τληπαθοῦντες καὶ μηδαμόθεν ἄνεσιν λαμβάνοντες, νυκτὶ μὲν ἀγρυπνοῦντες, ψάλλοντες καὶ προσευχόμενοι, ἡμέρᾳ δὲ τὰ ἔργα ἀναλαμβάνοντες καθ' ὃ ἕκαστος ὑμῶν εὐφυῶς ἔχει, καὶ ὡσὰν μέλισσαι ἐφιπτάμενοι ἐκ τῆσδε πρὸς τήνδε τὴν διακονίαν καὶ ἐκ τοῦ τῆδε καθίσματος εἰς τὸν ἕτερον τόπον. καὶ ἐν τούτοις πᾶσι χαρᾷ χαίρω, τὸν μισθὸν ὑμῶν πολὺν ἐν τοῖς οὐρανοῖς ἀποκαραδοκῶν ἑτοιμάζεσθαι. ἀλλ' ἐπειδή, ἕως ἂν διὰ θανάτου ἐξέλθωμεν ἐκ τοῦδε τοῦ κόσμου, οὐκ ἔστιν οὐδὲ πρὸς μικρὸν ἀμελῆσαι τῆς σωτηρίας, ἐπεὶ τὸ πᾶν ἀπολώλαμεν, διὰ τοῦτο ὑπομνήσκω καὶ τανῦν· προσέχετε, μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἀπὸ ἀκηδίας καὶ χαυνώσεως καὶ συλλογισμῶν ἀκαίρων, καὶ συνεισέλθῃ ἐντεῦθεν ὄλεθρος καὶ πτῶ-

---

11 κῶδ. *γενόμενος*. 16 κῶδ. *ἑαυτὸν*.

1/4 Ἰωάν. ι', 11. 7 κῶδ. *ὀλιγορίαι*. 12 κῶδ. *παροργισθῆς*. 24 κῶδ. *τείνεσθαι*. 37 κῶδ. *ἀμελεῖσαι*.

σις κατὰ ψυχὴν ὑμῖν, ἀλλὰ νεάζοντες τῇ προθυμίᾳ συναποπεράνωμεν καὶ τὸ λοιπὸν τῆς ἐλλειπούσης ἡμῖν ὀλιγοημέρου καὶ ἐπικαίρου ζωῆς, ἵνα μετὰ ἀγώνων καλῶν καὶ σπουδασμάτων ἱερωτάτων καὶ κατορθωμάτων σεπτοτάτων μετέλθωμεν πρὸς τὸν μέλλοντα αἰῶνα ἐκ τοῦ τῇδε βίου ληψόμενοι τὸν ἀμαράντινον στέφανον τῆς δικαιοσύνης παρὰ τοῦ μισθαποδότου θεοῦ

Βλεπέτω λοιπὸν ἕκαστος, πῶς τῇ διακονίᾳ παρίσταται λειτουργῶν τῷ κυρίῳ, μὴ ἀμελῶς, μὴ ῥᾳθύμως, μὴ ὀκνηρῶς, μὴ ἐπιπλάστως· οὐκ ἀνθρώπῳ, ἀλλὰ τῷ θεῷ γινωσκέτω προσκρούειν, εἰς ὃν ἡ λειτουργία. ἡμεῖς γὰρ τί ἐπέχομεν; ἢ μόνον συνδούλου τάξιν, ὑπομνήσκοντες τὰ τοῦ δεσπότου ἐντάλματα. ὥστε καὶ οἱ ὑπακούοντες καὶ οἱ παρακούοντες οὐχ ἡμῖν ὀφλήσουσιν ἢ θεραπεύσουσιν, ἀλλὰ τῷ τὰς ἐντολὰς δεδωκότι ἀγαθῷ δεσπότῃ καὶ θεῷ. εἴτε οὖν καλλιγραφεῖ τις, εἴτε διακονεῖ, εἴτε ἀροτριᾷ, εἴτε σκάπτει, εἴτε ἄλλο ποιεῖ, ποιείτω ὡς ἐνώπιον θεοῦ καὶ οὐκ ἀνθρώπων, καὶ καθαρὸν ἔσται τὸ ἔργον αὐτοῦ, ἐπιμετρούμενον κατὰ τὴν ἐνοῦσαν αὐτῷ δύναμιν ὑπὸ τοῦ καρδιογνώστου θεοῦ. τὴν γλῶσσαν χρεία φυλάττειν ἀπὸ ματαιολογίας καὶ τὸν ὀφθαλμὸν φρουρεῖν ἀπὸ ἐναντίας θεωρίας, τήν τε καρδίαν τηρεῖν ἀπὸ λογισμῶν καὶ πάσας τὰς αἰσθήσεις ἀσφαλίζεσθαι τῷ φόβῳ τοῦ θεοῦ, ἐν μετριοφροσύνῃ πρὸς ἀλλήλους διεξέρχεσθαι, ἐν ἀγάπῃ ἀπαῤῥησιάστῳ μετ' ἀλλήλων συνανακίρνασθαι, ὁμιλεῖν δὲ τὰ προσήκοντα καὶ ὁρᾶν τὰ χρήσιμα, καὶ ἀκούειν τὰ δέοντα, καὶ ἅπτεσθαι τὰ συμφέροντα, καὶ λογίζεσθαι τὰ ἔνθεα, ἵνα οὕτως χαίρωμεν καὶ συγχαίρωμεν, τὰς ἐντολὰς τοῦ θεοῦ ἐνεργοῦντες καὶ ἐπικερδῶς τὰς ἡμέρας τῆς παροικίας ἡμῶν διεξανύοντες, τὸν θεὸν ἔχοντες ἐν τῷ οὕτως ἡμᾶς πολιτεύεσθαι βοηθόν, ἀντιλήπτορα, καὶ τὴν πρεσβείαν τῆς ἁγίας Θεοτόκου κραταιὰν σκέπην, τῶν τε δεσποτῶν ἡμῶν τῶν μεγάλων ἁγίων, τοῦ Προδρόμου καὶ τοῦ Θεολόγου, ὧν καὶ τὰ μοναστήρια κατέχομεν. καὶ εἰ ὁ θεὸς μεθ' ἡμῶν, τίς καθ' ἡμῶν; καὶ εἰ κύριος ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, τίνα φοβηθησόμεθα; καὶ εἰ τῆς Θεοτόκου τὴν βοήθειαν ἔχοιμεν καὶ τῶν ἁγίων, τίς ἡμῶν κυριεύσει; οὐδεὶς οὐδαμῶς, ἀλλὰ καὶ δαίμονες ἀφ' ἡμῶν πόῤῥω ἀφέξονται καὶ ἄνθρωποι ἐπαινέσουσιν, ἐχθροὶ πτοηθήσονται, καὶ οὐδεὶς κατὰ πρόσωπον ἡμῶν ἀντιστήσεται· εἰ δὲ ἐναντίως, τὰ ἐναντία ἡμῖν συμβήσεται.

Διό, πατέρες μου καὶ ἀδελφοί, φυλάττωμεν ἑαυτοὺς ἐν καταστάσει καθηκούσῃ, καὶ μάλιστα ἐν ταύτῃ τῇ πόλει παροικοῦντες, καὶ φύγωμεν ἀπὸ τοῦ λαλεῖν τὰ ἀλλότρια· ἀλλότρια γὰρ ἡμῶν εἰσι καὶ τὸ περὶ βασιλέων ὁμιλεῖν καὶ τὸ περὶ ἀρχόντων διαλέγεσθαι καὶ περὶ τοῦδε καὶ τοῦδε ἐξερευνᾶν. "ἃ προσετάγη σοι, ταῦτα διανοοῦ", φησίν. ἄλλη ἡ περὶ ἡμᾶς φροντίς, ἀλλοῖαι αἱ ὁμιλίαι. οἱ οὖν τοῦ κόσμου τὰ τοῦ κόσμου, οἱ σωματικοὶ τὰ σωματικά, ἡμεῖς δὲ τὰ τοῦ ἡμετέρου βασιλέως, τὰ περὶ ὠφελείας ψυχῆς, τὰ περὶ ἀρετῶν, τὰ περὶ βίου τῶν ὁσίων πατέρων ἡμῶν, τὰ περὶ θανάτου, τὰ περὶ μεταστάσεως, τὰ περὶ ὑπαντήσεως τῶν ἁγίων ἀγγέλων καὶ περὶ ἀπολογίας τῆς ἐν τῷ βήματι τοῦ Χριστοῦ, τὰ περὶ ἀνταποδόσεως, τὰ περὶ βασιλείας οὐρανῶν, οὕτως ὡς οἱ ἄγγελοι διαφαινόμενοι, τὸ ὅσον ἐφ' ἡμῖν, φωτίζοντες καὶ τοὺς ἐν τῷ κόσμῳ περιαντλουμένους, ἐπεὶ τάχα ἐκ τῆς ματαίας ὁμιλίας συμβαίνει ἡμᾶς καὶ εἰς ἃ μὴ θέμις καὶ κατηγορίας ἔν τισι δέχεσθαι.

Προσέχετε οὖν ἐκ τοῦ δεῦρο καὶ φυλάξατε τὸ στόμα ὑμῶν τοῦ λαλεῖν τὰ μὴ ἀνήκοντα, καὶ προσεπεκτείνεσθε ἐπὶ ταῖς ἀγαθοεργίαις ὑμῶν, ζῆλον ἀναλαμβάνοντες ἔτι μᾶλλον θερμότερον ὑπὲρ τῆς ἀγάπης τοῦ θεοῦ, ὑπὲρ ἐνστάσεως τῆς ἀληθείας αὐτοῦ προαιρούμενοι καὶ θανεῖν, καὶ τὰς προθέσεις ὑμῶν τὰς τηλικαύτας ὁ θεὸς ὡς πράξεις λογιζόμενος μαρτυρίου στεφάνοις ὑμᾶς καταστέψει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ταῦτα μὲν

39 κῶδ. *ὑμῶν*.

2 Ψαλμ. κς', 1. 9 κῶδ. *ὑμῖν*. 15 τὸ] κῶδ. *τῶ*. 18 Σειρὰχ γ', 22.

ἐπ' ὀλίγον νῦν· οὐκ ἀποκνήσω δέ, εἰ ὑπερεύχεσθέ μοι καὶ ὑπάρχει μοι δύναμις, καὶ πρὸς τὸ ἑξῆς τὰ αὐτὰ ποιεῖν διὰ τῆς πρὸς ὑμᾶς ὑπομνήσεως, ὑπομνησκόμενος κἀγώ, καὶ διὰ τῆς πρὸς ὑμᾶς νουθεσίας νουθετούμενος καὶ συνετιζόμενος· ἀδελφικῶς γὰρ καὶ ἀγαπητικῶς καὶ οὐκ αὐθεντικῶς, οὐδὲ ἐξουσιαστικῶς ἡ πρὸς ὑμᾶς ὁμιλία ἡμῶν καὶ γίνεταί καὶ γενήσεται ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΕ'.

Ὅτι ὑπομένουσιν ἡμῖν ἐν τῇ μαρτυρικῇ ὑποταγῇ ἀπολεψόμεθα τὰ αἰώνια γέρα.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, κεκοπιακότες ἐστὲ ἤδη ἐκ τῆς παρελθούσης ἀγρυπνίας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα, ἄρτι δὲ καὶ ἐκ τοῦ παρόντος κανόνος τοῦ ἐν ἁγίοις καὶ θαυματοποιοῦ πατρὸς ἡμῶν Νικολάου, καὶ ὁ κόπος ὑμῶν ὅσιος καὶ ψυχωφελής, οὐκ ἀπολλύμενος, ἀλλὰ σῳζόμενος, τηρούμενος εἰς ἡμέραν ἀνταποδόσεως δικαιοκρισίας θεοῦ. καὶ τάχα ἀποκνεῖ πως ἡ ἀκοὴ δέχεσθαι λόγον. ἀλλ' ἵνα ἐκκόψωμεν τὴν συνήθειαν, καὶ τὸ παρὸν βραχέα τινὰ διαλεξώμεθα, ὑπομνήσκοντες ὑμᾶς καὶ προθυμοποιούμενοι, ὅτι τὸ ἔργον ὑμῶν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ συνεργίᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν ἐν προκοπῇ ἐστι, καὶ καθ' ἑκάστην ὡς εἰπεῖν προστιθέμενον καὶ ἐπαυξόμενον καὶ τελούμενον οὐκ ἐξ ὑμῶν, φθαρτῶν καὶ ἐπικήρων, ἀλλ' ἐξ ἐργασίας τῶν ἁγίων καὶ ζωοποιῶν αὐτοῦ ἐντολῶν. καὶ εὖγε, εὖγε, ὅτι τοιοῦτον καὶ τηλικοῦτον τὸ πραγματευόμενον ὑμῖν καὶ ἐνεργούμενον καὶ σπουδαζόμενον καὶ ἐπὶ σωτηρίᾳ τῶν τιμίων ὑμῶν ψυχῶν.

Ἄλλοι μὲν ἄλλα αἱροῦνται τῶν ἀνθρώπων, καὶ ὃ μὲν περὶ τοῦ οἰκοδεσποτῆσαι, ὃ δὲ περὶ τοῦ εὐπραγῆσαι καὶ δοξασθῆναι ἐκ τῶν τοῦ αἰῶνος τούτου ὀνειροπολουμένων ἀξιωμάτων, ἕτερος δὲ περὶ τοῦ γῆμαι, ἢ παιδοποιῆσαι, ἢ πολυκτηματῆσαι ἐν ἀγροῖς ἢ ἐν δούλοις· πλεῖστα γὰρ καὶ ποικίλα τὰ τοῦ κόσμου τούτου ἐπιθυμήματα. ὑμεῖς δὲ τούτοις πᾶσι χαίρειν προσειπόντες, εἰς ἄλλον κόσμον διὰ τῆς ὑψηλῆς πολιτείας μετενεχθέντες, τὰ ὑπερκόσμια καὶ οὐράνια καὶ ἐφίεσθε καὶ ἐπιζητεῖτε, καὶ ἐν τούτοις ἡ καρδία ὑμῶν καὶ ἡ μέριμνα καὶ ἡ ἀδολεσχία, μήτι γὰρ ἄλλο, ἢ ἵνα καθαρθῆτε τελείως ἐκ τῶν παθῶν καὶ κτήσησθε "καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην", προσευχήν τε ἄοκνον, σπουδὴν ἀνένδοτον, κατανύξεως δάκρυα, ἀμεριμνίαν παντελῆ, οὐ λέγω φίλων καὶ συνήθων, ἀλλ' ἤδη καὶ αὐτῶν τῶν τεκόντων καὶ πάσης σχεδὸν τῆς ματαιοπόνου ἀδολεσχίας. καὶ οὕτως ἐστὶν εὐδοκία θεοῦ· καὶ γὰρ ὁρῶ ἕνα ἕκαστον ὑμῶν, πῶς ἀεὶ ἐνίσταται καὶ ἐναθλεῖ καὶ ἐκβιάζεται ἑαυτὸν ἀπορῥαγῆναι παντὸς πάθους ἐνοχλοῦντος καὶ μετὰ θεοῦ μόνου γενέσθαι τῇ διαθέσει.

Οὕτω τοιγαροῦν, ὑπομένουσιν ἐν τῇ μαρτυρικῇ ταύτῃ ὑποταγῇ, δώσειεν ὑμῖν Χριστὸς ὁ θεὸς ἡμῶν "ἰσχὺν καὶ κραταίωσιν" ἀποτρέψασθαι ὑμᾶς πᾶσαν ἐμπαθῆ καὶ σατανικὴν ἀντιπαράστασιν καὶ εὐμαρῶς διανύσαι τὸν προκείμενον ὑμῖν τρισμακάριστον ἀγῶνα, καθάπερ καὶ τοῖς προβεβιωκόσιν ἁγίοις ἀνδράσι καὶ θεοφόροις πατράσιν ἡμῶν. μὴ γὰρ κἀκεῖνοι, σῶμα περικείμενοι καὶ ὁμοιοπαθεῖς ἡμῖν ὄντες, δίχα πόνων καὶ ἀγώνων διεξῆλθον τὸν τῇδε βίον; οὐ μὲν οὖν, ἀλλὰ πολλὰ πολυτρόπως ἐνηθληκότες καὶ διαγωνισάμενοι καὶ διὰ πάσης ὑπακοῆς καὶ ταπεινώσεως, ἐγκρατείας τε καὶ τῆς λοιπῆς ἀρετῆς, ὑποτάξαντες τὴν σάρκα τῷ πνεύματι ἀνέδραμον εἰς τὸ τῆς πολιτείας ὕψος καὶ ἐκτήσαντο, ἃ ἐκτήσαντο, τὸ δοξασθῆναι αὐτούς.

Ἐπιμνησθῶμεν τοίνυν τὰ τοῦ πανοσίου πατρὸς ἡμῶν Σάβα κατορθώματα, εἰς ἐφόδιον τῶν ψυχῶν ἡμῶν, καὶ μὴ ἀμνημονήσωμεν τὰ τοῦ ὁμοταγοῦς ἡμῶν προτερήματα· ὑποτακτικὸς γὰρ ὤν, ὡς ἴστε, ὑπήκοος ἦν

13 κῶδ. *ὑμῖν*.

10/11 Ψαλμ. ν', 19. 12 κῶδ. *ἀνένδωτον*. 24 Ψαλμ. ξζ', 36. 25 κῶδ. *ἡμᾶς*.

ἄκρως, εὐπρόθυμος, εὐδούλευτος, καὶ τὰς ἐσχάτας διακονίας λαμβάνων ἔχαιρεν ὡς δοξαζόμενος, κοπιῶν μὲν ταῖς χερσὶν νύκτωρ καὶ μεθ' ἡμέραν, ὑδροφορῶν, ξυλοφορῶν, πρῶτος ἐρχόμενος εἰς τὴν ψαλμῳδίαν καὶ ἔσχατος ἐξερχόμενος καὶ εἴ τι ἄλλο περὶ αὐτοῦ ὅσιον γέγραπται· οὐ γὰρ σχολὴ μακρηγορεῖν, διὰ τὴν ὥραν. μιμησώμεθα οὖν τοῦτον, τέκνα, καὶ ἡμεῖς (δυνατὸν γάρ ἐστιν, ὃ μὲν ἐν τούτῳ, ὃ δὲ ἐν ἄλλῳ πλεονεκτήματι συντρέχοντες καὶ συναμιλλώμενοι ἀλλήλοις ἐν τοῖς κατορθώμασι), καὶ πρὸ πάντων γε ἐκεῖνο φυλαξώμεθα, τὸ μή τι οἰκειοβούλως πράσσειν, μηδὲ αὐτὰ τὰ δοκοῦντα ἡμῖν καλά, ἄνευ τῆς καθηκούσης διερωτήσεως. πρὸς δὲ τούτοις οὐδὲ ἐκεῖνο σιωπῆσαι ἄξιον, εἰ καὶ μέμψεως ἔχει αἰτίαν, ὅτι οὐκ οἶδ' ὅπως τοῦτο πράττεται καὶ ἐνεργεῖται παρά τισιν ἀμυήτοις καὶ καταφρονηταῖς, λέγω δὲ τὸ γενέσθαι ἀπωλείας, μᾶλλον δὲ κλοπὰς συχνοτέρως· ἐπὰν γὰρ ἐάσῃ τις τὰ οἰκεῖα καλίκια, ἢ τὰ ὀρτάρια, ἢ τὰ γραφεῖα, ἢ ἄλλα τινά, ἢ ἐν τῷ κοιταρίῳ, ἢ ἐν ἄλλῳ τόπῳ ἀσφαλείας, ἀπιὼν εἴς τινα ἀπόκρισιν, ἢ καὶ μακρότερον ἀποδημῶν, ὑποστρέφων οὐχ εὑρίσκει ἃ κατέλιπε. καὶ τοῦτο ὅλον διαβόλου ἔργον, καὶ τοῦτο ὁλέθριον καὶ ταρακτικὸν ἐν ἀδελφότητι. πρῶτον μὲν λύπαι καὶ ἔχθραι, ὑποψίαι τε καὶ καταλαλιαὶ διὰ τοὺς ὑπευθύνους καὶ εἰς τοὺς ἀνευθύνους, ἔπειτα καὶ κατὰ τὴν ἀπόφασιν τοῦ μακαρίου ἀποστόλου κλέπται βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. "κλέπται" δὲ εἰπὼν οὐ προσέθηκε "χρυσίου ἢ ἀργυρίου, ἢ ἱματισμοῦ πολυτελοῦς", ἀλλὰ ἁπλῶς τὴν φωνὴν ἐξέδωκεν ἐφ' ὅτου οὖν καὶ βραχυτάτου πράγματος.

Διὰ τοῦτο, παρακαλῶ ὑμᾶς, μὴ κλέπτετε σακκορράφια, βελόνια, πινακίδια, κηρούλια, λουρίδια, ἐγχείρια μαχαίρια, ζωνάρια, προσθήσω δὲ καὶ κρομμύδια καὶ συκίδια καὶ ἀρτίδια καὶ λαχανίδια καὶ τὰ τούτοις ὅμοια· οἱ γὰρ τοιαῦτα κλέπτοντες καὶ πάλιν λέγω βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. οὐ φοβεῖ ὑμᾶς ὁ ἀποστολικὸς ὅρος; μήτοι ἐγώ εἰμι ὁ τάλας ἐπαπειλῶν; γνωρίζετε τὰ ἀναγινωσκόμενα. διὰ τοῦτο οὖν, παρακαλῶ ὑμᾶς, ἀξίως περιπατήσωμεν τῆς κλήσεως ἡμῶν, ἧς ἐκλήθημεν, καθαρῶς, ὁσίως καὶ δικαίως, τῶν προειρημένων πάντων ἀπηλλαγμένοι, ἵνα κληρονόμοι ἐσώμεθα τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Κς'.

Περὶ τοῦ πρὸς ἓν μόνον ἀποβλέπειν, εἴτουν τὸ σῶμα τῶν ἑαυτῶν ψυχῶν.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, οὐκ ἐν ταύτῃ τῇ κατηχήσει εἰμὶ πεποιθώς. ἄπαγε. οὐ γάρ ἐστί τινος ἀξία, ἀλλ' ἐπὶ τῇ τοῦ κυρίου μου ἀγαθότητι, τῇ φρουρούσῃ καὶ συνετιζούσῃ καὶ στηριζούσῃ τὰς καρδίας ὑμῶν εἰς τὸν φόβον αὐτοῦ, δι' ἧς καὶ αὐτὸ τὸ ταπεινόν μου στόμα ἀνοίγεται μικρόν τι πρὸς διάλεξιν τῆς ἐπιδεομένης χρείας, εἰς καταρτισμὸν τῆς τιμιότητος ὑμῶν, συνεπικουρούσης δηλονότι καὶ τῆς εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν. καὶ πολλὰ μὲν εἰρήκαμεν πρότερον, καὶ πάλιν δὲ ἐροῦμεν, καὶ ἐροῦντες οὐ παυσόμεθα, καὶ ἕως ἂν εἰμὶ ἐν τῷ δυστήνῳ σαρκίῳ μου, οὐκ ἀνήσω. οὐκ ἀνόνητος δέ, ὡς οἶμαι, γίνεται ἡ διάλεξις, ἀγαπητοί, ἀλλὰ τῇ ἐθελοσώστῳ προαιρέσει ὑμῶν. εἰ καὶ μηδαμινή, ὅλως εἰς βάθος που χωροῦσα τῶν καθαρῶν ὑμῶν καρδιῶν καὶ ἐνέσπειρε καὶ ἀνεβλάστησε καὶ ἤνεγκε τὸν καρπὸν οὐκ ὀλίγον, οὐδὲ φθειρόμενον, ἀλλ' εἰς αἰῶνα διαμένοντα. τὸ ἔργον ὑμῶν οὐκ ἀπολλύμενον, οὐδὲ ἀπορρυόμενον, ἀλλ' "ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων" Δαυϊτικῶς εἰπεῖν, ἐν αὐτῇ τῇ ἀσκητικῇ ζωῇ πεφυτευμένον δείκνυται, καὶ θάλλει καὶ ἀνθοφορεῖ καὶ ἐν τῷ μέλλοντι αἰῶνι τὸν καρπὸν ὑμῶν ἀποδώσειεν τῷ δεσπότῃ θεῷ.

Τοιγαροῦν χαίρετε καὶ εὐφραίνεσθε, καὶ

---

31 Κορινθ. 1, ς', 8, 9.

2/4 Ἐφεσ. δ', 1. 11 κῶδ. ἤτ' οὖν. 35/36 Ψαλμ. α', 3. 41 κῶδ. χαίρεται.

τὴν τηλικαύτην χαρὰν μηδὲν ἀρεῖ ἀφ' ὑμῶν τῶν εἰωθότων συμπίπτειν καθ' ἑκάστην λυπηρῶν καὶ θλιβερῶν ὁρατῶς τε καὶ ἀοράτως, πρὸς ἓν μόνον ἀποσκοπούντων. τοῦτο δέ ἐστι τὸ περὶ τῶν ψυχῶν ὑμῶν σῶσμα, ἡγεῖσθαι τὰ πάντα δεύτερα, καὶ τὰ ἐξ ἐγκρατείας πονήματα καὶ τὰ ἐξ ἐπιτιμίων κολαφίσματα, καὶ τὰ ἐκ προσκρούσεων ἀλγήματα, καὶ τὰ ἐξ ὑπακοῆς ἐπιφορτώματα, καὶ τὰ ἐξ ἐργοχείρων ἱδρώματα, καὶ τὰ ἐξ ἀγρυπνιῶν ὀλιγωρήματα, καὶ τὰ ἐκ τῶν κατὰ τὰς ὡρισμένας ὥρας ψαλμῳδιῶν συμβαίνοντα ὀχλήματα, καὶ εἴ τι ἄλλο, ὡς εἰς ὁδὸν πορευόμενοι καὶ ἀμφότερα παρατρέχοντες, τά τε ἡδέα, τά τε δυσχερῆ, καὶ πρὸς οὐδὲν καθελκόμενοι, ἀλλὰ πρὸς τὸ κατάλυμα σπουδῇ πολλῇ ἐπειγόμενοι πρὶν ἢ δῦναι τὸν ἥλιον. τί δέ ἐστι τὸ κατάλυμα, ἀδελφοί μου, ἀλλ' ἢ ὁ θάνατος; τίς δὲ ἡ λεχθεῖσα ἑσπέρα, ἀλλ' ἢ ἡ τῆς ζωῆς ταύτης ἐν τάφῳ κατάδυσις, οὐ μὴν οὕτω καταλῦσαι, ὡς ἐν ζοφερῷ καὶ δυσωδεστάτῳ χωρίῳ κατακλειόμενοι, ἀλλὰ κατὰ πρῶτον μὲν λόγον ὡς χριστιανοὶ ἀληθινοί, ἔπειτα δὲ ὡς ἐν τῷ ἁγίῳ σχήματι τούτῳ ἐναθλήσαντες ὑποτακτικῶς ἀναλάμψαι εἰς ζωὴν αἰώνιον; καὶ ἡ ἡμέρα ἀπέραντος, ἥτις ὑπὸ τοῦ ἀπροσίτου ἐκείνου φωτὸς δημιουργεῖται εἰς ἀνάπαυσιν αἰωνίαν, τοῦτο μὲν μετὰ τὴν τελευταίαν ἀποκατάστασιν, ἡνίκα καὶ τὰ νῦν διαλυόμενα ἡμῶν σώματα ἐν ἀφθαρσίᾳ ἀναλάβωμεν, πρὸς τὸ τῶν αὐτῶν συμμετασχεῖν ὑμῖν ἀγαθῶν, ὡς συγκοπιάσαντα· τοῦτο δὲ καὶ εὐθὺς μετὰ τὴν ἀποβίωσιν, κἂν οὐ τελείως, ἐπειδὴ "ψυχαὶ δικαίων ἐν χειρὶ κυρίου, καὶ οὐ μὴ ἅψηται αὐτῶν θάνατος", καθὼς γέγραπται. ὅπου δὲ χεὶρ κυρίου, τί ἐκεῖ οὐ καλὸν καὶ ἀναπαυστικὸν καὶ θεραπευτικόν; ὥστε δῆλον, ὅτι, ὡς πάντες οἱ ἅγιοι καὶ δίκαιοι καὶ σεσωσμένοι, καὶ ὑμεῖς οἱ καλῶς τὸν ἀγῶνα ὑμῶν τελειοῦντες ἀπ' αὐτῆς τῆς ἀποθέσεως τοῦ σώματος ἐν αἰσθήσει τῶν ἡτοιμασμένων ὑμῖν ἀγαθῶν γινόμενοι ἐν χαρᾷ μέλλετε εἶναι διηνεκεῖ καὶ θυμηδίᾳ.

Μὴ οὖν λοιπόν τις νυσταζέτω, μηδὲ καθευδέτω, μηδὲ ῥεγχέτω, μηδὲ ὑπτιαζέσθω, μηδ' οὖν ὀκνείτω, μηδὲ γογγυζέτω, μηδὲ ἀπομενέτω, μηδὲ ὀπισθοποδείτω τοῦ οὐρανίου δρόμου τούτου καὶ θεοστεφανώτου καὶ πολυάθλου, ἀλλ' οἱ πάντες πανταχόθεν τὰ πάντα ἐρανιζόμενοι πολὺν τὸν μισθὸν ὑμῖν πορίζεσθε. ὁ γραφεὺς μὴ ἐκλυέσθω τοῦ γράφειν, ὁ κανοναρχῶν μὴ ἀτονείτω τοῦ σαλπίζειν, τοῦ ὑποψάλλειν, τοῦ διεγείρειν τὰς θείας χοροστασίας· ὁ φωτοποιὸς μὴ ἀκηδιάτω τοῦ ὑφάπτειν καὶ κοσμίζειν τὰ τῆς ἐκκλησίας ἱερὰ φωταγωγήματα· ὁ κελλαρίτης, ὁ ὀψοποιός, ὁ τραπεζάριος, ὃ μὲν ἐπιδιδούς, καθ' ὅ τι ἄν τις χρείαν ἔχῃ, μετὰ πολλῆς ἐπιτηρήσεως, εὐσπλαγχνίας τε καὶ συμπαθείας καὶ διακρίσεως τῶν προσώπων (ἄλλως γὰρ οὗτος καὶ ἄλλως ἐκεῖνος), ὃ δὲ ἐψῶν τὰ πρὸς τὴν χρείαν καὶ τῷ πυρὶ μαχόμενος, πρὸς τὸ κάλλιστα καὶ ἡδύτατα ἀπεργάζεσθαι τὰ βρώματα τῶν ἀδελφῶν· ὁ δὲ ἕτερος ἐν τῷ ἰσόσταθμον τὸν ἄρτον νέμειν, τὸν ἀπαλώτερόν τε καὶ ξηρότερον καὶ ἀχρειότερον μὴ ὡς ἔτυχε προσριπτεῖν, ἀλλὰ κατὰ διάκρισιν τοῖς ὑψηλοτέροις καὶ μέσοις καὶ ἐσχάτοις ἐπιμερίζειν (οὕτω τὰ σύνθετα, τὰ ἐλαιόκοκκα, τὰ κάρυα, τὰ λάχανα, τὰ κοχλιάρια, τὰ βαυκάλια), καὶ μηδὲ τοῦ ἐσχάτου παροπτάνεσθαι τὸ χρειῶδες, ὡς τοῦ κυρίου τὴν ἐπὶ τούτοις ὑπηρεσίαν ἀναδεχομένου, καθὼς διδάσκει ὁ θεῖος καὶ μέγας πατὴρ ἡμῶν Βασίλειος.

Τοιγαροῦν ἐκ τῶν προῤῥηθέντων διακονιῶν οἱ ἐν ταῖς λοιπαῖς ἐνειλημμένοι ἀναλάβετε τὸν νοῦν καὶ οὕτω ποιεῖτε, πρό γε πάντων ὁ οἰκονομῶν, ὁ παροικονομῶν, καὶ πρό γε τούτων ὁ τὰ δεύτερα φέρων, ὁ πρωτοπρεσβύτερός τε καὶ ὁ πρωτοεπιστημονάρχης, ὁ πρωτοκαλλιγράφος, ὁ πρωτοβεστιάριος, καὶ μάλιστά γε οὗτος, ἐνταῦθα γὰρ καὶ ἡ βάσανος. βλέπε, Λουκιανέ, ἡλίκην διακονίαν κατεπιστεύθης! δοξασθήτω ὁ θεὸς ἐν σοὶ δι' αὐτῆς. πρὸς τούτοις ὁ πρωτοκηπουρὸς καὶ ὁ πρωτοσκευτής· οὐδ' οὗτος ἔχει μικρὸν

11 κῶδ. *ὀλιγωρίματα*. 33/35 Σοφ. Σολομ. γ', 1.

10 κῶδ. *διεγέρειν*.

τὸν ἀγῶνα. βλέπε, Θεοδόσιε, ὁποίαν διακονίαν ἐπέχεις! εὔφρανον τὸν δεσπότην σου κύριον ἐν αὐτῇ. σὺ δὲ ποῦ διέφυγες ἡμῖν, πρωτονοσοκόμε; ἢ οὐκ οἶδας, ὅτι τῶν ἀθλούντων ὁ μέγιστος εἶ, εἴπερ συνιὼν κατέχεις σου τὴν διακονίαν; εἰ γὰρ μέγας ὁ ἀσθενῶν καὶ ὑποφέρων εὐχαρίστως, πόσου ἄξιος ὁ τοῦτον ἐξυπηρετούμενος θεοπρεπῶς καὶ ἀόκνως; βλέπε σύ τε καὶ οἱ μετὰ σοῦ, πῶς θεραπεύετε τοὺς νοσεροὺς καὶ πῶς συγκαίεσθε ταῖς καύσεσιν αὐτῶν, πῶς συμπονεῖτε τοῖς πονήμασιν αὐτῶν, πῶς συνεξολιγωρεῖτε τοῖς ἐξολιγωρήμασιν αὐτῶν, πῶς συνεξαπορεῖτε τοῖς ἐξαπορήμασιν αὐτῶν, εἰς θεὸν καὶ εἰς ὑμᾶς ἀποβλέπουσι! στρωννύσθωσαν τοίνυν αἱ στρωμναὶ—ὡς εἰπεῖν—καθ' ἑκάστην, διδόσθω καὶ τὰ πρὸς χρείαν ἀόκνως καὶ εὐκαίρως. γινέσθωσαν αἱ ἀλοιφαί, τὰ ἐπιθέματα, αἱ φαρμακοποσίαι, τὰ ἄλλα θεραπεύματα, κατ' ἀξίαν δὲ προσώπου ἕκαστον, καὶ βρῶμα καὶ πόμα καὶ στρῶμα καὶ εἴ τι τῶν ἄλλων. καὶ ἐὰν ταῦτα ἀκούοντες καὶ ποιῆτε καὶ ἐνεργῆτε, μακάριοί ἐστε καὶ υἱοὶ θεοῦ κληθήσεσθε.

Οὕτω γοῦν μεγάλαι καὶ ἀξιοθαύμαστοι αἱ ὑπηρεσίαι ὑμῶν, καὶ ἱεροτελεῖς καὶ ἁγιοπρεπεῖς, καὶ τρισμακάριστος ὁ οὕτω ποιῶν, κἂν μεμβρανᾶς, κἂν σκυτεύς, κἂν ἀγκιστρᾶς, κἂν θυρωρός, κἂν κεραμεύς, κἂν κατηναρᾶς, κἂν βυρσεύς (καὶ μάλιστά γε οὗτος), κἂν τραπεζᾶς, κἂν ἁλιεύς (οὐδὲ τὸν τρόπον παρατρέχω), κἂν ζωγράφος (καὶ μάλιστά γε οὗτος, θείας μορφὰς δημιουργῶν καὶ προσκυνητάς), κἂν κανισκᾶς, κἂν οἰνοχόος (καὶ μάλιστά γε οὗτος), κἂν ὁριάριος (καὶ μάλιστά γε οὗτος), κἂν κτηνίτης (καὶ μάλιστά γε οὗτος), κἂν ὑφάντης (καὶ μάλιστά γε οὗτος), κἂν σελλοποιός, κἂν εἴ τις οὖν ἄλλος. μακάριοι πάντες, ἐργάται θεοῦ πάντες, γεωργοὶ τοῦ τῆς τρυφῆς παραδείσου. πάντας οὖν ὁ κύριός μου καὶ θεός, δι' εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, διαφυλάξει ἐνεργοῦντας τὰς ζωοποιοὺς αὐτοῦ ἐντολάς, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΖ'.

Περὶ τοῦ μὴ δυσκινήτους ἡμᾶς ἀλλ' εὐκινήτους εἶναι πρὸς τὰς ἐντολὰς τοῦ θεοῦ.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν, μάλιστα ἐν ταῖς παρούσαις ἡμέραις διαγνοὺς τὴν ἐπίδοσιν τῆς προθυμίας ὑμῶν ἐπὶ πᾶσι μὲν τοῖς ἄλλοις, ἐξαιρέτως δὲ ἐν ταῖς ἐθελουσίοις ἀτιμασίαις, πῶς ἑαυτοὺς ἐπιδίδοιτε, καὶ ὁ μὲν δεσμεῖται, ὁ δὲ σιδήρῳ περιβάλλεται, ὁ δὲ σχοινίῳ δέδεται περὶ τὸν τράχηλον, προπομπὴν ποιούμενος ἐπὶ πάσης τῆς ἀδελφότητος, ὁ δ' ἄλλος λυσίζωνος παριστάμενος, ἢ ἑτέρως πως, ἵνα μὴ καθ' ἕνα καταλέγωμεν, καὶ οὕτως πέπεισμαι, ὅτι ἡ ἀθλιότης μου μόνη ἐμποδίζει, ἐπεὶ οὐδὲν τὸ κωλῦον τὰ τῶν πατέρων ἡμῶν ἀνδραγαθήματα ἐπιδείκνυσθαι. καὶ πρὸς ταῦτα τί εἴπω; ὅτι οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ὑμῶν πατήρ, οὐδὲ διδάσκαλος, οὐδὲ καθηγούμενος, διὰ τὴν καλλίστην ὑμῶν πεποίθησιν καὶ ἐνάρετον διαγωγήν. εὔχομαι δ' ὅμως μηδὲν ὑμᾶς ἐγκόπτεσθαι ἐκ τῆς ἐμῆς ἀθλιότητος, ἀλλ' ἢ μεγαλοψύχως ἐπὶ πάσης ἐργασίας πνευματικῆς ἀθλεῖν νομίμως ἐν τῷ μαρτυρίῳ τῆς ἀμωμήτου ὑποταγῆς. ἕκαστος δὲ ἴδιον χάρισμα ἔχει, καθὼς γέγραπται, καὶ ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο. ὥστε καὶ ὑμεῖς, ἀδελφοί μου ἠγαπημένοι, ἰδιοποιεῖσθε τὰ ἀλλήλων κατορθώματα καὶ χαίρετε τῇ ἑτεροίων προκοπῇ. σὺ τυχὸν φέρεις τὴν τοιάνδε ἀτιμίαν, ἕτερος δὲ νικᾷ ἐν τῇ πολυεργίᾳ, καὶ ἄλλος πλεονεκτεῖ ἐν τῇ σιωπῇ, καὶ ἕτερος ὑπερέχει ἐν τῇ εὐηκοΐᾳ καὶ ἀμφότεροι τὰ ἀμφότερα ἔχετε. εἰς ἀλλήλους περιχωρεῖ τὸ καλόν, ὥσπερ καὶ τὸ ἐναντίον. διὰ τοῦτο χαίρετε καὶ συγχαίρετε ἀλλήλοις, καὶ καθ' ὅ τις ἔχει χάρισμα, ἐν τούτῳ ἐπειγέσθω, φεύγων τὸ κενόδοξον καὶ τὸ τοῦ ἀδελφοῦ αὐτοῦ μεῖζον λογιζόμενος κατόρθωμα.

Ἐὰν τοίνυν οὕτως ἐσμὲν καὶ εἰς ἀλλήλους

15 κῶδ. *λυσίζονος*. 16 κῶδ. *καταλέγομεν*.

συγκιρνώμεθα καὶ πρὸς ἀλλήλους δεσμούμεθα τῇ ἑνώσει τῆς ἀγάπης, προκόψομεν μᾶλλον καὶ μᾶλλον καὶ ὁ θεὸς δοξασθήσεται ἐν τῷ ἔργῳ ἡμῶν, καὶ ἀκουστὴ ἡ πολιτεία ἡμῶν γενήσεται ἐν πολλῷ μέρει τῆς οἰκουμένης. μηδεὶς δὲ ἔστω, παρακαλῶ, ἰδιοθελὴς καὶ ἰδιόῤῥυθμος· "οὐαὶ γάρ", φησίν, "οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες". μηδεὶς νωθρὸς καὶ παρειμένος, ἵνα μὴ ἀκούσῃ "ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ"· μηδ' αὖ πάλιν ἀπληροφόρητος καὶ ἐπαμφοτερίζων ταῖς κρίσεσιν, ἵνα μὴ καὶ οὗτος ἐπακούσῃ τοῦ λέγοντος "ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ". ἀλλὰ πάντες εὐκίνητοι, ἀεικίνητοι πρὸς τὴν ἐργασίαν τῆς ἐντολῆς, εἰλικρινεῖς καὶ ἀπρόσκοποι διὰ τῆς τῶν κρυπτῶν ἐξαγορεύσεως, μὴ κρατούμενοι ὑπὸ τῆς κενῆς δόξης, μηδὲ καθελκόμενοι ὑπὸ τῶν μυσαρῶν ἡδονῶν, μηδὲ ἐξελκόμενοι ὑπὸ τῆς ἰδίας ἐπιθυμίας· ὁ γὰρ τοιοῦτος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ καὶ στάσιν μὴ ἔχοντι, μηδὲ βάσιν ἐν τῇ καρδίᾳ αὐτοῦ· ἀλλ' ἀπήει ἐξ ὑμῶν πάντων τὰ τοιαῦτα. ὅσα δέ εἰσιν ἐπαινετὰ καὶ κρείττονα, καὶ κτήσοισθε καὶ καταπλουτήσοιτε καὶ ἀποθησαυρίσοιτε ἐν ταῖς τιμίαις ὑμῶν ψυχαῖς, πρὸς ἐπιτυχίαν τῆς βασιλείας τῶν οὐρανῶν. ὃ οὖν τις ὑμῶν ἐργάζεται καθ' ἑκάστην ἡμέραν, εἴτε ἐπαινετόν, εἴτε ψεκτόν, παρατρέχον ἐστίν· ἀμείβεται γὰρ ὡς ῥοῦς ποταμιαῖος, καὶ τοσοῦτον, ὥστε οὐδὲ αἴσθησιν τῆς χθὲς ἡμέρας πρὸς τὴν παροῦσαν ἀποσῴζειν ἔχει. ἀλγεῖ τις ὑπὲρ ἐντολῆς, κοπιᾷ, θρηνεῖ, ὑπομένει, ἰδροῖ, καρδιουλκεῖται, στενοχωρεῖται, ἀδημονεῖ ἢ τυχὸν καὶ ὀνειδίζεται καὶ ἕτερά τινα πανθάνει πρὸς ὥραν ἢ αἴσθησιν, καὶ εὐθὺς παρέδραμε καὶ μένει ὁ ὑπομεμενηκὼς εἰς αἰῶνας αἰώνων, τηρούμενος πρὸς μισθαποδοσίαν. πάλιν οὖν ἡδονεύεταί τις, γελᾷ, τρυφᾷ, ἀτακτεῖ, στρηνιᾷ, παίζει, ἀργεῖ, ἀνυποτακτεῖ, παῤῥησιάζεται, περπερεύεται, φθονεῖ, βασκαίνει, ὀργίζεται, θυμοῦται, δυσπιστεῖ, πονηρεύεται, παρακούει, ὑψηλοφρονεῖ, ῥᾳθυμεῖ καὶ τὰ ὅμοια, μετὰ τὸ οὐδὲν πρὸς τὴν παροῦσαν ὥραν ὠφελεῖσθαι, ἔτι καὶ θησαυρίζει ἑαυτῷ κρῖμα ἀπαραίτητον ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως καὶ δικαιοκρισίας τοῦ θεοῦ. διὰ τοῦτο, ἀδελφοί μου, ἐπιλογισώμεθα καὶ ἑλώμεθα τὴν ἀρετήν, ὡς δὲ μοχθηρὰν καὶ ἐπαχθῆ φύγωμεν τὴν κακίαν· εἰ μὴ γὰρ οὕτω διακρίνωμεν τὰ πράγματα, οὐ δυνάμεθα βλέψαι ὀρθῶς, τοῦ καλοῦ τε καὶ τοῦ κακοῦ διαφορὰν ποιούμενοι. ἀλλ' ἐπεὶ χάριτι Χριστοῦ ἐβλέψαμεν, φύγωμεν ἀπὸ τοῦ σκότους, προσεγγίσωμεν δὲ τῷ φωτὶ καὶ τὰς ὑπολοίπους ἡμέρας τῆς ἐπικήρου ἡμῶν ζωῆς τελέσωμεν εὐαρεστοῦντες θεῷ, ἵνα ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν σὺν πᾶσι τοῖς ἁγίοις, τοῖς ἀπ' αἰῶνος αὐτῷ εὐαρεστήσασιν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

5 κῶδ. *ὑμῶν*. 7/9 Ἡσαΐου ε', 21. 10/11 Παροιμ. ς', 6. 10 κῶδ. *ἴσθι*. 13/15 Ἰακώβου α', 8.

ΚΑΤΗΧΗΣΙΣ ΛΗ'.

Ὅτι ἡ ταπεινὴ ἡμῶν κατήχησις πολὺ κέρδος εἴωθε ταῖς ψυχαῖς ἡμῶν ἐμποιεῖν χάριτι Χριστοῦ.

Ἀδελφοί μου καὶ πατέρες, ἐρωτῶ, τίνος ἕνεκεν γίνεται ἡ κατήχησις; ἆρα ἵνα μόνον πρὸς ὥραν ἀναγνωσθῇ καὶ τέρψωμεν ὑμῶν τὰς ἀκοὰς τυχόν, ἢ αὐτοὶ ἐπαινέσητέ με ἐκ διαθέσεως, ἢ καὶ πρὸς χάριν; οὐδαμῶς. μὴ οὕτω, τέκνα, ἀλλὰ διὰ τοῦτο ῥέσκεται, ἵνα ἐνωτίζησθε τὰ λεγόμενα καὶ ἡ δύναμις ἐνιζάνῃ ταῖς ψυχαῖς ὑμῶν καὶ φέρῃ τινὰ καρπὸν διὰ τῆς χάριτος τοῦ Χριστοῦ, συνεπικουρούσης τῆς εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν. ἐγὼ δὲ ὡς τὰ πολλὰ ἐν τοῖς πολλοῖς οὕτως ὁρῶ, ὅτι ἅμα τῆς ἀναγνώσεως καὶ εὐθὺς παρῆλθε τὰ λεγόμενα, καὶ ὡς ὅτι οὐδὲ ἐσημάνθη ὑμῖν τι περὶ τῶν προῤῥηθέντων· εὐθὺς γὰρ ἐξερχόμεθα, μετὰ τὴν ἀποπλήρωσιν, καὶ ἐν τοῖς αὐτοῖς ἐμπίπτομεν

4/6 Ῥωμ. β', 5. 22 Novae patrum bibliothecae t. IX, pars II, σ. 112-113. 24 κῶδ. *ὑμῶν*. 35/36 πατρός μου δι' ὑμῶν V.

κατηγορήμασιν. ὁ μὲν γὰρ ἄρχεται ἀκαίρως συντυγχάνειν, ὁ δὲ ἀφαρεὶ ἐπερωτᾶν, ἄλλος γογγύζειν, ἕτερος ἀποδυσπετεῖν πρὸς τὸ καλοῦν ἔργον, ἄλλος ἐνδιαβάλλειν καὶ διεγείρειν μάχας, ἕτερος λοιδορεῖν καὶ ὁ μὲν ὑποκρύπτεσθαι παρὰ τὰς γωνίας τοῦ μοναστηρίου, ὁ δὲ ἡλίου λάμποντος μόλις ἐξανίστασθαι τῆς κοίτης καὶ καθέζεσθαι ἐν τῷ ἐργοχείρῳ· τὰς γὰρ νωθείας καὶ τὰς ἐκλύσεις καὶ τοὺς νυσταγμοὺς καὶ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα καὶ τὴν τοῦ ὅλου σώματος ἐξάτονον ὄκλασιν πάρειμι λέγειν.

Μὴ οὕτω τοιγαροῦν, τέκνα· μηδαμῶς, ἵνα μὴ ἀκούσητε "οὗτος ὁ λαὸς τοῖς χείλεσί με εὐλογεῖ, τῇ δὲ καρδίᾳ πόρρω ἀπέχει ἀπ' ἐμοῦ, μάτην δὲ σέβονταί με". ἀλλ' ἐπὰν ἀκούσωμεν τοῦ σωτηρίου λόγου, εἴτε διὰ κατηχήσεως, εἴτε δι' ἐπακροάσεως τῶν θεοπνεύστων Γραφῶν, καθ' οἵαν ὥραν συμβῇ, γενηθήτω ἐν τῇ καρδίᾳ ὑμῶν κίνησις φόβου θεοῦ, σπινθὴρ ἀγάπης αὐτοῦ, ἐπιθυμία προκοπῆς, ἔφεσις ἐργασίας τῶν ἁγίων ἐντολῶν, ἵνα ἀξιωθῶμεν τῆς αὐτοῦ βασιλείας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΛΘ'.

Ὅτι τοῖς καλῶς εὐδρομοῦσιν ἀπόκεινται οἱ τῆς δικαιοσύνης στέφανοι.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ὀφειλέτης ὑμῶν εἰμι τοῦ ἀλείφειν ὑμᾶς λόγοις παρακλητικοῖς, εἴπερ καὶ δυναίμην ὁ πτωχὸς καὶ εὐτελὴς πρὸς τοὺς προκειμένους ἀγῶνας, καὶ συμπροθυμεῖσθαι περὶ τὰς χρηστοτέρας ἐλπίδας. διὰ τοῦτο ἡ ὀλιγοστὴ καὶ πενιχρὰ κατήχησις αὕτη. δέξασθε τοιγαροῦν λόγον παρακλήσεως καὶ τὸ νῦν, καὶ συνεγέρθητε καὶ προθυμίας πλησθέντες τελεῖτε τὸν δρόμον τὸν πνευματικὸν (δρομεῖς γάρ ἐστε ὡς ἀληθῶς τοῦ δεσπότου θεοῦ), καὶ διανύετε δρόμον, οὐχ οἷον οἱ ἐπὶ γῆς τρέχοντες ἐν μιᾷ καιροῦ ῥοπῇ δίαυλον βραχὺν καὶ εὐπεριόριστον, ἀλλὰ τὸν ἀπὸ γῆς εἰς οὐρανὸν φέροντα, πολυετῆ τε καὶ πολυστάδιον. οὐδὲ ἐν μικρᾷ τινι γωνίᾳ μιᾶς πόλεως θεατὰς τοσούτους γε καὶ τοσούτους ἔχοντες, ἀλλ', ὡς ἔοικεν, ἐπὶ τῆς οἰκουμένης τὰ ἀπειροπληθῆ τάγματα τῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων καὶ δικαίων ἐπόπτας κεκτημένοι, καὶ ὁ στέφανος ὑμῖν νικῶσι καὶ τὰ ἔπαθλα οὐ φθαρτά, ὡς οἷα φθαρτὸς δίδωσι βασιλεύς, ἀλλὰ ἄφθαρτα καὶ ἀπρόσιτα, κατὰ τὸν αὐτὸν διανομέα, ἄφθαρτον ὄντα καὶ παμβασιλέα θεὸν τῶν ἁπάντων. οὐδὲ πάλιν ἡ χαρὰ τῆς νίκης λύπη σύγκρατος ἐπὶ μικραῖς ἡμέραις τε ἱσταμένη καὶ αὖθις διαλυομένη, οὐ μὲν οὖν, ἀλλὰ χαρὰ ἄλυπος καὶ ἀνώδυνος, καὶ τῆς εὐφροσύνης ταύτης οὐκ ἔσται τέλος εἰς τοὺς αἰῶνας.

Μακάριοι μὲν οὖν πρῶτον μέν, ὅτι ἐν τοιούτῳ σταδίῳ εἰσεληλύθατε διὰ τοῦ ἐπανηρημένου ὑμῖν σχήματος ἁγίου. μακαρίους δὲ ὑμᾶς μᾶλλον ἄν τις ὀνομάσειε τότε, ὁπόταν, ἀποδραμόντας διὰ θανάτου, στεφανοῖ ὑμᾶς Χριστὸς ὁ θεὸς ἐν τῇ ἀῤῥήτῳ καὶ ἀθανάτῳ εὐζωΐᾳ. διὸ βλεπέτω ἕκαστος ὑμῶν, ἀγαπητοί, ὅπως τρέχῃ καὶ ὅπως καταλαμβάνῃ τὰ σημεῖα τῆς ἀρετῆς, διαβαίνων καὶ ὑπερβαίνων τοὺς συντρέχοντας πειρασμοὺς τοῦ διαβόλου, πνεῦμα ἰσχύος λαμβάνων, ὑπομονῆς τε καὶ καρτερίας, καὶ μήτε ἐντεῦθεν, μήτε ἐκεῖθεν αἰνιγματωδῶς διαβλεπόμενος, ἀλλ' ὅλος συντεταγμένος ὢν πρὸς τὴν ἀποπεράτωσιν τοῦ δρόμου, μὴ σκάζων ἔν τινι, μηδὲ περιτρεπόμενος ταῖς ἐναντίαις ὑπαντήσεσι. καὶ γοῦν μὴ δειλιάσητε, ἐπείπερ πολύ ἐστι τὸ διάστημα καὶ ὁ χρόνος. ἄγγελον ἑνὶ ἑκάστῳ παρέσχεν ἡμῖν ὁ ἀγωνοθέτης θεός, καὶ συνδιαμείβει τοὺς ἀγῶνας καὶ ὑπερμαχεῖ κατὰ τῶν ἐναντίων ἐπὶ παντὸς καιροῦ καὶ τόπου.

Ἑδράμετε τοιγαροῦν καλῶς ἀπὸ πρώτης ἡμέρας τῆς ἐνταῦθα ὑμῶν ἐλεύσεως ἕως τοῦ παρόντος, καὶ εἴ καί τινες ὑπεσκελίσθη-

5 καὶ ἕτερος V.

14 τῶν] κῶδ. *τὸν*. 18 κῶδ. *ἀνόδυνος*.

σαν, πάλιν ἀνωρθώθησαν. καὶ εἰ ἐῤῥᾳθυμήκασιν, ἀλλὰ αὖθις ἀνεκλήθησαν. καὶ εἰ κατητόνησαν, ἀλλὰ θᾶττον ἀνερῤῥώσθησαν. θελήσεως γὰρ καὶ προαιρέσεώς ἐστιν ἐμπράκτου χρεία, πρὸς τὸ εὐτονεῖν καὶ τρέχειν ἴσα καὶ ἵπποις καὶ πτηνοῖς· μᾶλλον δὲ καὶ ὑπὲρ πάντα ταῦτα ἀκατάφθαστα καὶ ἀκατάληπτα, κἂν τυχὸν σωματικῶς χωλαίνων ἔστι τις, ἢ μονόπους, ἢ ἄπους, ἢ κλινήρης· τοιοῦτο γὰρ τὸ μεγαλοδώρημα. δράμοιτε καὶ ἀπὸ τοῦ παρόντος, παρακαλῶ, μὴ ἐλάττονα τῶν προτέρων, ἀλλὰ καὶ ἐπεικτικώτερα συντρέχοντες καὶ συναμιλλώμενοι τὴν καλὴν ἅμιλλαν ταύτην. προτρέχειν δέ ἐστιν ἐν τῷ ταπεινοφρονέστερόν τινα εἶναι, καὶ προάγειν ἐστὶν καὶ ὑπερβάλλειν ἐν τῷ ὑπηκοώτερον εἶναι καὶ εὐλαβέστερον καὶ ἀγογγυστικώτερον καὶ ψαλμικώτερον καὶ ἡσυχαστικώτερον, πολυεργαστικώτερόν τε καὶ εὐκτικώτερον, ἐξαγορευτικώτερόν τε καὶ ἀπαῤῥησιαστικώτερον, ἀκακώτερόν τε καὶ ἀφθονέστερον, πειστικώτερόν τε καὶ φιλοπατριώτερον, καὶ ὅσα ἄλλα κατά τε ψυχὴν καὶ σῶμα ἐνεργεῖται τῆς ἀρετῆς ἰδιώματα. τούτοις καὶ ἐν τοῖς τοιούτοις ἔστω ὑμῶν τὸ τρέχειν, καὶ δι' αὐτῶν ἐπαιρώμεθα ἐκ δυνάμεως εἰς δύναμιν καὶ ἀπὸ κόσμου εἰς οὐρανόν, καὶ μακάριός ἐστιν ὃς ἀπλήστως δράμει, ὅτι πλουσιωτέρως στεφανωθήσεται καὶ ἀνακηρυχθήσεται ὑπὸ τοῦ δεσπότου θεοῦ ἐπὶ τοῦ φοβεροῦ βήματος ἐκείνου.

Ἔστω οὖν ἡμῶν λοιπὸν ἡ ἀγάπη κοινὸν ἰδίωμα, χαρακτηρίζον ὑμᾶς δρομεῖς τοῦ μεγάλου βασιλέως, μᾶλλον δὲ μαθητάς, ἵν' οἰκειότερον εἴπωμεν. καὶ ἐν τῇ ἀγάπῃ μένοντες στέργετε τὰ εἰς ἀλλήλους, τὰς προτιμήσεις λέγω καὶ προχειρίσεις εἴτε διακονιῶν, εἴτε ἐργοχείρων, εἴτε στάσεων καὶ τάξεων. καὶ ἀπέστω φθόνος καὶ ἀπελήλασθω ἔρις, καὶ ἀποσκορακιζέσθω θυμὸς καὶ πᾶν φαῦλον πρᾶγμα, τὰ τῶν πλησίον εὐδοκιμήματα ἰδιοποιούμενοι καὶ χαίροντες ταῖς ἀλλήλων προκοπαῖς. οὕτω γὰρ εὐδρομεῖν ἐστι καὶ οὕτω θεραπεύειν θεόν, καὶ οὕτω τις νικᾷ, κἂν μηδὲν ἄλλο τι κέκτηται. ἡ ἀγάπη γὰρ τὸ μέγα κλέος τῶν ἀρετῶν, τὸ δὲ διαπονεῖσθαι, ὅτι ἐκεῖνος προεκρίθη ἐν τῷδε τῷ πράγματι καὶ ἐν τῇδε τῇ διακονίᾳ, σαθρὸν καὶ ἐπιβλαβὲς καὶ τῆς ἐναντίας μερίδος γνώρισμα. μὴ δὴ οὕτως, μὴ δή, ὅτι "μᾶλλον ὤφειλον ἐγὼ ὑπὲρ τὸν δεῖνα ἀναπαύεσθαι" καὶ "πολυχρονιώτερος ὢν τοῦ δεῖνος, χρεία μοι τὸ ὑψηλότερον". οὐκ ὀρθῶς, ἀδελφοί. φεύγοιτε οὖν, δέομαι, τὰς τοιαύτας πανουργίας τοῦ διαβόλου, τὰ μισούμενα τοῖς πατράσι νεωτερίσματα, τὰ κωμῳδιαζόμενα τοῖς ἁγίοις ἐκστρηνιάσματα· ἀλλ' εἴ τι καλόν, εἴ τι σεμνόν, εἴ τι πρέπει ἁγίοις, ὅσα φιλαδελφίας, ὅσα ταπεινοφροσύνης, ὅσα ἐσχατιασμοῦ, κατὰ μίμησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τὰ εὐτελῆ καὶ ἐξουθενημένα ἐλομένου, ταῦτα καὶ σχοίητε καὶ ἔχοιτε καὶ κτᾶσθε καὶ κτίζεσθε, πορευόμενοι νηπίως καὶ ἀκάκως καὶ εἰλικρινῶς, ὡς ἄρνες Χριστοῦ, ὡς λαὸς ἐκλεκτὸς κυρίου, μηδὲν παρὰ τὸ διατεταγμένον πράσσοντες. εἰ δὲ καὶ γένηται, πάλιν ἐπανορθούμενοι δι' ἐπιτιμίων, ἵν' οὕτως ἀκούσητε τῆς ἐπιθυμουμένης φωνῆς ἐκείνης ἐν καιρῷ ἀνταποδόσεως, "δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου"· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Μ'.

Περὶ τοῦ ἀποῤῥίψασθαι ἡμᾶς πᾶσαν ἀκηδίαν καὶ διεγερθῆναι πρὸς ἐργασίαν πνευματικήν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ὥσπερ ἕκαστος ὑμῶν ἀπαιτούμενός ἐστι τὸ

26 κῶδ. *ἐπαιρόμεθα* || ἐκ δυν. εἰς δύναμιν] Ψαλμ. πγ', 8. 28 δράμει] οὕτως ἐν τῷ κώδικι.

27/29 Ματθ. κε', 34. 36 Novae patrum bibliothecae t. IX, pars II, σ. 10-12.

τῆς οἰκείας διακονίας ἔργον, οὕτως κἀγὼ χρεωστῶ ὑμῖν τὸν τῆς κατηχήσεως λόγον. εἶδε δὲ τοιοῦτον εὐπόρουν ποικίλον καὶ διάφορον, ὡς δύνασθαι πᾶσι προσφυῆ εἶναι, ἁρμόδιον διὰ τῆς χάριτος τοῦ Χριστοῦ· πολλοὶ γάρ εἰσιν ἐν ὑμῖν, ἀδελφοί μου, οἱ χρῄζοντες παρακλήσεως, οἱ ἐπιδεεῖς παραμυθίας, οἱ χρῄζοντες στηριγμοῦ, ἄλλοι ὑπομνήσεως, ἕτεροι διορθώσεως, καὶ μέντοι τινὲς ἐλεγμοῦ καὶ ἄλλοι ἐπιτιμίου καί τινες συγκαταβάσεως, ἄλλοι ἀκριβείας, ἔνιοι δὲ ἀτιμίας καὶ ἀδοξίας. πολλῶν γὰρ ὄντων καὶ διαφόρων τῶν ἠθῶν, ἀναλόγως καὶ ὁ διδασκαλικὸς τρόπος ὀφείλει γίνεσθαι· ᾧ γὰρ τρόπῳ οὗτος θεραπεύεται, ἕτερος τυχὸν βλάπτεται, καὶ δι' οὗπερ ἄλλος εὐεργετεῖται, συμβαίνει τὸν ἕτερον καταλύεσθαι, καὶ καθ' οἷον λόγον τις οἰκοδομεῖται, συμβαίνει τὸν ἕτερον ζημιοῦσθαι. ὅθεν οὐ μικρὰ ἡ διακονία μου, ἀλλὰ τῷ ὄντι χαλεπὴ καὶ δυσάνυστος. χρήσομαι δὲ αὐτῇ χειραγωγούμενος ταῖς εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, καὶ οὐδ' αὐτῆς ἀμελήσαιμι, ἕως ἐμπνέω. μοχθήσω δὲ καὶ ἀγωνίσομαι τοὺς κυρίους μου καὶ πατέρας μου ὑπομνήσκειν τὰ δέοντα.

Πάντες οὖν εὐδοκίᾳ θεοῦ τῶν σῳζομένων ἐστέ, καὶ πάντες ἐπὶ τῷ σωθῆναι ἐληλύθατε, καὶ πάντων ὑμῶν οὐδὲν ἄλλο τὸ ζήτημα, ἢ τὸ σωτηρίας ἐπιτυχεῖν. ἀλλ' ἐπειδὴ διάβολός ἐστι παντὶ ἀγαθῷ ὑπεναντίος, πειραζόμεθα οἱ πολλοί, ὡς οὐ βουλόμεθα· τοὺς μὲν γὰρ ταῖς ἡδοναῖς φλογίζει, συλλαμβανόμενος εἰς ἐπικουρίαν τὴν ἔμφυτον ὄρεξιν τῆς νεότητος· τοὺς δὲ τῇ φιλαρχίᾳ καταβάλλει, δι' ἣν καὶ αὐτὸς ἐκ τῶν ὑψίστων κατέπεσε· τοὺς δὲ ἀμελείᾳ χαυνοῖ καὶ ἀκηδίᾳ δεσμεῖ καὶ ἄγει, ὡς βούλεται καὶ ὅπῃ βούλεται· ἀπιστίᾳ παραλύει καὶ ἰδιορρυθμίᾳ παραλαμβάνων παρασκευάζει ἔκτοπα πράττειν. καὶ ἵνα τί ἓν καθ' ἓν λέγω, δι' ὧν ὑποσκελίζειν ἡμᾶς πειρᾶται, καθ' ἑκάστην ἡμέραν πρὸς αὐτὸ τοῦτο παριστάμενος καὶ ἀναμένων τὴν κατάλυσιν ἡμῶν; ἀλλ' ἐπιτιμήσει αὐτῷ κύριος ὁ θεός, ὁ εἰπὼν τῇ θαλάσσῃ "σιώπα, πεφίμωσο", καὶ ἀποσκορακίσει αὐτὸν πόρρω που ἀφ' ἡμῶν. τοῦτο δὲ γίνεται, ἐάν περ εἰς ἑαυτοὺς γενώμεθα καὶ ἀναλογισώμεθα τὸν πρῶτον σκοπὸν τῆς ἐνταῦθα ἡμῶν ἐλεύσεως· πᾶσαν γὰρ θλῖψιν καὶ στενοχωρίαν μέχρι θανάτου ὑπὸ μάρτυρι θεῷ καθωμολογήσαμεν ὑποστῆναι. διὰ τοῦτο ἀπορρίψατε πάντες τὰ πάντα, οἱ ἀθυμοῦντες τὴν ἀθυμίαν, οἱ φιλαρχοῦντες τὴν φιλαρχίαν, οἱ ἀκηδιῶντες τὴν ἀκηδίαν, οἱ φιληδονοῦντες τὴν φιληδονίαν, οἱ ὑπερηφανευόμενοι τὴν ὑπερηφανίαν, οἱ κενοδοξοῦντες τὴν κενοδοξίαν, οἱ παῤῥησιαζόμενοι τὴν παῤῥησίαν, οἱ ἀτακτοῦντες τὴν ἀταξίαν, οἱ πολυλογοῦντες τὴν πολυλογίαν, οἱ φιλοκοσμοῦντες τὴν φιλοκοσμίαν, οἱ φιλοσαρκοῦντες τὴν φιλοσαρκίαν, οἱ συλλυπούμενοι τὴν ἄλογον λύπην· εἰ δὲ καὶ φθονεῖ τις, τὸν φθόνον, ἢ ἐρίζει, τὴν ἔριδα, ἢ μάχεται, τὴν μάχην, ἢ ἀργεῖ, τὴν ἀργίαν. ταῦτα καὶ τὰ τοιαῦτα τοῦ σκότους ἔργα, τῆς κακίας εἴδη, τοῦ πονηροῦ θελήματα καὶ εὑρήματα· τὰ δὲ τοῦ ἀγαθοῦ θεοῦ ἡμῶν ἡ εἰρήνη, ἡ πραότης, ἡ ταπείνωσις, ἡ ὑπακοή, ἡ ἀφθονία, ἡ ἐργασία, ἡ ἐπιμέλεια, ἡ διέγερσις, ἡ ἀγάπη, ἡ πίστις, ἡ ἐλπίς, ἡ εὐταξία, ἡ προσευχή. ταῦτα τὰ τοῦ φωτὸς ἔργα, ταῦτα τὰ τῆς δικαιοσύνης ἔπαθλα, τὰ τῶν ἁγίων κατορθώματα.

Εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, παρακαλῶ ὑμᾶς, διὰ τὴν ἀγάπην τοῦ κυρίου, ἀνανήψατε οἱ κεκαρωμένοι τοῖς τοιούτοις πάθεσι, γρηγορήσατε οἱ καθεύδοντες τοῖς τηλικούτοις προσκόμμασιν. εἰ θέλομεν οὖν ζῆσαι καλὴν ζωὴν καὶ εἰ ἀγαπῶμεν ἰδεῖν ἡμέρας ἀγαθάς, ἀκούσωμεν τοῦ λέγοντος· "ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν", καὶ "ποῦ οἱ

---

5 καὶ ἁρμόδιον V. 6 καὶ 8 κῶδ. *χρίζοντες*. 11 ἄλλοι ἀκριβείας] ἐλλείπει ταῦτα τῷ V. 16 εὐεργετεῖται P, εὐαρεστεῖται V. 17/18 καταλύεσθαι - οἰκοδομεῖται] ἐλλ. ταῦτα τῷ V. 21/22 εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν V. 25 ὑπομμνήσκειν V. 26 τῶν σῳζομένων ἐστὲ] Κορινθ. 2, β', 15. 29 ἐπειδὴ P, ἐπεὶ V. 37 ἄγεται V.

4 κῶδ. *αὐτὸ*. 5 Μάρκ. δ', 39. 7 κῶδ *γενοίμεθα*. 22 κῶδ. *φθονῆ*. 29 ἡ ἐργασία - ἡ ἀγάπη] ἐλλείπει ταῦτα τῷ V. 30 *προσοχὴ* V. 40/42 Ψαλμ. λγ', 14.

ὀφθαλμοὶ κυρίου", ἀλλ' ἢ "ἐπὶ τοὺς φοβουμένους αὐτόν"; ποῦ δὲ τὸ παρωργισμένον "πρόσωπον τοῦ κυρίου", ἀλλ' ἢ "ἐπὶ τοὺς ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν"; ὅλον τὸ ἑξῆς τοῦ ψαλμοῦ νουθεσίαν ἡμῖν ἀρίστην ὑποδείκνυσιν, εἰ θέλομεν προσέχειν.

Καὶ τοῦτο μὲν οὕτως. ἐν ταῖς ἡμέραις δὲ ταύταις οὐκ ὀλίγοι τῶν ἀδελφῶν ἀσθενοῦσιν· ἔστι γὰρ ὁ καιρὸς νοσερός. βοηθήσωμεν οἱ ὑγιαίνοντες τοῖς κάμνουσιν, οἱ δὲ ἀσθενοῦντες τὴν παιδείαν κυρίου ὡς σωτήριον δεξώμεθα καὶ ὑπομονητικῶς φέρωμεν καὶ εὐχαρίστως ἀποδεχώμεθα τὰ διδόμενα ἡμῖν. ἡνίκα δ' ἂν ἀφεθῶμεν τῆς νόσου, μὴ εἰκῇ καὶ μάτην περιφερώμεθα, ἀλλ' ἐν τοῖς ἔργοις ἡμῶν παριστάμεθα· οὐ γάρ εἰσιν ἐν ἡμῖν δοῦλοι ἀργυρώνητοι, εἰς αὐτὸ τοῦτο τὸ τῆς δουλείας χρῆμα ἀφωρισμένοι (ὅπερ ἡ ἁμαρτία προεξένησε καὶ ὁ ἀπόστολος παρεχώρησε τοῖς κατὰ κόσμον), ἀλλ' ἡμεῖς αὐτοὶ ἑαυτῶν δοῦλοί τε καὶ δεσπόται, δουλεύοντες καὶ δουλευόμενοι. ὥστε προσέχειν ὀφείλει τις, ἵνα μᾶλλον δουλεύῃ καὶ μὴ δουλεύηται ἀκαίρως. οἷδεν οὖν κύριος ἕκαστον ἡμῶν, καὶ τὸ ἔργον αὐτοῦ καὶ τὴν διακονίαν. οἷδεν οὖν τίνος ἐγένετο καὶ ὅστις ἦν πρότερον, καὶ ὅπως ἦν ἐν τῷ κόσμῳ καὶ πῶς ἐστιν ἄρτι, καὶ πῶς βιάζεται καὶ ὑπομένει καὶ τίσι συνηρίθμηται, καὶ πόσος ἐστὶν ἐν στάσει καὶ οἵους ἔχει προηγουμένους καὶ ἑπομένους, καὶ μεθ' ὧν ἐσθιᾶται καὶ συναναστρέφεται καὶ καθεύδει, καὶ οἷοις κέχρηται ἱματίοις καὶ ὑποδήμασι· καὶ πρὸς ταῦτα πάντα ὁ ἀκριβὴς ζυγοστάτης, ὁ δίκαιος ἐξισωτής, ὁ ἀλαθὴς ὀφθαλμός, "ἀποδώσει", καθὼς γέγραπται, "ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ". λοιπὸν μηδεὶς ἀθυμείτω, μηδεὶς ἕτερόν τι λογιζέσθω παρ' ὃ λογίζεσθαι χρή. θεῷ γὰρ πεφανερώμεθα, ἀλλὰ καὶ παραστησόμεθα ἐνώπιον τοῦ φοβεροῦ καὶ φρικτοῦ αὐτοῦ κριτηρίου, ὅτε τῶν βεβιωμένων ἡμῖν ἀποτίννυμεν λόγον, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1/2 Ψαλμ. λβ', 18 3/5 Ψαλμ. λγ', 16, 17. 15 κῶδ. *ὑμῖν*. 20 Ῥωμ. ς', 17-18. 26 κῶδ. *ὑμῶν*. 37 Ῥωμ. β', 6.

ΚΑΤΗΧΗΣΙΣ ΜΑ'.

Περὶ τοῦ παρασκευάζειν ἑαυτοὺς διὰ τῶν ἀρετῶν ἐν ταῖς συμβολαῖς τοῦ ἐχθροῦ.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ὁ κοπιῶν γεωργὸς ἐν τῷ ἀγρῷ αὐτοῦ, οὐ τὸ ἐπαχθὲς τοῦ κόπου λογιζόμενος ὀκνεῖ καὶ ἀναδύεται, ἀλλὰ πρὸς τὰ μέλλοντα κέρδη ἀποσκοπεύων εὖ μάλα ἑαυτὸν ἐπιδίδωσι πρὸς τοὺς ἱδρῶτας καὶ μόχθους τῶν σωματικῶν ταλαιπωρημάτων. ἐπεὶ οὖν καὶ ἡμεῖς ὥσπερ ἀγρόν τινα ἕκαστος τὴν οἰκείαν ψυχὴν κεκτήμεθα ἐν τῷ παρόντι αἰῶνι καὶ δεῖ ἡμᾶς πάντως ἐργασίαν ἐν αὐτῇ πνευματικὴν ποιήσασθαι, ἵνα ἔχωμεν τὰ ἐφόδια τῆς ἐκεῖσε διατροφῆς καὶ ἀπολαύσεως (τοῦτο γὰρ ἀπαιτήσει δῆλον ὅτι ὁ δημιουργήσας ἡμᾶς θεὸς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως), παρακαλῶ καὶ ἀντιβολῶ καὶ δυσωπῶ· πάντες ὁμοῦ κοινῇ ἐργασώμεθα τοὺς ἀγροὺς ἡμῶν, νεώσωμεν νεώματα εὐσεβείας, σπείρωμεν, ἀλλὰ μὴ ἐπ' ἀκάνθαις τῶν παθῶν, ἀλλὰ κεκαθαρμέναις ταῖς ἀρούραις πάσης ὕλης ἁμαρτίας οὕτω τὸν σπόρον ἐγκαταθώμεθα· ὕσωμεν ὄμβρους πνευματικοὺς ἐν ταύταις, τὰ θεοκατάνυκτα φημὶ δάκρυα· περιθώμεθα φραγμοὺς ὀχυρούς, τὸν φόβον τοῦ θεοῦ, πρὸς τὸ μὴ λυμήνασθαι αὐτὰς τοὺς νοητοὺς θῆρας· ἡλιολαμπήσωμεν αὐτὰς τῷ θάλπει τῆς πνευματικῆς ἀγάπης, ἵνα εὕρωμεν πληρῶσαι τὰς λογικὰς ἡμῶν χεῖρας δραγμάτων καὶ ἀμησώμεθα πολὺν τὸν σῖτον τῶν ἁγίων ἐντολῶν τοῦ Χριστοῦ. ἐν τούτῳ οὖν κέκληκε κύριος ὁ θεὸς πᾶσαν ψυχὴν ἐν τῷδε τῷ βίῳ, μάλιστα δὲ ἡμᾶς ἐν τῷ ἀγγελικῷ σχήματι τούτῳ. δειξάτω, δέομαι, ἕκαστος ἡμῶν ἐκ τῆς καλῆς ἀναστροφῆς αὐτοῦ τὰ οἰκεῖα

32 τῷ] κῶδ. *τῇ*. 35 κῶδ. *σίτων* ‖ σῖτον] Ματθ. γ', 12. ιγ', 30. Λουκᾶ γ', 17.

ἔργα εὐθαλῆ, εὔκαρπα, κυπρίζοντα εἰς ὀσμὴν εὐωδίας τῷ κυρίῳ, τοῦτο μὲν διὰ τῆς παντελοῦς τῶν κατὰ σάρκα σχέσεως ἀπαλλαγῆς, τοῦτο δὲ διὰ τῆς εὐηνίου ὑπακοῆς καὶ χριστομιμήτου ταπεινοφροσύνης, ἡμέρᾳ τῇ ἡμέρᾳ βελτιούμενος καὶ μεταγόμενος καὶ ἀπὸ δόξης εἰς δόξαν μεταφερόμενος διὰ τῆς λαμπροφορίας τῶν ἀγαθῶν πράξεων, πᾶσαν παρακοὴν ἀπωθούμενος καὶ πᾶν νόημα αἰχμαλωτίζων εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, στοιχῶν τῷ κοινῷ κανόνι τῆς ἀδελφότητος καὶ τὸ αὐτόμεμπτον ἀεὶ κατέχων, δι' οὗ δυνήσεται εὐμαρῶς τὸν πολυκέφαλον δράκοντα τῆς ὑπερηφανίας καὶ ἰδιορρυθμίας συντρῖψαι καὶ ἀποκτεῖναι.

Εἰς ἐργασίαν τοίνυν ἐκλήθημεν, ὡς εἴρηται, ἀδελφοί· εἰς πόλεμον, εἰς μάχην οὐ τὴν τυχοῦσαν, ἀλλὰ καθὼς φησιν ὁ θεῖος ἀπόστολος, "ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις". μηδεὶς οὖν λοιπὸν ἀπαρασκεύαστος ἔστω τῆς μάχης, μηδὲ ἄοπλος, μηδὲ ἀπευδοκείτω ἐν ταῖς πολεμικαῖς συμβολαῖς, ἀλλ' οὖν μηδὲ ξενοπαθείτω τιτρωσκόμενος, ἢ κεντούμενος, ἢ συγκρουόμενος· ταῦτα γὰρ ἰδιώματα τῶν πολεμούντων τυγχάνει. θνήσκει δὲ ἐκεῖνος, οὐχ ὁ ἅπαξ πληττόμενος ἢ καταπίπτων, οὐδὲ ὁ πολλάκις, οὐδὲ ὁ μυριοντάκις, ἀλλ' ὃς ἑαυτὸν παραδίδωσιν ἐθελοντὶ τοῖς ἑαυτοῦ ἐχθροῖς εἰς τὸ σφάζεσθαι. διό, ἀδελφοὶ καὶ πατέρες, προσέχωμεν καὶ ἐνιστάμεθα κραταιῶς τῷ πολέμῳ, ὡς στρατιῶται Χριστοῦ. πᾶς δὲ στρατιώτης, ὡς ἴστε, ἐν τῷ ἐκστρατεύειν καὶ φωσατεύειν πολλὰς τὰς ἐπαχθείας ἔχει, ἢ τὰς ἐκ τοῦ καύσωνος, ἢ τὰς ἐκ τῶν ὄμβρων, ἐπεὶ καὶ τὰς ἐκ χειμῶνος· οὐκ ἀβροδίαιτον ἐκεῖσε ζωὴν διεξάγει, ἀλλ' ἐσθ' ὅτε καὶ ἄρτου ἐπιδεής ἐστι καὶ ψυχροῦ ποτηρίου γλίχεται ἀπολαύειν, ὅλην τε τὴν ἡμέραν ἢ καὶ τὴν νύκτα συγκλονούμενος καὶ περιαγόμενος καὶ κατακονιορτούμενος καὶ λιποθυμούμενος, ἵνα τί; ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ, ἵνα μὴ λιποταξίου καταγραφὴν λάβῃ, ἵνα ἐν καιρῷ τῶν ἀμοιβῶν πληρόῤῥογος γένηται.

Τοιοῦτο τοιγαροῦν καὶ τὸ καθ' ἡμᾶς, ἀλλ' οὐχ ὁμοίως· ἐκείνοις γὰρ πρόσκαιρα καὶ μηδαμινὰ καὶ εὐτελῆ καὶ ῥέοντα, ἡμῖν δὲ ἀθάνατα καὶ αἰώνια καὶ ἄφθαρτα δίδοται παρὰ τοῦ βασιλεύοντος τῶν ἁπάντων θεοῦ. διὸ ἀναγκαίως ἐπιμείνωμεν, τέκνα μου· ἐπιμείνωμεν, ἀγωνισώμεθα καὶ ἐπαγωνισώμεθα ἕκαστος, κατὰ τὴν ἐνοῦσαν αὐτῷ διακονίαν καθαρῶς καὶ ἀνολιγώρως δουλεύων τῷ κυρίῳ, ὁ ἐντελλόμενος ἐν τῷ ἐντέλλεσθαι νουνεχῶς καὶ νηφαλέως, ὁ διακονῶν ἐν τῷ διακονεῖν ἀγογγύστως καὶ εὐπροθύμως. φέρωμεν καὶ ἡμεῖς πείνης καιρὸν καὶ δίψης καὶ ὀνειδισμοῦ καὶ ὕβρεως καὶ συγκρούματος καὶ κεντήματος, ἐπαγωγῆς καὶ διακελεύσεως, καὶ μάλιστα ἐν ταῖς νυκτεριναῖς ψαλμῳδίαις καὶ προσευχαῖς, ὀλιγωρήματα καὶ δυσθυμήματα, τὰ ἀοράτως καὶ ὁρωμένως συμπίπτοντα ἡμῖν καὶ συντρίβοντα καθ' ἑκάστην ἡμέραν διὰ τῶν προσόντων ἡμῖν ἐργοχείρων καὶ διακονιῶν, ἵνα οὕτως εὐχαῖς τοῦ πατρὸς ἡμῶν τὸν καλὸν ἀγῶνα ἀγωνισάμενοι καὶ τὸν δρόμον τελέσαντες, τὸν τῆς δικαιοσύνης στέφανον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπολῃψώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΒ'.

Περὶ τοῦ προσέχειν ταῖς τε ἀπειλαῖς καὶ διδασκαλίαις τῶν ἁγίων πατέρων.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ἐπειδὴ ἔργον μοι καὶ διακονία ὁ λόγος τῆς κατηχήσεως, οὐκ ὀκνητέον, οὐδὲ ἀμελητέον ταύτης τῆς διακονίας, μᾶλλον δὲ καὶ μᾶλλον ἐπεικτέον καὶ μεριμνητέον, τὸ μὲν ἵνα

19/24 Ἐφεσ. ς', 12. 32 κῶδ. *παραδίδοσιν*. 35/36 ὡς στρατιῶται] Τιμοθ. 2, β', 3.

2 κῶδ. *λειποθυμ.* 4 κῶδ. *λειποταξίου*. 5 κῶδ. *πληρόρωγος*. 27/28 καλον ἀγῶνα κέ] Τιμοθ.2, δ', 7. 34 Novae patrum bibliothecae t. IX, pars II, σ. 54-56.

ὑμεῖς οἱ ἐκλεκτοὶ τοῦ θεοῦ ἔχητε τὰ πρὸς ὑπόμνησιν καὶ παράκλησιν καὶ διέγερσιν εἰς σωτηρίαν ψυχῆς, τὸ δὲ ἵνα κἀγὼ ὁ τάλας τὴν ἐμαυτοῦ ταλαίπωρον ψυχὴν ἀνυπεύθυνον διατηρήσω ἐκ τῆς τῶν ὀφειλόντων καταγγέλσεως, κἂν ἀνικανῶ δεόντως τοῦτο πράσσειν· πιέζει γὰρ καὶ φοβεῖ μου τὴν ψυχήν, ἡνίκα ἀκούω τοῦ θείου διδασκάλου τῆς οἰκουμένης Παύλου, ὧδέ που φάσκοντος· "καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ". ἂν οὖν κἀγὼ ὁ ταλαίπωρος κατὰ τὸ ἐνδεχόμενόν μοι τὰ δέοντα μὴ ἀναγγείλω ὑμῖν καὶ διαγορεύσω, πῶς ἵνα ἐκφεύξωμαι τοῦ ἀπαραιτήτου κρίματος τῆς σιωπῆς; διὰ τοῦτο, σύγγνωτε, καὶ ἐν τῇ προτέρᾳ κατηχήσει ἐλεγκτικῶς πρὸς ὑμᾶς διεξῆλθον, κατηγορῶν καὶ κωμῳδῶν τοὺς τινὰς οὐχ ἵνα λυπήσω ἀλόγως—μὴ γένοιτο—, οὐδ' ἵνα ἐκπληρώσω οἰκεῖον πάθος (μὴ ὑπολάβοιτε), ἀλλ' ἵνα καταφοβήσω καὶ καταρτίσω καὶ βελτιώσω ὁ ἀκατάρτιστος καὶ ἀβέβαιος. πλὴν ὅτι ὁ ζῆλος ἐπὶ τούτῳ καὶ ἡ προθυμία ἐξ ἀγάπης καὶ φειδοῦς τῆς περὶ ὑμᾶς σωτηρίας, τοιγαροῦν, τέκνα μου, ἀκούοντες ἀκούετε καὶ συνιέντες συνιεῖτε τίνα τὰ παρὰ τῶν ἁγίων λεγόμενα καὶ ἐντελλόμενα ἡμῖν· ταῦτα γὰρ αὐτὰ εὐτελῶς πως, ἀναξίως, κατατολμῶμεν ἐν ταῖς κατηχήσεσιν ὑποβάλλειν, ὑπομνήσκοντες καὶ διευκρινοῦντες ὑμῖν τὰ ἑαυτοῖς καὶ ὑμῖν ὅσια.

Τί δὴ οὖν λέγουσι καὶ τί ἐμβοῶσιν ἡμῶν καθ' ἑκάστην ταῖς ἀκοαῖς; ἐκ δυοῖν τὸ παρὸν ὑπομνήσω· ὃ μὲν γὰρ ἀπειλῶν τάδε φησί· "μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσι". καὶ πάλιν ἀλλαχοῦ· "πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ· γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐχαρίσατο ὑμῖν". ὃ δὲ προσκαλούμενος τοιαῦτά φησι· "δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς". καὶ ἑτέρωθι· "εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις".

Τοίνυν, τέκνα καὶ ἀδελφοί, καὶ ταῖς ἀπειλαῖς ἀσφαλισώμεθα καὶ τὰς διδασκαλίας ἐνστερνισώμεθα, καὶ δεῦτε ἐπὶ τὸ αὐτὸ προσκυνοῦντες προσκυνήσωμεν καὶ προσκλαύσωμεν αὐτῷ ὑπὲρ τοῦ παρελθόντος βίου, ὑπὲρ τῶν καθ' ἡμέραν ὀφλισκομένων ἡμῖν ἐν γνώσει τε καὶ ἀγνοίᾳ, ἔργων, λόγων, ἐνθυμημάτων, καὶ εἰσέλθωμεν εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις καὶ δοξολογίαις, ἀλλὰ μὴ ἐν αἰσχρονοίαις καὶ δυσμενείαις καὶ παρακοαῖς καὶ ὑψηλοφροσύναις· "γογγύζει" φησί "τις; ἁμαρτία αὐτῷ ἐστι". μηδὲ γογγύζωμεν, μηδὲ ἀφηνιάζωμεν, μηδὲ αὐτοβουλῶμεν, μηδὲ οἰηματιζώμεθα, ὥς τινες· ἐσμὲν γὰρ γῆ καὶ σποδὸς καὶ τέφρα καὶ κόνις, καὶ μάλιστα οἱ λογιζόμενοι ἐν ἀφροσύνῃ ἑαυτοὺς ἐνδόξους εἶναι κατά τε σωματικὴν ἢ πνευματικὴν ἐργασίαν. ἐγὼ ὁρῶ, ὅτι παρεξῆλθε τὸ σχῆμα τοῦ κόσμου τούτου ἀφ' ἡμῶν· ἄλλο γάρ ἐσμεν, παρ' ὃ εἰσιν οἱ λαϊκοί, ξένην τινὰ περιβεβλημένοι στολὴν καὶ πολιτείαν, ἄζυγες, ἀκτήμονες, ἄκληροι, ἄσχετοι, μᾶλλον δὲ ἄσαρκοι—"οἱ γὰρ ἐν σαρκὶ ὄντες", φησί, "ἀρέσαι θεῷ οὐ δύνανται"—, ἐσταυρωμένοι τῷ κόσμῳ.

Ἐπεὶ οὖν ὁ ἀνηρημένος ἡμῖν βίος τηλικοῦτος, ἀξιολόγως τὰ τοῦ τηλικούτου βίου γνωρίσματα ἐπιφέρωμεν, ἵνα κυριολέκτως καὶ μὴ ψευδωνύμως ὅ ἐσμεν κεκλήμεθα, καὶ ἐσώμεθα ἔτι ὑπήκοοι, εὐσύστροφοι, εὐκίνητοι, θεόφοβοι, χριστόφρονες, εὐλαβεῖς. ἀπαρρη-

1 ἐκλεκτοὶ τοῦ θεοῦ] Κολασ. γ', 12 || *ἔχοιτε* P. 10/12 Πράξ. κ', 26, 27. 14 ἀναγγέλω P. 24 κῶδ *τοῦτο* 29 καὶ ἀναξίως V. 31 καὶ ὑμῖν V || *τὰ ὅσια* P. 32 ὑμῶν V. 35,39 Κορινθ. 1, ς', 9, 10. 37 οὔτε πλεονέκται] ἑλλ. ταῦτα τῷ V. 38 οὐ P, οὔτε V. 40/3 Ἐφεσ. δ', 31, 32.

2 κῶδ. *συμπάσῃ*. 4 ἡμῖν PV. 5/8 Ψαλμ. ϟδ', 6. 8/10 Ψαλμ. ϟθ', 4. 11 κῶδ. *ταῖς διδασκαλίαις*. 15 κῶδ. *παρεθέντος*. 16 κῶδ. *ὀφλησκομένων*. 21/22 Θρῆνοι γ', 38. 23 κῶδ. *αὐτοβουλοῦμεν*. 33 Ῥωμ. η', 8. 34 ἐσταυρωμένοι τῷ κόσμῳ] Γαλάτ. ς', 14. 36 κῶδ. *ἀξιωλόγως*. 39 ἐσόμεθα V.

σίαστοι, φιλάλληλοι, ἄφθονοι, ἄμαχοι, ἀπέρπεροι, φιλήσυχοι, φιλεργοί, ἐξαγορευτικοί, εὐπειθέστατοι, ὑπομονητικοί, εὐχάριστοι ἐν τοῖς κατὰ πᾶν ὅ τι οὖν διδομένοις ἡμῖν, εἴτε βρώμασιν, εἴτε πόμασιν, εἴτε ἐνδύμασιν, εἴτε ὑποδήμασιν καὶ εἴ τι ἄλλο σύνεστιν, ἵνα εὖ πράττοντες κληρονόμοι τῆς ἐπιθυμουμένης καὶ ἐπιζητουμένης ἡμῖν βασιλείας οὐρανῶν, δι' εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΓ'.

Περὶ τῶν ἀποδρασάντων ἀδελφῶν καὶ τοῦ προσέχειν ἑαυτοῖς.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, πόθεν ὑμῖν ἄρξομαι τὴν παροῦσαν κατήχησιν λέγειν; ἢ πάντως ἐκ τῆς προκειμένης ὑποθέσεως τῶν ἐξ ἀβουλίας ἀποδρασάντων. καὶ ὅτι μὲν εἴωθε τὰ τοιαῦτα συμβαίνειν, πῶς οὐχί; διότι καὶ ἐν σίτῳ ζιζάνια καὶ ἐν ἀμπελῶνι βάτος πέφυκε φύεσθαι. ἀλλὰ τί; ὅτι "υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν" γέγραπται, καταλιπόντες τὸ ἀγαθὸν φῶς τῆς κατὰ θεὸν ζωῆς καὶ πορευθέντες ἐν ὁδοῖς σκότους. ἢ οὐχὶ καὶ αὐτὸ τὸ ἐν νυκτὶ πεφευγέναι αὐτοὺς ἔργον αὐτοῖς ἐστι σκότους πεπραγμένον; ἀλλ' ὢ τῆς ἀβουλίας! ὢ τῆς καταφρονήσεως τῶν τοῦ θεοῦ κριμάτων! ἡγήσαντο γὰρ πάντα νόμον θεοῦ ἕωλον καὶ ἀνίσχυρον εἶναι. ἀλλὰ τί τούτους ἀποκλαίομαι; δέον σχετλιάσαι πρὸς τὸν ἐχθρὸν καὶ πολέμιον τῆς ζωῆς ἡμῶν διάβολον, πρὸς τὸν ἀρχέκακον ὄφιν, πρὸς τὸν ὠρυόμενον ὡς λέοντα, καθ' ἑκάστην ζητοῦντα τίνα καταπιεῖν. εὗρε δὴ οὖν τοὺς πειθομένους αὐτῷ, τοὺς ἐξελκομένους καὶ δελεαζομένους ὑπὸ τῆς πανουργίας αὐτοῦ, καὶ τούτους διὰ πολλοῦ χρόνου προλαβόντως σαθρώσας καὶ σαλεύσας καὶ εἰς τὸ πτερύγιον τῆς κακίας ἐνεγκὼν ἐν μιᾷ καιροῦ ῥοπῇ ἔπτωξε καὶ ἀπετυμπάνισεν, οἰκειότερον δὲ εἰπεῖν ἐζώγρησε, καὶ ἁφαρπάσας ἔχει ὀπίσω αὐτοῦ ἀκολουθοῦντας ἐπὶ ὄρη καὶ ἐρημίας καὶ βάραθρα καὶ τόπους, ἐφ' οὓς οὐκ ἐπισκοπεῖ κύριος.

Ταῦτα ὁ ἐλεεινὸς Εὐλάλιος, Πετρώνιος ὁ εὐθύπτωτος καὶ δίψυχος καὶ ἀκατάστατος ἐν πάσαις τοῖς ὁδοῖς αὐτοῦ. πῶς οὖν οὐ μὴ πενθήσω καὶ σκυθρωπάσω ἐπὶ τῷ συντρίμματι αὐτῶν, τέκνα καὶ ἀδελφοί; πῶς οὐ μὴ καταγάγω δάκρυα ἐλεεινά, ὅτι, ὅτε ἔφθασεν ὁ χρόνος τῆς εὐδοξίας αὐτῶν, τότε ἠδόξησαν καὶ ἐμαράνθησαν, καὶ ὅτε ἦλθεν ὁ καιρὸς τῆς καρποφορίας αὐτῶν, τότε ἀπεψύγησαν καὶ ἔπεσον ὡς φύλλα ἀπὸ δένδρου; ἐλεεινὸν οὖν θέαμα ὄντως τοσούτους κόπους καὶ μόχθους καὶ ἀγῶνας, εἴπερ ἀληθῶς καὶ πεποιήκασιν, ἐξάπινα ἀπολέσαι καὶ θήραμα αὐτοὺς γενέσθαι διαβόλου. ὤ, ὢ τῆς πωρώσεως αὐτῶν! τίς οὐ στενάξει τοὺς ἀθλίους; τίς οὐ πενθήσει τοὺς ἀξιοπενθήτους; ἐγὼ μὲν οὖν, ὅτι ἀπαιτηθήσομαι τὸν ὑπὲρ αὐτῶν λόγον, ἐλλελοιπώς τι τῶν δεόντων καὶ πράξαι ἐν αὐτοῖς καὶ λέξαι, συνίημι. ἀλλὰ τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνι, ἵν' οὕτως εἴπω πάλιν, καὶ οὐκ ἐποίησα; τὸ κατὰ τὴν ἐνοῦσάν μοι ταπεινὴν δύναμιν, μετὰ τὸ ἀποτεκεῖν πνευματικῶς καὶ αὐξῆσαι, ἐνουθέτησα, παρεκάλεσα, ἐπεστήριξα, διηγγειλάμην, ἠπείλησα, ἐσθ' ὅτε καὶ ἐπετίμησα καὶ τὰ ἄλλα πάντα, οἷον παρηγορήσασθαι ἐν καιρῷ θλίψεως, ἀνέξεσθαι ἡμέρας ὀλιγωρίως αὐτῶν, βαστάξαι φορτίον ἐξαγορεύσεως αὐτῶν, ἰατρεῦσαι μετὰ συμπαθείας, ἐκθρέψαι μετὰ φιλοστοργίας, παιδεῦσαι μετὰ φιλοτεκνίας εἰς εὐθυγραφίαν, εἰς ἐργοχειρίαν, εἰς ἀνάγνωσιν, εἰς πεῖραν λέξεως παραχωρήσας αὐτοῖς σχεδὸν πᾶν βιβλίον τῶν ὄντων ἐπὶ χεῖρας λαμβάνειν, ὅπερ οὐκ ἂν εὐκόλως εὕροι τις καὶ ἡγουμενεύων· καὶ γὰρ χάριτι Χριστοῦ πολλὴ ἡμῖν πάρεστι βίβλων περιουσία. αὐτοὶ δὲ ταῦτα πάντα οὐ συνῆκαν, καὶ ἀνθ' ὧν πεπόν-

---

4 ὑμῖν V. 9/10 δι' εὐχῆς - - ὑμῶν] ἐλλείπει ταῦτα τῷ V. 23/24 Ἡσαΐου α', 2. 26 παρ. ἐν ὁδοῖς σκότους] Παροιμ. β', 13. 35/36 Πέτρου 1, ε', 8. 39 κῶδ. *προλαβόντος*

1 κῶδ. *ἔπτωσε.* 2 κῶδ. *ἀπετυμπάνησεν.* 21 κῶδ. *στενάξῃ* 24 κῶδ. *ἐλλελυπώς.* 30 κῶδ. *ἐπισεήριξα.*

θασιν ἀγαθῶν, ἐγένοντο ἡμῖν εἰς πικρίαν. βλέποντες γὰρ οὐκ ἔβλεπον τὴν τοῦ θεοῦ ἀγαθότητα, ἀλλὰ καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν ἐν ταῖς κατηχήσεσι καὶ τέλος εἰπεῖν ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ οἰόμενοι εἶναι σοφοὶ εἰς τὰ μάταια ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν αὐτῶν ἐν ὁμοιώματι ἀπωλείας. φεῦ τοῦ φθόνου καὶ τῆς ἀπροσεξίας, δι' ἣν πίπτουσιν οἱ πίπτοντες καὶ ὀλισθαίνουσιν οἱ ὀλισθαίνοντες!

Ἀλλ' ὑμεῖς, ὦ τέκνα καὶ ἀδελφοί, τῷ παραδείγματι αὐτῶν σωφρονίσθητε καὶ γνῶτε, ὅτι "ἐθαυμάστωσε κύριος τὸ ἔλεος αὐτοῦ" ἐφ' ὑμᾶς ἐν τῷ μὴ ἐξυπάγεσθαι ταῖς τοῦ διαβόλου ἐπηρείαις, ἀλλ' ἑστάναι ἑδραιότητι τῆς πίστεως ὑμῶν ἀκινήτους ἀπὸ τῆς παραδοθείσης ὑμῖν ἁγίας ὑποταγῆς. μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, παρακαλῶ, μηδὲ ὄντες υἱοὶ φωτὸς γένησθε τέκνα σκότους καὶ ἀπειθείας, μηδὲ τοὺς πολλοὺς καὶ μακαρίους ὑμῶν πόνους εἰκῇ καὶ μάτην κενώσητε μετὰ τοῦ καὶ τὰς ἑαυτῶν ψυχὰς παραδοῦναι εἰς κρίσιν αἰωνίαν. "ἀθετήσας γάρ", φησί, "τις νόμον Μωσέως ἐπὶ δυσὶ καὶ τρισὶ μάρτυσιν ἀποθνήσκει". πόσῳ δοκεῖτε χείρονος τιμωρίας ἀξιωθήσεσθαι τοὺς τὰς ἐπὶ τῷ ἁγίῳ ἐπαγγέλματι ἡμῶν συνθήκας καὶ ὁμολογίας καὶ διαθήκας πατήσαντας καὶ παίγνιον ἡγησαμένους τὸ μυστήριον τῆς τελειώσεως ἡμῶν; διὰ τοῦτο προσέχετε, παρακαλῶ, καὶ κατορθοῦντες πορεύεσθε τὴν ὁδὸν τοῦ θεοῦ, εὐχόμενοι δοθῆναι αὐτοῖς ἀνάνηψιν καὶ ἐπιστροφὴν ἐκ τῆς κατὰ ψυχὴν θανατηφόρου αὐτῶν πλάνης, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων.

Πλὴν τοῦτο γνωστέον, ὅτι ἕκαστος ὑμῶν ἀποδείκνυται τί μέλλει ἔσεσθαι ἐκ τῆς ἐνούσης αὐτῷ καταστάσεως, εἴτε σκεῦος ἐκλογῆς, εἴτε σκεῦος ἀπωλείας. ὅτε γὰρ οὐ πρὸς τὸ κοινῇ συμφέρον, οὔτε κατὰ προσταγὴν τοῦ προεστῶτος γίνεταί τι τῶν γινομένων, εἴτε περὶ ἀναγνώσεως εἴποις, εἴτε περὶ ψαλμῳδίας, εἴτε περὶ εὐβουλίας, εἴτε περὶ ἐγκρατείας, εἴτε περὶ εὐλαβείας, εἴτε περὶ ἀγρυπνίας, εἴτε περὶ ἄλλου τινὸς τῶν δοκούντων καλῶν καὶ δεόντων εἶναι, ἀλλὰ κατὰ τὸ τοῦ πράττοντος ἰδιόρρυθμον βούλημα καὶ θέλημα (ὅπερ καὶ ταραχὴν καὶ ἀνίαν ἐμποιεῖν εἴωθεν ἐν πάσῃ τῇ ἀδελφότητι, καθὼς καὶ ἐν τοῖς προδηλωθεῖσιν ἔσχεν), δῆλον ὅτι ὁ τοιοῦτος ὄργανον κακίας ἀποβήσεται, τοὺς τῆς ὑποταγῆς δεσμοὺς καταπατήσει, ὀπίσω τῶν ἐπιθυμιῶν αὐτοῦ ὡς ἐν πυρὶ καὶ σκότει πορευόμενος.

Πάλιν δὲ καὶ τοῦτο ἐπισκεπτέον, ὅτι δικαίῳ λόγῳ ἀφορίζονται οἱ ἀσεβεῖς ἀπὸ τῶν εὐσεβῶν, καὶ οἱ νόθοι ἀπὸ τῶν γνησίων, καὶ οἱ σκολιοὶ ἀπὸ τῶν εὐθυψύχων, καὶ οἱ δόλιοι ἀπὸ τῶν εὐλαβῶν, καὶ οἱ πονηροὶ ἀπὸ τῶν ἀγαθῶν. "τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος", φησίν, "ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ"; ὥστε καὶ ἡμεῖς πολλάκις δι' ἀνοχὴν τοὺς τοιούτους οὐκ ἐκκόπτομεν. εἰ καὶ δοκοῦσιν ἐκ τέχνης λανθάνειν, αὐτοὶ ὑφ' ἑαυτῶν ἁλίσκονται καὶ ἑαυτοὺς ἀφορίζουσι καὶ διιστῶσιν, εἰ βούλει δέ, ὡς ἔχει εἰς τὸ Γεροντικόν, ὅτι ὁ τόπος τοὺς μὴ ποιοῦντας τὸ ἔργον τοῦ τόπου ἐκδιώκει. εὔξασθε οὖν ἀνακληθῆναι αὐτούς, εὔξασθε δὲ καὶ ὑπὲρ ἐμοῦ τοῦ ἀσθενοῦς ψυχῇ καὶ σώματι, ὅτι πάλιν νοσηλεύεσθαι ἠρξάμην, ἵνα τῷ ἐλέει αὐτοῦ ἐπισκοπὴ ἐν ἀμφοτέροις γένηται καὶ τοῖς οἰκτιρμοῖς αὐτοῦ πάντες σωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΔ'.

Περὶ τοῦ μὴ κρύπτειν ἡμᾶς τοὺς πονηροὺς λογισμούς, ἀλλὰ θριαμβεύειν διὰ τῆς ἐξαγορεύσεως.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, περὶ τίνος ὑμῖν διαλέξομαι ἐν τῇ παρούσῃ κατηχήσει; ἢ πάλιν περὶ τῶν ἀποδρασάντων, μᾶλλον δὲ ἀπορραγέντων τοῦ καλοῦ ὑμῶν πληρώματος τριῶν οἰκτίστων ἀδελφῶν ἡμῶν, τὸ μὲν ἵνα αὐτοὶ ἀσφαλέστεροι καὶ ἑδραιό-

13 Ψαλμ. λ', 21. 19 Θεσσαλ. 1, ε', 5. 23/25 Ἑβρ. ι', 28 25 κῶδ. *χείρωνος*.

16/18 Κορινθ. 2, ς', 14, 15.

τεροι τῷ τῶν ἄλλων πτώματι γίνοισθε, τὸ δὲ ἵνα τὸ λυπηρὸν τῆς καρδίας μου ἔτι κουφίσω, τούτους ἀποκλαυσάμενος. καὶ γάρ, εἰ καὶ ἀνάξιος, ὅμως πατήρ εἰμι καὶ ποιμήν, καὶ οὐδεὶς πατὴρ ἐπ' ἀπωλείᾳ υἱοῦ ἀνεκτῶς φέρει. εἰ δὲ ἐπὶ σωματικοῦ οὕτως, πόσον γε ἐπὶ πνευματικοῦ; καὶ οὐδεὶς αὖθις ποιμὴν ἐπὶ θηριαλώτου προβάτου αὐτοῦ ἀπαθῶς ἔχει, ἀλλὰ λίαν ποτνιᾷ καὶ ἀνακαλεῖται τὸ ἀπολωλός.

Θηρίον οὖν ὄντως ἄρτι ἥρπασεν οὐ τὸν Ἰωσήφ, ὡς ὁ λόγος, ἀλλὰ τὰ ἐμὰ τέκνα, τὸν Πετρώνιον λέγω, τὸν Μάλχον καὶ τὸν Ἀέτιον. καὶ θηρίον πονηρὸν ὁ λύκος ὁ νοητός, ὁ ἀνήμερος δράκων, ὁ ὄφις ὁ σκολιός, ὁ πάλαι μὲν τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐκβαλὼν τοῦ Παραδείσου δι' ἀπάτης καὶ πικρᾶς γεύσεως, νῦν δὲ τῷ αὐτῷ τρόπῳ τοὺς προειρημένους ἐκ τῆς κοινοβιακῆς ζωῆς, ὡς ἐξ Ἐδὲμ ἄλλης, ἐξοστρακίσας. εἰ δὲ καὶ ἄλλους προεξήγαγεν, ἢ ἐκ τῶν ἐνταῦθα, ἢ ἐξ ἄλλοθι τόπου, οὐ καιρὸς λέγειν· καὶ γὰρ ὁ αὐτός ἐστι διάβολος ὁ ἐξ αἰῶνος μέχρι συντελείας ἐργαζόμενος ἢ καὶ ἐργασάμενος τὰ τοιαῦτα καὶ τηλικαῦτα. πῶς οὖν λοιπὸν οὐ πενθήσω ἐπ' αὐτοὺς καὶ στενάξω; πῶς οὐκ ἀλγήσω τὴν ψυχὴν καὶ ἀθυμήσω, ἐννοούμενος τὴν ἀπώλειαν αὐτῶν; οἱ τρεῖς παῖδες, οἱ τρεῖς νέοι, ἄνηβοι, ἀκατάστατοι, ἀπαίδευτοι. ἆρα πῶς οὐχὶ λαβὼν αὐτοὺς ὁ Σατανᾶς ὧδε κἀκεῖσε περικρημνίσει καὶ συντρίψει τὰ ὀστᾶ τῶν ψυχῶν αὐτῶν ὡς ἀγγεῖα ὀστράκινα; οὐχ ὅτι δὲ οἱ προβεβηκότες καὶ γενειάζοντες δύναιντ' ἂν διασῴζεσθαι ἀπορρησσόμενοι, ἠτιασάμην ἐκείνους, ἀλλ' ὅτι μετὰ τῆς πτώσεως εἰς κακὸν περισσότερον ἐπιφέρουσι καὶ τὸ νέον τῆς ἡλικίας. ἀλλ' ὦ τῆς ἀβουλίας καὶ τῆς σκοτώσεως τῶν λογισμῶν αὐτῶν, μᾶλλον δὲ φεῦ τῆς ἐμῆς ταλαιπωρίας, δι' ἣν κἀκεῖνοι καὶ εἴ τις ἄλλος πτωματίζεται!

Τί οὖν; ἆρα (πρὸς ὑμᾶς τοὺς ὑγιεῖς ἐπιστρέψω τὸν λόγον, τοὺς ἑστῶτας, τοὺς σῳζομένους), ἆρα ἐπιθυμήσομεν νοσῆσαι καὶ ἡμεῖς, ὡς ἐκεῖνοι; ἆρα σπεύσομεν πτωματισθῆναι, ὡς αὐτοί; ἆρα ἐκζητήσομεν ἀπολέσθαι σὺν αὐτοῖς; μηδαμῶς, ὦ τέκνα. πῶς δέ; ἀλλ' ἢ ἐκ τοῦ μὴ ὑποδέχεσθαι τὴν συμβουλὴν τοῦ ὄφεως, μηδὲ κρύπτειν τὸν ὄφιν ἐν τῇ καρδίᾳ, ἀλλὰ θᾶττον θριαμβεύειν αὐτὸν κἀκεῖνος ἐκφεύξεται ὡς ἀπὸ πυρός. εἰ γὰρ τοῦτο οἱ προειρημένοι ἐφύλασσον, οὐκ ἂν ὑπήχθησαν εἰς τὰ τοιαῦτα. ἀλλ' ὑμεῖς, ὡς εἴρηται, φυλάξασθε, τέκνα καὶ πρόβατα ὄντες τοῦ Χριστοῦ. μὴ γίνεσθε ἐθελοντὶ θήραμα τῷ διαβόλῳ, καὶ εἰς παράδεισον ἐνδιαιτώμενοι τῶν ἐντολῶν τοῦ Χριστοῦ μὴ δελεασθῆτε ὑπὸ τοῦ πονηροῦ ὄφεως καθ' οἱονδήποτε τρόπον καὶ ἀπορρίψητε εἰς τὸν τόπον τὸν σκοτεινὸν τῆς ἁμαρτίας. ἀγγελικῶς διαζῶντες μὴ ζῳωθῆτε διὰ τῆς φευκτῆς ἰδιορρυθμίας, ἀλλ' ἐπιμένοντες ἐπιμένοιτε καὶ τὰς ἐντολὰς ἐργαζόμενοι ἐργάζοισθε, καὶ μηδεὶς συνεδριαζέτω ἐπὶ πονηροῖς, μηδὲ συγκαθείσθω μετὰ ἀσεβοῦς· ἀσεβὴς γάρ ἐστι καὶ πονηρὸς ὁ συνδιάγων ἢ συλλαλῶν ἐπὶ ἀποδράσει ἢ ἄλλῳ τινὶ πάθει, ἐπὶ ἀπωλείᾳ αὐτοῦ καὶ τοῦ συνεπομένου αὐτῷ.

Ἡνίκα τοίνυν ἀπομονάσῃ σοι ὁ τοιοῦτος, ἀδελφέ, καὶ ἄρξηται τὸν ἰὸν τῆς κακίας ἐκχέειν ἐκ γλώσσης αὐτοῦ, ὡς πολλάκις εἰρήκαμεν, ἀποπήδησον, πόρρω στῆθι, βύσον τὰ ὦτα, ἵνα κἀκεῖνον καὶ σεαυτὸν περισώσῃς. ὁπηνίκα ἴδῃ σε λυπούμενον ἐκ συμβάντος πειρασμοῦ, σὺ οὖν μὴ δέξῃ αὐτὸν συνεπιτιθέμενόν σοι, ὡς δικαίως λυπουμένῳ ἢ ἀγανακτοῦντι· ὄφις γάρ ἐστι καὶ δολιεύεταί σε εἰσοικίσασθαι. ἡνίκα ἄρξηται αἰτιᾶσθαι τὸν παράδεισον, ὅ ἐστι τὸ κοινόβιον, ἢ τοὺς συνδιαιτωμένους σοι, οἵτινές εἰσιν οἱ ἀφελφοί, τὸν ὁδεῖνα λέγων ἢ τὸν ὁδεῖνα, ἢ τὸ τίδε καὶ τὸ τίδε πρᾶγμα, ἀπορράπισον αὐτόν, ἀντίφθεγξαι τὰ δέοντα, ἵνα κἀκεῖνον σωφρονίσῃς καὶ σεαυτὸν διασώσῃς. τί δὲ καὶ λέγουσιν οἱ τοιοῦτοι; "ἀπαλλαγῶμεν δή", φα-

---

11/12 Γενέσ- λζ', 20, 33. 16 17 Γενέσθ. γ', 1 κέ. 34 κῶδ *γεννιζοντες*

1 κῶδ. *σπεύσωμεν*. 16 κῶδ. *ζοωθῆτε*. 17 κῶδ. *ἰδιορυθμίας*· οὕτω πανταχοῦ. 26 κῶδ. *ἄρξητε*. 28 κῶδ. *βύσσον*. 37 ὁδεῖνα] ὕρα περὶ τούτου G. Meyer, Zur neugriechischen Grammatik. Graz, 1893, σ. 7. 38 τίδε] οὕτως ἐν τῷ κώδικι ἀντὶ τοῦ *τάδε*.

σίν, "ἐκ τῶν ἐνταῦθα· ὁ ἡγούμενος βαρύς, ὁ ἐπιστημονάρχης ἀσυμπαθής, ὁ κελλαρίτης ἀδιάκριτος, ἡ ἀκριβολογία πολλή, ἡ χρεία μηδαμινή, πάντες ἐγκελεύονται, πάντες ἐπιτάττουσιν· σπουδή ἐστιν ἐνεγκεῖν τὸ βάρος τοῦ κόπου, ἢ σῶσαι ἢ σωθῆναι ἐν τῷ τόπῳ τούτῳ. δεῦρο, ἀπίωμεν". ποῦ; ἀλλ' εἰς τὸ ἀνάθεμα· μόνον γὰρ τὸ ἐξελθεῖν καὶ εἰ ἦν ἰδεῖν τοὺς τοιούτους κατὰ ψυχήν, εἶδεν ἂν αὐτούς τις ὑγιαίνων ὅλως ἐσκοτισμένους, ἐπτοημένους, δαιμονῶντας, μηδὲν ἔχοντας ὑγιές, μήτε βούλημα, μήτε φρόνημα, ἀλλ' ὧδε κἀκεῖσε μεταφερομένους καὶ μεταπίπτοντας, ὡσὰν τὰ πλανώμενα πρόβατα. καὶ μὴ λογίσησθε, τέκνα, ὡς ὅτι κακίζειν αὐτοὺς θέλων ταῦτά φημι. οὐμενοῦν, ἀλλὰ καὶ πλείονα, ἃ οὐκ ἔστιν εἰπεῖν, πάρεισιν ἐν αὐτοῖς. ἀλλ' εὔξασθε καὶ ὑπερεύξασθε εὑρεθῆναι καὶ ἀνακληθῆναι αὐτούς, ἢ ἐξ ἑαυτῶν, ἢ ἐκ χειρῶν ἡμῶν. τὸ δὲ ἡμέτερον, ὡς προείρηται, ἵνα ἀσφαλίζησθε φεύγοντες, τὰ αἴτια τῆς συμπτώσεως, τὸν καλὸν ἀγῶνα ἀγωνιζόμενοι τῆς οὐρανίου στεφανώσεως ἡμῶν.

Ἤκουσταί δέ μοί πως, ὡς τινες ἀφυλάκτως τοὺς ἀπολισθήσαντας κυρολογοῦσι. καὶ ἐκεῖνοι μὲν οὐκ εἰσὶν οὐδὲ ἀκυρολογήτως ἄξιοι ἐπιμνημονεύεσθαι, ὑμῖν δὲ ἄλλως οὐκ ἔστιν, ἢ ψιλὴν τὴν προσηγορίαν αὐτῶν λέγειν μετὰ ἐλεεινολογίας· οὐδὲ γὰρ οἱ ἀπόστολοι τὸν προδότην ἢ κυριολεκτοῦσιν, ἢ ἀπόστολον ὀνομάζουσιν, ἀλλ' Ἰούδαν καὶ προδότην καὶ κλέπτην. πρὸς τούτοις ἤκουστα ἐμοί, ὅτι καὶ πάλιν ἀταξίαι γίνονται ἐν ταῖς ἑσπερίαις ὥραις ἐν τῷ ἀριστηταρίῳ, ζητοῦντος ἄλλου κρᾶσιν, βρῶμα, καὶ ταῦτα ἐν Τετραδοπαρασκευαῖς. καὶ οὐκ οἴδατε, ὅτι κατὰ τὴν ἐξωτικὴν καὶ προτέραν ἡμῶν διαγωγὴν διηλλάγημεν, ἐν τῇ πόλει ταύτῃ εἰσελθόντες, τοῦτο δὲ λέγω ἐν τῇ ἐλαιοφαγίᾳ καὶ οἰνοποσίᾳ τῶν ἡμισυεψητῶν ἐν ταῖς δυσὶ Τεσσαρακοσταῖς καὶ ἐν αὐταῖς ταῖς Τετραδοπαρασκευαῖς; ἀλλ' ἐπειδὴ συμπαθῶ ὑμᾶς ἐκ τῆς ἐμαυτοῦ ἀσθενείας, διὰ τὸ τῆς πόλεως δύσκρατον, ὁρίζω ἀπὸ τοῦ νῦν πάντας τοὺς θέλοντας ἐν ταῖς προλεχθείσαις ἡμέραις τῇ ἑσπέρᾳ μίαν κρᾶσιν καὶ κλάσμα ἄρτου λαμβάνειν. καὶ λοιπὸν μηκέτι γίνωνται ἀταξίαι καὶ λογομαχίαι, ὡς ὅτι "ἐγὼ ὤφειλον λαβεῖν καὶ ἐγὼ πλεῖον κεκοπίακα". ἰδοὺ τοίνυν καὶ διὰ τὰς δύο αἰτίας καὶ τρίτον διὰ τὸ θορυβῶδες ἐποιησάμεθα τὴν πάντων ἀνάπαυσιν. μηκέτι οὖν γίνωνται οἱ θόρυβοι, ἐπεὶ ἐγγύθεν τὰ ἐπιτίμια καὶ οἱ ἀφορισμοί. ἀσφαλίσασθε καὶ οἱ ἐπιστημοναρχοῦντες καὶ οἱ ἐπιτηροῦντες, καὶ οἱ οἰνοδοτοῦντες μετὰ τῶν λοιπῶν, ἵνα μὴ ταὐτοπαθήσητε. προσθετέον καὶ τοῦτο, ὅτι τινὲς οὐκ ἐν αἷς διακονίαις ἀπετάχθησαν ἐπιμένουσιν, ἀλλὰ παλιμβουλοῦσι καὶ ἀστατοῦσι, φερόμενοι καὶ μεταφερόμενοι ἐκ τῆσδε εἰς τήνδε ἀσκόπως, καὶ γίνονται λοιπὸν καὶ ἑαυτοῖς βλαβεροὶ καὶ τοῖς εὐτακτοῦσιν, ἑαυτοῖς μέν, ὅτι, κατὰ τὸν ἅγιον Βασίλειον, οὐ δύναται συνιδεῖν τὸ συμφέρον ἑαυτῷ ἕκαστος, τοῖς δὲ εὐτακτοῦσιν εἰς τὸ παραζηλοῦν τὴν ἀταξίαν, ἔπειτα καὶ τοῖς ἐπιστημοναρχοῦσι φροντίδας καὶ ἀδολεσχίας διακενῆς διδόντες. ἀλλὰ μὴ ἔστω τοῦτο· ἕκαστος δέ, ἐν ᾧ κέκληται, διαμενέτω ὑπομονητικῶς, καὶ ὡς διατέτακται στοιχείτω, κἂν ἐπὶ ἔργου, κἂν ἐπὶ μαθητοῦ, κἂν ἐπί τινος ἄλλου· τὸ γὰρ ἐκζητεῖν καὶ πολυπραγμονεῖν καὶ ἐφίεσθαι τὸ οἰκεῖον θέλημα ἀποπληροῦν, τῶν ἀτάκτων καὶ ἀπαιδεύτων καὶ πονηρευομένων. ὥστε λοιπὸν διαγινωσκομένης τῆς κακίας, μηκέτι μηδεὶς τοιοῦτόν τι πραττέτω, ἵνα μὴ ὑπόδικος γένηται τοῖς τῆς ἀταξίας ἐπιτιμίοις. οὐκ οἴδατε τί λέγει ὁ ἅγιος Δωρόθεος; ὅτι ὁ φθάσας εἰς τὴν κοπὴν τοῦ θελήματος ἔφθασεν εἰς τὸ μέτρον τῆς ἀναπαύσεως. εἰ οὖν θέλει λοιπὸν καὶ βούλεταί τις ἀναπαύεσθαι, τὴν ὁδὸν ταύτην κρατείτω, τὴν ἄρνησιν τῆς οἰκείας θελήσεως, καὶ ἕξει καὶ τὴν παραυτίκα καὶ τὴν μέλλουσαν αἰωνίαν ἀνάπαυσιν· ὁ δὲ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δῴη ὑμῖν, δι' εὐχῆς τοῦ πατρός μου, τὸ αὐτὸ φρονεῖν, τῷ αὐτῷ στοιχεῖν, τὸ ὑπομένειν, τὸ φέρειν μέχρι θανάτου τὰ τῆς ἀσκήσεως σκάμματα,

21 κῶδ. *ἀσφαλίζεσθε.* 34 κῶδ. *ἐσπεραίαις.*

3 κῶδ. *γίνονται.* οὕτω καὶ κατόπι.

εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ μεγαλωσύνη νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΕ'.

Περὶ τῆς φοβερᾶς ἡμέρας τῆς κρίσεως καὶ περὶ τοῦ ἀποστατήσαντος καὶ ἰουδαϊκῶς εἰς κριτήρια κοσμικὰ ἡμᾶς ἐνάγοντος.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, τί μὲν ὠφελεῖσθε αὐτοὶ ἐν τῇ ταπεινῇ μου κατηχήσει, οὐκ ἔχω λέγειν· ὅτι δὲ ἐγὼ ὁ τάλας τῇ πρὸς ὑμᾶς ὑπομνήσει ἐπισυνάγω ἐμαυτὸν εἰς συναίσθησιν καὶ διέγερσιν καὶ ἐκφόβησιν τῶν τοῦ θεοῦ κριμάτων καὶ τῆς ἐπικειμένης μοι ἀναξίως προστασίας, καὶ πάνυ ὁμολογῶ. ἵν' οὖν ἐμαυτὸν συνετίζω, εἰ καὶ μή τινα ἄλλον, καὶ χρῶμαι καὶ χρήσομαι τῷ ὑπομνηστικῷ πρὸς ὑμᾶς λόγῳ. τίς δέ ἐστι τοίνυν, προσέχωμεν, ὅτι καιρὸς ἀγώνων ἐστὶν ἡ παροῦσα ζωὴ καὶ καιρὸς θλίψεων καὶ ἱδρώτων· οὐκ ἀγώνων δὲ καὶ θλίψεων καὶ ἱδρώτων, ὡς ἄν τις εἴποι τῶν αὐθωρῶν καὶ βραχυκαίρων, ἀλλὰ τῶν διηνεκῶν καὶ πολυετῶν καὶ συντελεστικῶν τοῦ αἰῶνος τοῦδε· οὐδ' αὖ πάλιν ἐπὶ μικροῖς καὶ ἐλαχίστοις καὶ ἀνθρωπίνοις τῆς τηλικαύτης πυκτῆς ἡ ἀποτυχία, ἢ ἡ ἐπίτευξις, ἀλλ' εἰς αὐτὰ τὰ θεῖα καὶ οὐράνια. ἢ γὰρ ἐπιτυγχάνοντες δι' εὐτόνου ὑπομονῆς καὶ καρτερίας ἀνενδότου καὶ φυλακῆς τῶν ἁγίων ἐντολῶν βασιλείαν οὐρανῶν καὶ ἀθανασίαν καὶ ζωῆς ἀιδιότητα καὶ τὴν ἄφραστον καὶ ἀνήκουστον καὶ ἀνεννόητον τῶν αἰωνίων ἐκείνων ἀγαθῶν ἀπόλαυσιν κληρονομοῦμεν, ἤ, ὃ μὴ γένοιτο, ἀποτυγχάνοντες δι' ἀμελείας καὶ ῥᾳθυμίας καὶ προσπαθείας καὶ ἀγαπήσεως τοῦ νῦν αἰῶνος καὶ τῶν ὀλλυμένων καὶ φθοροποιῶν ἡδονῶν ἀνθέξομεν κόλασιν αἰωνίαν καὶ αἰσχύνην ἀπέραντον καὶ τὴν ἐξ εὐωνύμων παράστασιν, ἀκούοντες τῆς φοβερᾶς ἐκείνης καὶ ἀνυποστάτου φωνῆς τοῦ κριτοῦ τῶν ἁπάντων καὶ δεσπότου θεοῦ· "ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ". ἀλλὰ μήποτε ταῦτα ἀκούσωμεν, τέκνα καὶ ἀδελφοί, μηδὲ ὑποσταίημεν τὸν ἐλεεινὸν καὶ ἀνεκδιήγητον ἐκεῖνον χωρισμόν, τὸν ἀπὸ τῶν ἁγίων καὶ δικαίων, αὐτῶν μὲν προσλαμβανομένων εἰς χαρὰν ἀνεκλάλητον καὶ εἰς φῶς ἀνέκφραστον καὶ εἰς τρυφὴν ἀκόρεστον ("ἀνακλιθήσονται γάρ", φησὶν ὡς τὰ λόγια, "μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ"), ἡμῶν δὲ ἀπαγομένων σὺν τοῖς δαίμοσι πρὸς πῦρ ἄσβεστον καὶ σκώληκα ἀτελεύτητον, πρὸς βρυγμὸν ὀδόντων, πρὸς χάος μέγα, πρὸς τάρταρα ἀνυπόστατα, πρὸς δεσμοὺς ἀλύτους, πρὸς καταχθόνια ζοφωδέστατα, καὶ ταῦτα οὐκ ὀλιγοκαίρως, οὐδὲ ἐνιαυσιαίως, οὐδὲ ἑκατονταετῶς, οὐδὲ χιλιονταετῶς, προσθήσω οὐδὲ μυριονταετῶς· οὐ γὰρ ἕξει τέλος ἡ κόλασις, ὡς δοκεῖ τοῖς Ὠριγενιασταῖς, ἀλλ' εἰς ἀεὶ καὶ ὡσαύτως καὶ αἰωνίως, κατὰ τὴν ἀπόφασιν τοῦ κυρίου. ποῦ οὖν τότε, καθώς φασιν οἱ ἅγιοι, ἀδελφὸς ἢ πατὴρ ἢ μήτηρ, πρὸς λύτρωσιν, πρὸς ἐκδίκησιν; οὐδαμοῦ· "ἀδελφὸς γάρ", φησίν, "οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ". ἐγὼ δὲ ἐρωτήσω ἄλλως· ποῦ τότε, ἀδελφοί μου (ἄρξομαι γὰρ ἀπὸ τῶν μικροτέρων ἀνιῶν ἐπὶ τὰ βαρύτερα), ἡ τῶν ῥᾳθυμούντων ῥᾳθυμία καὶ ἡ τῶν ἀμελούντων ἀμέλεια, ἡ τῶν ἀντιλογούντων ἀντιλογία καὶ ἡ τῶν παρακουόντων παρακοή, ἡ τῶν ὑπερηφανευομένων ὑπερηφανία, ἡ τῶν θρασυνομένων θρασύτης καὶ ἡ τῶν ἰδιορρυθμούντων αὐθάδεια, ἡ τῶν γαστριμαργούντων γαστριμαργία καὶ ἡ τῶν παῤῥησιαζομένων παῤῥησία, ἡ τῶν ἐκδικοθελῶν κατεπίτασις καὶ ἡ τῶν ψευδολογούντων πολυπροφάσιστος πρόφασις, καὶ ἔτι μᾶλλον ἡ τῶν ἀρνησαμένων ἐξάρνησις τῆς ὑπὸ θεῷ μάρτυρι ὁμολογίας

11 κῶδ. ὠφελεῖσθαι. 34 κῶδ. ἀνενόητον. 38 κῶδ. ὀλυμένων. 40 κῶδ ἐσχύνην.

2 Ματθ. κε', 41. 12/13 Ματθ. η', 11. 27/30 Ψαλμ. μθ', 8, 9. 29 κῶδ. ἑαυτῷ. 38 κῶδ. αὐθάδια.

καὶ ὑποταγῆς αὐτῶν, οἵτινες καταπατήσαντες τὸν υἱὸν τοῦ θεοῦ καὶ τὸ αἷμα τῆς διαθήκης αὐτοῦ κοινὸν ἡγησάμενοι καὶ λογισάμενοι μὴ εἶναι θάνατον καὶ ἀνάστασιν, μηδὲ κρίσιν καὶ ἀνταπόδοσιν, ἀπορραγέντες τῆς ἐν ἁγίῳ πνεύματι συναφείας, ἐστερημένοι τε αὐτοῦ τοῦ ἁγίου πνεύματος, ὡς φησί που γράφων ὁ μέγας Βασίλειος, ὧδε κἀκεῖσε ὡς πρόβατα πλανώμενα περιφερόμενοι εἰς κρημνοὺς καὶ βάραθρα τῶν οἰκείων φιληδονιῶν, οὐκ ἀρκούμενοι ἐπὶ τῇ φθασάσῃ θηριοβρωσίᾳ αὐτῶν ἕως τοῦ παρόντος, ἀλλὰ καὶ παντάπασι τελείαν ἀνάλωσιν ἐφιέμενοι καὶ μήτε φωνῆς ἐπακούοντες τῆς ταπεινώσεως ἡμῶν, μήτε ἀπειλῆς φοβούσης καὶ ὑποδεικνυούσης τὰ βελτίονα, ἀλλ' ἢ μᾶλλον καί τις αὐτῶν ἰουδαΐζειν τῳόντι ἐλόμενος εἰς κριτήρια ἡμᾶς κοσμικὰ ἐναγαγεῖν ἤρξατο; φεῖσαι οὖν, κύριε, φεῖσαι τῆς τοιαύτης ἀναλγησίας καὶ περιφρονήσεως καὶ ἐπισκοτώσεως!

Ἀλλ' ἡμεῖς, τέκνα, "δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν ἐναντίον κυρίου, τοῦ ποιήσαντος ἡμᾶς", καὶ ὑπὲρ μὲν ἐκεινων, ὡς φιλάδελφοι, καθὼς χρὴ εὐξώμεθα καὶ ὑπερευξώμεθα, ζητοῦντες τὴν ὑποστροφὴν καὶ ἀνάκλησιν αὐτῶν, ὑπὲρ δὲ ἑαυτῶν τὰ δέοντα συνεισενέγκωμεν καὶ εἰς βελτίωσιν ἐπαναχθῶμεν, ὑπὲρ τῶν παρεθέντων ἡμῖν ἀμελῶς συγχώρησιν ἐξαιτούμενοι· ὅ τι γὰρ ἂν καὶ εἴπωμεν, ἀλλ' οὖν ἀκμὴν ἐν τῷ σταδίῳ ἐσμὲν καὶ ἐν τῇ μάνδρᾳ σεσώσμεθα καὶ ὑπὸ τὸν αὐτὸν ποιμένα ἀγόμεθα, εἰ καὶ τυφλώττοντα. καὶ οὐχ εἶλεν ἡμᾶς ὁ Σατανᾶς, οὐδὲ ἐχειρώσατο ὁ ἀντικείμενος, οὐδὲ κατάβρωμα ἔλαβεν ὁ ἀνήμερος θήρ· οὐ γὰρ ἐξέωσε τῆς αὐλῆς, οὐδὲ ἐπὶ στόματος διὰ τραχήλου σύρων παίει τὰς πλευρὰς τῆς ψυχῆς ἡμῶν τῇ κέρκῳ αὐτοῦ· ὡς πρόβατα γὰρ Χριστοῦ ἔνδον περιπεφράγμεθα. κἂν πώς ποτε ἀρρωστῶμεν, ἢ χωλεύωμεν, ἢ σκωληκιῶμεν, ἢ ἄλλο τι πάσχωμεν, ἐκεῖνος ὅμως ἔξωθεν σοφίζεται καὶ ἐπιβουλεύει "ζητῶν τίνα καταπίῃ", πῶς δὲ ἐκπηδήσαντα ἐξ ἑαυτοῦ, ἢ ὑποσυρέντα διά τινος λαθραίας ὀπῆς λογισμοῦ ἢ παραθυρίδος, ἢ παρασπασμοῦ τῆς λογικῆς φρακτῆς. ταῦτα τοιγαροῦν σκοπῶμεν καὶ ἐν τούτοις μὴ ἀγνοῶμεν τὰ νοήματα τοῦ ἀντικειμένου, καὶ ἕκαστος κατὰ τὴν ἐνοῦσαν αὐτῷ δύναμιν καὶ τὴν ὑπάρχουσαν διακονίαν ἐπειγέσθω καὶ ἐπειχθήτω, προκόπτων ἐν ταπεινώσει, ἐν ὑπακοῇ, ἐν ἐξαγορεύσει, ἐν κατανύξει, ἐν προσευχῇ, ἐν δάκρυσιν, ἐν γονυκλισίαις, ἐν στιχολογίαις, ἐν ἔργοις χειρῶν, ἐν ἀγάπῃ, ἐν ἁγνείᾳ, ἐν πάσῃ ἀγαθῇ ἀναστροφῇ, σκεῦος ἐκλεκτὸν Χριστοῦ ἀναδεικνύμενος καὶ υἱὸς φωτὸς χρηματίζων.

Ναί, ναί, τέκνα μου, παρακαλῶ καὶ δέομαι, ὑπομνήσκω καὶ δυσωπῶ· ἔτι μικρὸν ὅσον ὅσον καὶ ἔφθασεν ἡ ὥρα, καὶ ἤγγικεν ὁ καιρὸς τῆς χαρᾶς ἡμῶν, τῆς ἀπολυτρώσεως, τῆς ἀγαλλιάσεως, τῆς ἐλευθερίας, τῶν στεφάνων, τῶν ἀμοιβῶν. τάχα τοίνυν καὶ αὐτοὶ οἱ ἅγιοι καὶ μάλιστα οἱ ὁμοταγεῖς ἡμῶν, λέγω δὴ οἱ ἀποτακτικοί, ἤδη ἀπ' αὐτοῦ τοῦ οὐρανοῦ ὁρῶντες τὰς προκοπὰς ὑμῶν χαίρουσι καὶ ἥδονται (φιλεῖ γὰρ ἕκαστος χορὸς τῶν δικαίων τῶν οἰκείων αὐτοῦ μᾶλλον ὑπὲρ τοὺς ἄλλους), ἀγωνιζόμενοι εἰς ἐπαύξησιν καὶ προσθήκην τοῦ λαχόντος αὐτοῖς κλήρου, ἵνα πλείονες ἐπὶ τὸ αὐτὸ ὦσι καὶ συγχορεύωσιν, ὑμνοῦντες τὴν μακαρίαν καὶ ἁγίαν τριάδα, ὅτι αὐτῇ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΣ'.

Περὶ τοῦ φέρειν εὐμαρῶς τὸ στάδιον τῆς ἁρίστης ἡμῶν ὑποταγῆς.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ἡ παροῦσα ὥρα καθάρασα ὑμᾶς καὶ φωτίσασα διὰ τῆς ὑμνολογίας καὶ προσευχῆς, μή τι ἄρα ἐπιδεής ἐστι τοῦ ταπεινοῦ ἡμῶν λόγου;

1/3 Ἑβρ. ι', 29 «ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος». 8 κῶδ. *γρἀφει.* 16 κῶδ. *βελτίωνα.* 22/24 Ψαλμ. ιδ', 8. 37 κῶδ. *τραχύλον.* 41 κῶδ. *σκωλυκιῶμεν.*

2 Πέτρου 1, ε', 8. 15 σκεῦος ἐκλεκτὸν] Πράξ. θ', 15. 16 υἱὸς φωτὸς] Λουκᾶ ιβ', 36. 30 κῶδ. *πλείωνες.*

οὐδαμῶς. ἀλλὰ τὸ σύνηθες ἀποπληροῦντες πάλιν καὶ πάλιν ὑπομιμνήσκομεν, καὶ πάλιν προσαγορεύομεν ὑμᾶς· ἀναγκαῖον γὰρ τὰ τέκνα ἡμῶν τὰ ἐπιπόθητα, τὰ μέλη ἡμῶν τὰ τιμιώτατα, τὰ σπλάγχνα ἡμῶν τὰ οἰκειότατα, ἢ οὐκ οἶδ' ὅ τι καὶ φράσω ἀξιώτερον, δέον εἰπεῖν μᾶλλον τὰ τέκνα τοῦ θεοῦ, τοὺς υἱοὺς τοῦ φωτός, τὸν ἐκλεκτὸν λαὸν τοῦ κυρίου, τὸ ἄθροισμα τῆς εὐσεβείας, τὸ στράτευμα τῆς ἄνω βασιλείας, τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, τὴν ὁμήγυριν τὴν ἀγγελικήν, τὸ ὡς ἀληθῶς "ἔθνος ἅγιον καὶ βασίλειον ἱεράτευμα", οὗ τὸ πολίτευμα οὐκ ἐπίγειον, ἀλλ' οὐράνιον· οὗ ἡ ζωὴ οὐκ ἐν σαρκί, ἀλλ' ὑπὲρ σάρκα· οὐ τὸ ἔργον οὔ τι τῶν ἀπολλυμένων καὶ ῥεόντων καὶ φθειρομένων, ἀλλ' ὅλον δι' ὅλου πνευματικὸν καὶ σωτήριον καὶ αἰώνιον· οὗ τὸ ἔνδυμα εὐτελὲς μὲν κατὰ τὸ φαινόμενον, ἔνδοθεν δέ, ὡς ἐν κροσσωτοῖς χρυσοῖς, διὰ τοῦ κάλλους τῶν ἀρετῶν πεποικιλμένον καὶ διηγλαϊσμένον· οὗ ὁ κλῆρος καὶ ἡ μερὶς οὐ χρυσὸς καὶ ἄργυρος καὶ λίθοι διαφανεῖς, οὐδέ τις ἱματισμὸς πολυτελής, ἢ ἀγρῶν ἢ χωρῶν τόσων γε καὶ τόσων γε κατάσχεσις, ἢ νομάδων καὶ ἀγελῶν πολυπληθία καὶ εἴ τι τοιοῦτον (ἃ μικρὸν ὕστερον φθείρεται καὶ ἀπόλλυται), ἀλλ' αὐτὸς ὁ κύριος καὶ ἡ βασιλεία τῶν οὐρανῶν καὶ οἱ κόλποι τοῦ Ἀβραάμ, καὶ ἡ ἀθανασία καὶ ἡ μακαριότης, καὶ ὁ Παράδεισος ὁ τερπνὸς καὶ τὰ ἄλλα, "ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἀγαθά, ἃ ἡτοίμασεν ὁ θεὸς πᾶσι τοῖς ἀπ' αἰῶνος εὐαρεστήσασιν αὐτῷ", ὡς γέγραπται.

Τοιαύτη τοιγαροῦν ἡ συνέλευσις ὑμῶν καὶ τηλικαύτη ἡ ἐργασία, καὶ οὗτος ὁ τρόπος καὶ ὁ βίος, θαυμαστός τε καὶ ἐνάρετος, οὐκ ἐκ τῶν κατὰ κόσμον, ἀλλ' ὑπὲρ τὸν κόσμον γνωριζόμενος, οὐκ ἐκ τῶν περιγείων, ἀλλ' ἐκ τῶν ἐπουρανίων τιμώμενος. διὰ τοῦτο γὰρ καὶ τὸ κατὰ σάρκα ὡς ἀγενεαλόγητοι καὶ ἀπόλιδες χρηματίζετε, ἕνα πατέρα ἔχοντες, τὸν τῶν ὅλων θεόν, καὶ πόλιν τὴν ἄνω Ἱερουσαλὴμ καὶ συμπολίτας τοὺς ἀπ' αἰῶνος ἁγίους. τί οὖν λοιπὸν θαυμαστόν, εἰ ἐνταῦθα κακοπαθοῦμεν, διὰ τῆς ἀσκήσεως παντοίως ἑλκόμενοι καὶ περιτρυχόμενοι καὶ ταλαιπωρούμενοι, ἐσθ' ὅτε καὶ ὑβριζόμενοι καὶ ὀνειδιζόμενοι καὶ καταλαλούμενοι καὶ χλευαζόμενοι παρά τινων; εἴπερ "ἀνατελεῖ" ἡμῖν "δικαιοσύνη καὶ πλῆθος εἰρήνης", καὶ φῶς καὶ ζωὴ καὶ χαρὰ ἀνεκλάλητος καὶ ἡ μετὰ τῶν ἁγίων ἀγγέλων ὁμοδίαιτος εὐφροσύνη, διὰ τοῦτο, δέομαι καὶ παρακαλῶ, κρατύνατε τὰς ψυχὰς ὑμῶν ἐν ὑπομονῇ καὶ στερεώσατε τὰ φρονήματα ὑμῶν ἐν κυρίῳ, πάντα εὐμαρῶς φέροντες καὶ διεξάγοντες τῇ τῶν μεγάλων ἐλπίδων προσδοκίᾳ· καὶ γὰρ ὅσον ὅσον καὶ ὁ βραχύτατος οὗτος καὶ ὀξυδρόμος χρόνος παριππεύει καὶ ἡμεῖς ἐγγίζομεν οὐ τῷ θανάτῳ, ἀλλὰ τῇ ζωῇ τῇ ἀκηράτῳ· θάνατος γὰρ οὐ κυριεύσει ὑμῶν, ἡνίκα προτεθνήκατε διὰ τῆς ἀποταγῆς τοῦ κόσμου τῇ προαιρέσει.

Ἐχώμεθα τοιγαροῦν τοῦ ἔργου ἡμῶν καὶ τῆς φροντίδος, καὶ εἷς ἕκαστος κατὰ τὴν ἐνοῦσαν αὐτῷ διακονίαν προθύμως ἐπειγέσθω ἐκτελεῖν καθαρῶς καὶ ὁσίως τὸ ἔργον αὐτοῦ, παριστῶν αὐτὸ ἄμωμον τῷ μισθαποδότῃ θεῷ, ὁ οἰκονόμος ἐν ταῖς τοῦ οἰκονομείου διοικήσεσιν, ὁ ἐπιστημονάρχης ἐν ταῖς τῆς ἐπιστήμης ἀσχολίαις καὶ θεωρίαις καὶ διακρίσεσιν, ὁ κελλαρίτης ἐν ταῖς τοῦ κελλαρίου διαδόσεσιν, ὁ βεστιάριος ἐν ταῖς τῶν ἱματίων πλύσεσί τε καὶ ῥαφαῖς καὶ ἀναλόγως καὶ κατ' ἀξίαν διανομαῖς, ὁ σκευτὴς ἐν ταῖς τῶν ὑποδημάτων συγκοπαῖς τε καὶ συῤῥαφαῖς, εὐλόγοις τε χρήσεσιν, ἀλλὰ μὴ παραχρήσεσιν, εἰ καὶ κοπωδέστατον τὸ πρᾶγμα. οὕτως ὁ ὀψοποιὸς ἐν ταῖς ἑψήσεσι καὶ καύσεσι τῶν τε ὀσπρίων καὶ λαχάνων καὶ τῶν ξύλων· ὡσαύτως ὁ τραπεζάριος ἐν ταῖς τοῦ ἄρτου διαθέσεσι καὶ ἐμμέτροις σταθμήσεσι καὶ εἴ τι τῶν ἄλλων συμβαίνει.

7 τέκνα τοῦ θεοῦ] Ἰωάν. α', 12. ια', 52. Ῥωμ. η', 16, 17. Φιλιπ. β', 15. Ἰωάν. 1, γ', 1 κἑ. 8 υἱοὺς τοῦ φωτὸς] Λουκᾶ ις', 8. Ἰωαν. ιβ', 36. Θεσσαλ. 1, ε', 5 || ἐκλεκτὸν λαὸν] Πέτρ. 1, β', 9. 11 κῶδ. ὁμήγυρν. 12 Πετρου 1, β', 9 13 πολίτ. οὐράνιον] Φιλιπ. γ', 20. 23 κῶδ. πολιτελής. 31 35 Ἐξόδ. θ', 6. Κορινθ. 1, β', 9.

11, 12 Ψαλμ. οα', 7. 31 κῶδ. οἰκονομίον.

πρὸς τούτοις οἱ ἐν ἑκάστῃ διακονίᾳ, οἵ τε βυρσεῖς ἐν τῷ εὐπροθύμως βυρσεύειν καὶ ἐπαρκεῖν τὰ πρὸς χρείαν τῇ ἀδελφότητι, οἵ τε χαλκεῖς ἐν τῷ χαλκεύειν εὐσυνειδήτως καὶ προσπορίζεσθαι τὰ δέοντα καὶ μή τι ἔξω τοῦ διατεταγμένου πράσσειν, οἵ τε μεμβρανοποιοὶ καὶ κανισκοποιοὶ ἐν τῷ αὐτῷ μέτρῳ καὶ τῇ αὐτῇ διαθέσει· ἐπιβλέπων γὰρ ἐπιβλέπει ὁ κύριος ἕκαστον καὶ τὸ ἔργον αὐτοῦ, καὶ τὸ πρόθυμον καὶ τὸ δύσθυμον καὶ τὸ ὀκνηρὸν καὶ τὸ προφασιστικόν. καὶ ἔτι μᾶλλον οἱ καλλιγράφοι ταῦτα σκοπείτωσαν, καὶ οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ὑφάνται, οἵ τε νοσοκόμοι καὶ θυρωροί, οἵ τε τέκτονες καὶ οἱ χρυσοχόοι, οἱ ζωγράφοι τε καὶ οἱ ἀμφιασταί, οἱ μάγκιπές τε καὶ οἱ κτηνῖται, οἱ διακονηταί τε καὶ οἱ ἐπιτηρηταί, οἱ ἀφυπνισταί τε καὶ οἱ κανδηλάριοι, οἱ ἀμπελουργοί τε καὶ οἱ κηπουργοί, οἱ πρωτοορδινάριοί τε καὶ οἱ διὰ μέσης, οἱ ἁλιεῖς τε καὶ οἱ κοσμήτορες καὶ εἴ τις ἄλλος μικρὸς καὶ μέγας διακονῶν τε καὶ διακονούμενος, ἀσθενῶν τε καὶ ὑγιαίνων· πάντα γὰρ ἐπιβλέπει, ὡς εἴρηται, καὶ πᾶσιν ἀμείψει ἄξια γέρα ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ.

Ὑπομνήσκειν οὖν περὶ τούτων ἀεὶ μέν μοι ἀναγκαῖον· ὑπέμνησα δὲ ἄρτι μάλιστα, ἡνίκα καὶ ἑορταὶ ἅγιαι ἥκασι, φέρουσαι ἡμῖν μετὰ τῆς ἐνθέου χαρᾶς καὶ ἀγαλλιάσεως, εἰ μὴ προσέχοιμεν, καὶ τὰς ἐκ τοῦ πονηροῦ βλάβας, ἐκ τῆς μᾶλλον παρὰ τὸν προλαβόντα χρόνον ἀνέσεως καὶ ἀναπαύσεως σωματικῆς. ἀλλ' ὑμεῖς ὡς θεόφρονες πάντα θείως καὶ εὐσταθῶς ἀποπληρώσατε νῦν τε καὶ εἰς τὸν ἑξῆς χρόνον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΖ'.

Ὅτι δεῖ ἡμᾶς τὴν τῶν νηπίων μιμεῖσθαι ἀφελότητα, διὰ τὸν δι' ἡμᾶς νηπιάσαντα Χριστόν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, τὴν ἑορτὴν ἤδη ἑωρτάσαμεν τῶν γενεθλίων τοῦ Χριστοῦ καὶ τὰ εἰκότα ἀπεπληρώσαμεν, εὐφρανθέντες καὶ ἀγαλλιασάμενοι ἐν ταῖς θείαις ὑμνῳδίαις καὶ ταῖς ἱεραῖς ἀναγνώσεσι, καὶ οὐδὲν παρὰ τὸ εἰκὸς γέγονε χάριτι Χριστοῦ, ἀλλὰ καὶ εἴ τι σωματικὸν πρὸς παράκλησιν, καὶ τοῦτο μετὰ εὐταξίας καὶ τῆς καθηκούσης συμμετρίας. δεδώκαμεν δὲ καὶ τὸ ἅγιον σχῆμα ἐπὶ τὸ αὐτὸ ἀδελφοῖς κζ', καὶ χαρὰ γέγονεν ἐν οὐρανῷ, καθὼς γέγραπται. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. πόσον γε ἐπὶ τοσούτῳ ἀριθμῷ; οὕτως ἤδη τὰ πάντα χαρίζεται ἡμῖν ὁ κύριος, δι' εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, πλουσίως καὶ μεγαλοδώρως. καὶ τί ἀνταποδώσωμεν τῇ ἀγαθότητι αὐτοῦ, ὑπὲρ ὧν ἀνταποδίδωσιν ἡμῖν, ἢ τὸ μιμεῖσθαι αὐτόν, καθ' ὅσον οἷόν τε; βλέπετε, τέκνα καὶ ἀδελφοί, τί γέγονε καὶ ἐξ οἵου ὕψους θεότητος εἰς οἷον ταπεινώσεως μέτρον καθῆκεν ἑαυτόν· θεὸς γὰρ ὢν καὶ κύριος τοῦ παντὸς δούλου μορφὴν ἀνέλαβε, κυηθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ ὡς βρέφος ἐσπαργανώθη καὶ ὡς παιδίον ἐγαλακτοτροφήθη, καὶ ταῦτα ταπεινῶς καὶ εὐτελῶς. ὑπὸ γὰρ σπήλαιον ἐτέχθη καὶ ἐν φάτνῃ ἀνεκλίθη, καὶ τὸ ὁρώμενον κατὰ μικρὸν ηὐξήθη καὶ ἐκ τοῦ παιδίου τελεῖ εἰς μειράκιον καὶ οὕτως εἰς ἄνδρα τέλειον, ὅτε καὶ καταδέχεται βαπτίζεσθαι, πηγάζων ἡμῖν τῆς ἀναγεννήσεως τὸ λύτρον· τὰ γὰρ ἑξῆς μεταληπτέα, λέγω δὴ τὴν παράδοσιν, τὰ ζωοποιᾶ αὐτοῦ πάθη, τὴν σταύρωσιν, τὸν θάνατον, τὴν τριήμερον ἀνάστασιν. τοῦτο οὖν ὅλον, ὡς οἴδατε, δι' ἡμᾶς γέγονεν, ἵνα καὶ ἡμεῖς ἐφ' ὅσον οἷόν τε παραζηλῶμεν αὐτόν.

Ἐπεὶ οὖν ὁ ἀσωμάτως ἐκ πατρὸς πρὸ αἰώνων γεννηθεὶς δι' ἡμᾶς ὕστερον ἐνσώματος ἐκ τῆς ἁγίας παρθένου ἐτέχθη, γεννηθῶμεν καὶ ἡμεῖς οἱ πρότερον σωματικῶς, ὕστερον πνευματικῶς, κοινῶς μὲν οἱ πάντες ἐπὶ τοῦ ἁγίου βαπτίσματος, ἰδίως δὲ οἱ

---

23 πάντα ἐπιβλέπει] Σειρ. κγ', 19. 39 Novae patrum bibliothecae t. IX, pars II, σ. 80-83.

9/11 Λουκᾶ ιε', 7. 9 ἀδελφοὺς P, τινι τῶν ἀδελφῶν V. 10 εἰ γὰρ - - ἀριθμῷ] ἐλλείπει ταῦτα τῷ V. 13 δι' εὐχῆς - - ὑμῶν] ἑλλ. ταῦτα τῷ V. 20 ἑαυτῷ V. 21 δούλου μορφὴν] Φιλιπ. β', 7. 26 ἀνεκλίθη] Λουκᾶ β', 7 || ἀνεκλήθη P, ἀνακλήθη V. 27 παιδὸς V. 29 βαπτίσασθαι V. 35 παραζηλοῦμεν PV. 36 ἐνσωμάτως V.

ἀπομονάζοντες διὰ τοῦ ἁγίου σχήματος. διὸ ὀφείλομεν, τέκνα, καὶ νηπιάζειν, καὶ μάλιστα οἱ νεωστὶ σχηματισθέντες, καὶ παιδίων μιμεῖσθαι ἀφελότητα, ἵνα, ἐάν τις παροξύνῃ, ἢ παραπλήξῃ, ἢ ὀνειδίσῃ, μὴ εὐθὺς θηριώμεθα, ἢ ἐξαγριώμεθα, ἀναλογιζόμενοι τὴν σωματικὴν νεότητα, ἢ τυχὸν τὸ γῆρας, ἢ τὰ ἄλλα, ἢ ὅ τι ἐπετροπεύσαμεν, ἢ ὅ τι ᾠκονομήσαμεν, ἢ ἐπολιταρχήσαμεν, ἢ ἐδεσποτεύσαμεν, ἢ ἐκτητορεύσαμεν, ἤ τι τοιοῦτον, ἐπεὶ οὔπω ἐγεννήθημεν κατὰ Χριστόν, ἀλλ' ἐν πᾶσι καὶ κατὰ πάντα ὑποτασσόμενοι τοῖς πνευματικοῖς γονεῦσιν· ὁ γὰρ τὰ πάντα ὑποτάσσων τῷ λόγῳ τοῦ προστάγματος αὐτοῦ ὑπετάττετο, ὑποταγῆς μέτρα καὶ εὐπειθείας ἀποπληρῶν πρὸς τὴν τεκοῦσαν· τὸ γὰρ ὅτι ὠνειδίζετο καὶ ὑβρίζετο, ἀκούων παρὰ τῶν δυσμενεστάτων γραμματέων καὶ Φαρισαίων "δαιμόνιον ἔχεις" καὶ "ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν τὰ δαιμόνια" καὶ "υἱὸς τοῦ τέκτονος" καὶ ὅσα ἄλλα ἐπονείδιστα, τί δεῖ καὶ λέγειν, ὁπότε καὶ ἐμπτυόμενος καὶ ῥαπιζόμενος, σταυρούμενός τε καὶ προσηλούμενος καὶ λογχευόμενος, οὐδὲ φωνὴν ἠφίει, ἢ μόνον εὐχαριστήριον καὶ εὐκτήριον; "πάτερ γάρ", φησίν, "ἄφες αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν· οὐ γὰρ οἴδασι, τί ποιοῦσιν". ἰδοὺ οἱ θέλοντες σῴζεσθαι μιμνησκέσθωσαν τὰ τοιαῦτα ἐξ ὀλίγου πως, εἴπερ συγκληρονόμοι τῶν ἁγίων αἱροῦνται γενέσθαι.

Βλέπετε δὴ οὖν λοιπὸν πάντες μέν, μάλιστα δὲ οἱ ἀποκαθαρθέντες ἄρτι, πῶς μέλλετε ἑαυτοὺς διαφυλάττειν εὐλαβεῖς καὶ εὐθέτους καὶ εὐηκόους ἐν ἅπασι, μὴ ἀλλοιούμενοι ἐκ τῆς καλῆς ἀλλοιώσεως, μηδὲ μωμούμενοι τὸ καθαρὸν ὑμῶν ἐπάγγελμα. εἰ δὲ οἱ ἀρτιπαγεῖς οὕτως, πόσῳ γε μᾶλλον οἱ προβεβηκότες χρεωστοῦμεν ἀσφαλεῖς καὶ ἀκράδαντοι εἶναι, τυποῦντες δι' ἑαυτῶν καὶ τοὺς κατωτέρους καὶ φωτίζοντες διὰ τῆς ἀγαθῆς πολιτείας; οὐδὲ γὰρ διὰ τοῦτο προηγοῦνται λύχνοι, ἵνα σκοτίζωσιν, ἀλλ' ἵνα φαίνωσιν. οὐδὲ διὰ τοῦτο προπορεύονται ὁδῖται, ἵνα πλανῶσιν, ἀλλ' ἵνα σώσωσιν. εἰ δὲ τὰ ἐναντία, τῶν ἐναντίων εἰσίν, ὅπερ ἀπείη ἐφ' ὑμῖν λέγεσθαι. διὰ τοῦτο προσέχετε ἀπὸ κεφαλῆς ἕως ποδῶν οἱ ἔφοροι καὶ ἐπιτηρηταί, οἱ τῆς εὐταξίας, οἱ τῶν διακονιῶν, οἱ τῶν ἐξουσιῶν, μή τι γένηται κατὰ πρόσκλησιν, κατὰ περιφρόνησιν, κατ' ὄκλασιν, ἀλλ' ἐν ἅπασιν οἱ πάντες θείως καὶ θερμῶς τὰ τοῦ θεοῦ τελῶμεν καὶ συντελῶμεν, ἵνα θεραπεύηται Χριστὸς δι' ἡμῶν τῶν ἁμαρτωλῶν, ἵνα δοξάζηται, ἵνα χαίρῃ, ἐπεὶ καὶ οἱ ἅγιοι ἄγγελοι αὐτοῦ, ἐπεὶ καὶ οἱ ἅγιοι πάντες, καὶ μάλιστα οἱ πατέρες καὶ ὁμόσχημοι καὶ ὁμοταγεῖς ἡμῶν.

Καλὸν δέ ἐστι μηδὲ τοῦτο ἀποκρύψαι, ὅτι καὶ ἡ ταπείνωσίς μου μᾶλλον καὶ μᾶλλον ἀναπαυομένη ἐστὶν εἰς τὴν ἁγιωσύνην ὑμῶν, ὅτι κάλλιστα διευθύνεσθαι ἤρξατο, ὅτι εὐτακτεῖ, ὅτι οὐ διαμάχεται, ὅτι γαληνιᾷ. ἀλλ' ἐκ θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἐμοῦ, ἐξ εὐχῆς τοῦ πατρός μου, οὐκ ἐκ τῶν ἀνομιῶν μου, ἐξ ὑμῶν αὐτῶν τῆς ἀγαθῆς προθέσεως, ἀλλ' οὐκ ἐκ τῆς ἀμελείας μου. δώῃ δὲ ὑμῖν κύριος ἔτι καὶ ἔτι δύναμιν καὶ κραταίωσιν καθαίρεσθαι καὶ ὑψοῦσθαι καὶ βελτιοῦσθαι καὶ λαμπρύνεσθαι, ἵνα λάμπητε ὡς φωστῆρες ἐν κόσμῳ, ἵνα εὐωδιάζητε τὴν εὐωδίαν τοῦ πνεύματος, ὡς τὰ ὡραῖα φυτὰ τοῦ Παραδείσου, ἵνα πυκάζητε ὡς ῥόδα ἀμάραντα τοῦ ἁγίου θυσιαστηρίου. ναί, παρακαλῶ καὶ δέομαι ὑμῶν, ὅσον ὅσον ἐπειχθησώμεθα, ἐπιγενώμεθα, ἐπιδραμούμεθα πρὸς ἁρπαγὴν τῆς βασιλείας οὐρανῶν, πρὸς ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν, πρὸς ἀνάπαυσιν τῆς ἀιδίου μακαριότητος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

4 παροξύνει ἢ παραπλήξει ἢ ὀνειδίσει P. 6 ἢ ἐξαγριώμεθα] ἐλλείπει τῷ V. 13 πάντα ὑποτάσσων] Ψαλμ. η', 7. Κορινθ. 1, ιε', 26-28. Ἐφεσ. α', 22. Φιλιπ. γ', 21. Ἑβρ. β', 8. 19 Ἰωάν. ζ', 20. η', 48, 52. 17 ὀνειδίζετο P. 19/20 Ματθ. ιβ', 24. Μάρκ. γ', 22. 21 Ματθ. ιγ', 55. 26/27 Λουκᾶ κγ', 34. 32 μέλλεσθε V.

6/7 οἱ ἔφοροι - - εὐταξίας] ἐλλ. ταῦτα τῷ V. 8 γίνεται V. 20 ἡμῶν P ‖ διευθύνεσθαι P, καὶ εὐθύνεσθαι V. 23 ἐξ εὐχῆς - - ἀνομιῶν μου] ἐλλείπει ταῦτα τῷ V. 26 δοίη V, δόη P. 31 ποικάζητε P.

ΚΑΤΗΧΗΣΙΣ ΜΗ'.

Ὅτι πρὸς ὀλίγον ἡ ἐγκράτεια, ἡ δὲ ἀρετὴ μένει εἰς τὸ διηνεκές.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ὡς ἤδη ἀρχόμενός εἰμι τὴν κατήχησιν ποιεῖσθαι, ὡς ἤδη ἀνέῳγα τὸ στόμα μου τὸ ταπεινὸν πρὸς ὑμᾶς, καὶ τοῦτο οὐκ ἐκ ταπεινοφροσύνης λέγω (οὐ γάρ ἐστιν ἐν ἐμοί), ἀλλ' ἐκ συναισθήσεως τῶν τε ἀμυθήτων μου ἁμαρτιῶν καὶ τῆς ἐκζητουμένης διδασκαλίας ἐν τοῖς ποιμέσι. πόσον γὰρ καὶ ἡλίκον καὶ πράσσειν καὶ λέγειν ὀφείλεταί μοι ἐπὶ λυσιτελείᾳ τῶν τιμίων ὑμῶν ψυχῶν, κατὰ πᾶσαν ὡς εἰπεῖν ἡμέραν καὶ ὥραν! εἰ γὰρ ὁ μέγας ἀρχιερεὺς τοῦ θεοῦ, ὁ κῆρυξ τῆς μετανοίας, ὁ τῆς ἀληθείας ὑπεραθλήσας, τὸν Χρυσόστομον λέγω, μετὰ τὴν ἀπείρως εἰπεῖν καὶ ἀπερίληπτον τῶν ἐκ θείας χάριτος διὰ τῶν χειλέων αὐτοῦ δίκην ποταμῶν ῥυέντων διδασκαλιῶν ἐπὶ πᾶσαν τὴν οἰκουμένην, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἔχει θείων πατέρων, δέδοικε τὸ ἔργον τῆς προστασίας καὶ τρέμει καὶ βοᾷ που ἐν τοῖς ἑαυτοῦ λόγοις, ὅτι "τὸ κατ' ἐμέ, ὡς ἔχω καὶ διάκειμαι, δύσκολόν ἐστι σωθῆναι τὸν ἐπιτροπεύοντα", τί ἵνα ἐγὼ φθέγξωμαι ὁ τάλας καὶ ἀκάθαρτος, ἡ κοπρία καὶ ὁ σκώληξ, ὁ ἄνους καὶ ἄφρων, ὁ ἄφωνος καὶ ἄλογος; καὶ οὐκ οἶδα, τί εἴπω ἄξιον τῆς ἑαυτοῦ ἀναξιότητος. ὤ, πῶς εἰς τοῦτο ἐπῆλθον τὸ ἀξίωμα; ὤ, πῶς ῥυπαρὸς ὢν εἰς τὸ φωτίζειν ἄλλους προῆγμαι; ὤ, πῶς πόρρω ὢν θεοῦ εἰς τὸ προσάγειν τοὺς ἀφεστηκότας ἐπιτέταγμαι; δέον μέ ἐστι πρόβατον εἶναι καὶ εἰς ποιμένα κατέστην· δέον με εἶναι ἀρχόμενον καὶ εἰς ἄρχοντα ἦλθον· δέον ὑποτιθέναι τὸ οὖς εἰς ἀκρόασιν διδαγμάτων καὶ τὰ ῥυπαρὰ χείλη ἀνοίγω εἰς διδασκαλίαν ἑτέρων. ἀλλ' ἴδοι ὁ θεὸς καὶ ἐπιβλέψοι καὶ κρίνοι κρίσιν (οὐκ οἶδα ποίαν εἴπω, διὰ τὴν καταδίκην μου), ἐφ' οἷς τρόποις ἦχθην ὑμῖν οὕτως. τί δεῖ οὖν πρὸς ταῦτα; ἆρα ἀπογνῶναι; οὐδαμῶς. ἆρα σιωπῆσαι εἰς τὸ παντελές, εἰ καὶ ἄγλωττός εἰμι καὶ ἄσοφος; οὐχ οὕτως, ἀλλὰ σὺν θεῷ, συνεργούντων τε τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ἐπάρξασθαι αὐτίκα καὶ πάλιν ἐπαναλαβεῖν, καὶ πάλιν ἀνενεγκεῖν εἰς ἑαυτόν, καὶ ἴσως ὁ τῶν μεγάλων καὶ παραδοξοποιῶν πραγμάτων τερατουργὸς θεὸς διὰ τὸ ὑμῶν ἐπωφελὲς θαυματουργήσειε κἀνταῦθα καὶ ποιήσοι με τὸν τυφλὸν βλεπτικὸν καὶ τὸν κωφὸν ἀκουστὴν καὶ τὸν λεπρὸν ὑγιῆ καὶ τὸν χωλὸν στερεὸν καὶ τὸν μογιλάλον εὔλαλον (δύναται γὰρ ὅσα θέλει), ὅπως καὶ ὁδηγήσω καὶ ἐνηχήσω καὶ καταρτίσω καὶ καθαρίσω καὶ περιποιήσωμαι ὑμᾶς εἰς "λαὸν περιούσιον", εἰ καὶ μέγα καὶ ὑπὲρ τὴν ἀξίαν τὸ ἐξαιτούμενον. διὰ τοῦτο, τέκνα, "γνῶτε καὶ ἴδετε", φησίν, "ὅτι ἐγώ εἰμι ὁ θεός, ὑψούμενος ἐν τοῖς ἔνθεσιν, ὑψούμενος ἐν τῇ γῇ". ὑψωθήτω οὖν καὶ ἐφ' ὑμῶν, δέομαι καὶ παρακαλῶ. πῶς δὲ ἂν ἄλλως ὑψωθείη, ἢ διὰ τῆς μετεώρου καὶ ὑπερανεστώσης πάντων [τῶν] χαμαιζήλων τῆς γῆς πραγμάτων, διὰ τῆς ἁγίας ὑμῶν πολιτείας, ἐν ᾗ καὶ ἤρθητε χάριτι αὐτοῦ τοῦ ἀνορθοῦντος τοὺς κατερρηγμένους ἐκ τῶν χαμόθεν ὡς πρὸς οὐρανὸν αὐτόν, ἀγγελικῶς βιοῦντες καὶ συναναστρεφόμενοι; εἰρήνη γάρ ἐστιν ἐν ὑμῖν καὶ ἀγάπη, καθὼς καὶ ἐν τοῖς ἀγγέλοις, μία ψυχὴ καὶ ἓν θέλημα, σύμπνοια καὶ συγκρότησις, ἀνῃρημένων παντάπασι τῶν διαζευκτικῶν καὶ διαιρετικῶν ὑποθέσεων, ἅτινά ἐστιν ἰδιογνωμοσύνης μέρη καὶ σχέσεις, σαρκικαὶ φιλίαι, συγγενικαὶ ἀκολουθίαι.

Ἐπειδὴ εὐδοκίᾳ θεοῦ καὶ εὐχαῖς τοῦ πατρός μου ἐκ ποδῶν εἰσιν ἀφ' ὑμῶν, εὑρίσκεται πάντως τὰ ἐναντία, ἡ ὁμοκτημοσύνη, μᾶλλον δὲ τὸ μηδὲν ἔχειν καὶ πάντα κατέχειν, ἡ ἀγαπητικὴ ἐπὶ πᾶσι διάθεσις, ἡ τῶν σαρκικῶν γονέων ἀδελφῶν τε καὶ συγγενῶν πάντων ἀπαλλοτρίωσις· ὁμολογῶ γὰρ καὶ κηρύττω τὸ ἀγαθὸν ὑμῶν, ὅτι καίπερ ἀγχιθύρων ὄντων τῶν βλαβερῶν, καὶ ὡς ἐπὶ μάχης καὶ πάλης καὶ ὡς ἐπὶ βαλανείων ψυχολέθρων ἐν τῇ πόλει ταύτῃ ἑστώτων,

31 κῶδ. *ῥυπαρᾶς*. 36 κῶδ. *ὑποτιθεῖν*

11 κῶδ. *μογγιλάλον*. 13 κῶδ. *περιποιήσομαι*. 14 Ἐξόδ. ιϑ', 5. Τίτ. β', 14. 16/18 Ψαλμ. με', 11. 24 κῶδ. *κατερραγμένους*. 30 κῶδ. *διαζευτικῶν*

οὐ καταφλέγεσθε, οὐκ ἀποτρέπεσθε, οὐ καθέλκεσθε, ἀλλὰ τὸ δὴ μεῖζον, ὅτι καὶ δρᾶτε μᾶλλον ἢ πανθάνετε· ὠφελεῖτε γὰρ καὶ τοῖς ἀκούουσι καὶ ὁμοσχήμοις ὁμοταγέσιν ὑμῶν. καὶ γάρ εἰσί τινες ἐν ὑμῖν, οἳ παντάπασι διὰ δεήσεως ἀπέστησαν τὸ ὅλως ὁρᾶν πρόσωπον μητρικόν, ἢ ἀδελφικὸν σχεδὸν εἰπεῖν ἢ συγγενικόν. καὶ τοῦτο οὐκ ἔστιν ὅλον δῶρον θεοῦ; ναὶ λέγω ὑμῖν, καὶ οὕτω φρονοῦντες ἔτι μᾶλλον καὶ μᾶλλον, τέκνα μου, στερεοῦσθε καὶ κραταιοῦσθε εἰς τὸ βελτιώτερον· καλὴ γὰρ ἡ πραγματεία, ἧς μείζων οὐκ ἔστιν ἄλλη. καλὴ ἡ ἁπλανὴς αὕτη πλάνη, δι' ἣν οἱ ζητήσαντες εὗρον θεόν. καὶ πρὸς μίαν ὥραν ἢ ἡμέραν ἡ ἐγκράτεια ἐπί τε θεωρίας, ἐπί τε ἀκοῆς, ἐπί τε ἀπολαύσεως παντοίας ἄλλης, καὶ παρῆλθε καὶ ἰδοὺ οὐκ ἦν, καὶ μενοῦνγε οὔτε παρέρχεται, οὔτε διαπίπτει, ἀλλ' εἰς τὸ διηνεκὲς διαμένει· ἀρετὴ γάρ ἐστι. πῶς δέ; ἀντὶ τῶν προειρημένων οὐ μικρά τις καὶ ὀλίγη, ἀλλ' αἰωνία καὶ ἀνείκαστος χαρὰ καὶ εὐφροσύνη τῆς ἐν τῷ μέλλοντι αἰῶνι ἀγαλλιάσεως. ὑπομείνατε οὖν λοιπόν, τέκνα μου, καὶ ἀγωνίζεσθε καὶ βιάζεσθε προὔχειν ἀλλήλων ἐν τοῖς κατορθώμασιν, ἀνεπιφθόνως δέ· πάντων γὰρ τὸ καλὸν εἰς ἕκαστον περιχωρεῖ καὶ ἕκαστον εἰς ἅπαντας, κατὰ θείαν ἀνάκρασιν. καὶ θώμεθα, εἰ βούλεσθε, ἀπαρχὴν οὐ μόνον ἐκ τῆσδε τῆς κατηχήσεως, ἀλλὰ καὶ ἐπὶ πᾶσαν ἡμέραν (τοῦτο γὰρ δεδιδάγμεθα καὶ κεκελεύσμεθα πατρικῶς· οὐ γάρ ἐστι στάσις τοῦ καλοῦ), καὶ πάντως "ἐκ δυνάμεως εἰς δύναμιν" πᾶς τις σωθῆναι θέλων αἱρεῖται εἰσέρχεσθαι. καὶ ἐὰν οὕτω διανοώμεθα καὶ οὕτως προσέχωμεν ἀκούοντες, καὶ ἐὰν οὔπω ἀκηδιάσωμεν, μέχρις ἂν τελευτήσωμεν, συναμιλλώμενοι ἀλλήλοις ἐν τῇ καλῇ ἀμίλλῃ ταύτῃ, εὖ ἴστε οὐρανῶν ὑμῖν πύλαι ἀνοιγήσονται, ὁ Παράδεισος εἰσδέξεται, οἱ χοροὶ τῶν μαρτύρων ἀγκαλίσονται, αἱ ἐπαύλεις τῶν δικαίων εἰσοικήσονται, αὐτὰ τῶν ἀγγέλων τὰ ἄπειρα τάγματα ὁμοχορεύσουσιν ἐν χαρᾷ ἀνεκλαλήτῳ τῇ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

12 κῶδ. *μεῖζον*. 33 Ψαλμ. πγ', 8.

ΚΑΤΗΧΗΣΙΣ ΜΘ'.

Περὶ εὐχαριστίας καὶ εὐταξίας.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, καλῶν ὑμᾶς πρὸς κατήχησιν ἤθελον ποικίλον καὶ διάφορον ἔχειν τὸν λόγον, ἵν' ὡς ἐπί τινος ἄλλου ἑστιάτορος παρετίθουν ὑμῖν παν- 10
δαισίαν δαψιλῆ, πλουσίως δυναμένην τρέφειν τὰς ἱερὰς ὑμῶν ψυχάς· ἀλλ' ἐπεί εἰμι πένης, μόλις γε καὶ ἄρτον ὑμῖν καὶ ὕδωρ βραχύτατον, ταῦτα τὰ ὀλιγοστὰ ῥημάτια, παρατίθημι. δέχεσθε οὖν, παρακαλῶ, τὸ ἐλλεῖ- 15
πον ἐν τῇ πολυπροθεσίᾳ λογιζόμενοι. χαίρω οὖν μεγάλως καὶ ὑπεραγάλλομαι ἐν ταῖς κατὰ θεὸν ὑμῶν προκοπαῖς καὶ διαβιώσεσιν ἐν τῇ ὁμοψύχῳ ὑμῶν διαγωγῇ καὶ ὑπεξαγωγῇ τῶν ὑποτακτικῶν τληπαθημάτων, καὶ 20
ὅτι οὕτως ἐν ὀνόματι κυρίου τοῦ θεοῦ ἡμῶν συνήχθημεν ἐπὶ τὸ αὐτὸ πλείονες, αἱρούμενοι οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' εὐσταθῶς καὶ θεοπρεπῶς ἐν τῇ ἰχνηλατήσει τῶν ἁγίων καὶ μακαρίων ἡμῶν πατέρων, μὴ διαιρούμενοι ταῖς 25
γνώμαις, μηδὲ ἐθελοθρῃσκοῦντες ταῖς ἐπιθυμίαις, μηδὲ μεριζόμενοι ταῖς σαρκικαῖς σχέσεσι, μηδὲ κατατεμνόμενοι ταῖς ἰδιοκτημοσύναις, ἀλλ' ἐν ἑνὶ καὶ τῷ αὐτῷ πνεύματι συμβιβαζόμενοι καὶ συναριθμούμενοι καὶ πρὸς μίαν ὡς ἀλη- 30
θῶς ἐπιθυμίαν καὶ πρὸς μίαν ἔφεσιν δουλεύειν καὶ εὐαρεστεῖν κυρίῳ, ὡς ἐν ἄλλῳ τινὶ Παραδείσῳ, ἐν ταύτῃ τῇ ἀγγελικῇ καὶ κοινοβιακῇ ζωῇ. τοῦτο οὖν ὅλον θεοῦ τὸ δῶρον, τῆς Θεοτόκου ἡ χάρις, τοῦ Προδρόμου καὶ 35
τοῦ Θεολόγου, τῶν μεγάλων ἡμῶν δεσποτῶν, ἡ εὐεργεσία, ὑμῶν αὐτῶν καλῶς βουλευσαμένων καὶ πτερωθέντων τῷ θείῳ πόθῳ καὶ ῥαγέντων κόσμου καὶ ἀναπετασάντων ἐκ τῶν χαμαιζήλων πραγμάτων ὡς εἰς οὐρανὸν αὐ- 40
τὸν τῇ καλοβουλίᾳ.

5 Novae patrum bibliothecae t. IX, pars II, σελ. 13-16. 8 κατηχήσεις V.

Μακαρία οὖν ἡ ἱερὰ ὑμῶν πρόθεσις, μακαριωτέρα ἡ θεοκίνητος ἀναχώρησις, ὁλομακάριστος ἡ τηλικαύτη ἐπιβίωσις. εἶπω τι καὶ ἕτερον· μακάριοι καὶ οἱ τεκόντες ὑμᾶς καὶ αἱ κοιλίαι αἱ βαστάσασαι ὑμᾶς. καὶ οὐκ ἔξω τοῦ εἰκότος, διότι γραφικῶς σπέρμα ἐσχήκασιν ὑμᾶς ἐν Σιὼν καὶ οἰκείους ἐν Ἱερουσαλήμ. καὶ γὰρ οὐκ ὀλίγον κἀκείνοις πρόσεστι τὸ χαίρειν ἐφ' ὑμῖν, ἡνίκα μάλιστα ἀκούωσι καὶ μανθάνωσι τὰ περὶ ὑμῶν εὖ ἔχειν διὰ τῆς θείας καὶ ἐναρέτου καὶ ὑπομονητικῆς ὑποταγῆς ὑμῶν, ἐπεὶ καὶ ἁγιάζεται ἡ ὀσφὺς αὐτῶν διὰ τῆς ἱερᾶς ἀπαρχῆς ὑμῶν καὶ οὐκ ἔστιν οὑτινοσοῦν οἰκία μὴ δεχομένη φωτισμὸν κατανυκτικὸν καὶ διὰ μόνης τῆς πρὸς τὸν οἰκεῖον ὑπομνηματίσεως. τοσούτου καὶ τηλικούτου ὄντος ὑμῖν τοῦ ἀγαθοῦ καὶ ἡλίκης καὶ τηλικαύτης προσούσης ὑμῖν τῆς μεγαλοδωρεᾶς, καὶ οὕπω λέγω τῆς μελλούσης ἀνατέλλειν ὑμῖν ἐν τῷ μέλλοντι αἰῶνι εὐζωΐας καὶ ἀῤῥήτου ἀνταποδόσεως, πῶς οὐκ ἔστι μοι χαίρειν τῷ ταπεινῷ καὶ ἁμαρτωλῷ; καὶ πῶς οὐκ ἐπιθυμητὸν τοῦ προθυμεῖσθαι παντοίοις ἔργοις καὶ λόγοις, εἰς ἐπιμονὴν τῶν καλῶς θησαυριζομένων καὶ οἰκοδομουμένων ταῖς ἱεραῖς ὑμῶν ψυχαῖς; ναὶ τοιγαροῦν χαίρω καὶ ἀγάλλομαι. ἀλλ' ὅσον τὸ χαίρειν, τοσοῦτον ἀνάπαλιν καὶ ὁ φόβος καὶ ὁ τρόμος μοι πρόσεστιν, ἵνα μὴ ἐξ αἰτίας τῶν πολλῶν μου ἁμαρτιῶν ὑπεισέλθῃ τις ἀταξία, ἐπανατρέπουσα τὰ πολλοῖς μόχθοις καὶ πόνοις καὶ ἀγῶσι στηριχθέντα καὶ κτηθέντα ὑμῖν. καὶ ὁ μὲν πρῶτος λόγος κατὰ κοινοῦ, ἐπεὶ καὶ πρὸς τὸν καθ' ἕκαστον, ὅπως μή τις ἰδιογνωμάζῃ καθ' ἑαυτόν, μηδὲ ἀτονῇ ἀπὸ τῶν ἀσκητικῶν ἀγώνων, μηδὲ σαλεύῃ τὸν πόδα ἐκ τῆς καθ' ὑπομονὴν στερεᾶς πέτρας τῆς ἀληθινῆς πρὸς τὸν καθηγούμενον πίστεως, μηδ' ὁπωσοῦν ἄλλως ὑποδέξηται τὸν ὄφιν τὸν πολυκέφαλον, τὸν δόλιον καὶ ποικιλότροπον εἰς ἐξαπάτησιν ἁμαρτίας τῆσδε ἢ τῆσδε, κατὰ τόνδε ἢ τόνδε τὸν τρόπον, ἐν τῇ τῇδε ἢ τῇδε δικαιορρημοσύνῃ καὶ προφασιλογίᾳ· πολύτεχνος γὰρ ὁ τῆς ἁμαρτίας εὑρετής, ὁ τῶν κακῶν σπορεύς, ὁ πικρὸς σοφιστής, ὁ τοῦ θεοῦ ἀντάρτης, ὁ τῶν ἀγγέλων κατήγορος, ὁ ἐξ οὐρανῶν ἀπολισθήσας, ὁ εἰς γῆν ὡς ἀστραπὴ καταπεσών, ὁ εἰς τὸν Παράδεισον εἰσεληλυθὼς κλέπτης, ὁ τὸν προπάτορα ἡμῶν Ἀδὰμ — φεῦ τῆς ἀβουλίας — ἐξαπατήσας, ὁ ἔκτοτε καὶ μέχρι τοῦ δεῦρο πολυειδῶς καὶ ἀλλεπαλλήλως τὸ γένος καταμερίσας καὶ διαστήσας εἰς γλώσσας καὶ φυλὰς ἐθνικὰς ἀπιστίας καὶ ἀθείας, καὶ αὐτό γε τὸ χριστιανικόν· τὸ μὲν γὰρ εἰς αἱρέσεις πονηράς, τὸ δὲ εἰς πράξεις ἀθέσμους καὶ μυσαρὰς καὶ εἰς ταὐτὸν φερούσας ἀπωλείας ὅλισθον οὐ παύεται, ἀδελφοί, ὑποφέρειν.

Οὗτος καὶ ἡμᾶς πειρᾶται τοξεῦσαι καὶ τρῶσαι καὶ θανατῶσαι τοῖς τῆς ἁμαρτίας βέλεσι. καὶ μάλιστά γε οἴδατε, οἷον ἀγῶνα κέκτηται καὶ πόλεμον ἄσπονδον, κατὰ τὸ πατρικῶς ἀποκαλυφθὲν ἡμῖν εἰς τὸ ἅγιον ἡμῶν τάγμα καὶ εἰς τοὺς καλῶς ἀγωνιζομένους, ὅτι περίδοξον νίκην καὶ μέγα τρόπαιον τὴν πτῶσιν τοῦ μοναχοῦ παρὰ τῶν ἀποστατικῶν αὐτοῦ δυνάμεων εἰσδέχεται. διὰ τοῦτο, τέκνα καὶ ἀδελφοί, δυσωπῶ, παρακαλῶ, νουθετῶ, ἀσφαλῶς περιπατεῖτε, πάντοθεν περιπεφραγμένοι, ἑκατέρωθεν ἐνωπλισμένοι, ὁλοτελῶς τεθωρακισμένοι, ἐν μηδενὶ διδόντες χώραν εἰσόδου αὐτῷ θανατικῆς. τοῦτο δέ ἐστι κατορθῶσαι ἐκ τῆς ἀγαθῆς πεποιθήσεως καὶ ἀκλινοῦς ὁμολογίας, ἐξαγορεύσεώς τε παντοδαποῦς, ταπεινώσεώς τε καὶ ὑπακοῆς ἀνυποκρίτου, ὑπομονῆς τε καὶ μακροθυμίας ἀνολιγώρου. ναί, ναί, ἀντιβολῶ καὶ δέομαι ὑμῶν, διὰ τὸν θεόν, διὰ τὴν ἀνταπόδοσιν, διὰ τὴν ζωὴν καὶ χαρὰν ἐκείνην, ἢ διὰ τὴν ἐναντίωσιν, λέγω δὴ διὰ τὸ πῦρ τὸ ἐξώτερον καὶ τὰ μυρία βασανιστήρια, ἔτι καὶ ἔτι καθυπομείνωμεν, ὑποδράμωμεν, εὐθυπορήσωμεν, διεξέλθωμεν, ἀντιστῶμεν, διελάσωμεν, καταφθάσωμεν, ἐκπεράσωμεν, ἀποπληρώσωμεν τὸ

7 Ἡσαΐου λα', 9. 10 ἀκούουσι καὶ μανθάνουσι V. 14 κῶδ. *οἰκεία*. 27 κῶδ. *ἀγάλλωμαι*. 30 ὑπεισέλθοι V. 37 κῶδ. *σαλεύει* || τοὺς πόδας V.

36 κῶδ. *ἀνωλιγώρου*.

πέλαγος τὸ μέγα τοῦ αἰῶνος τούτου, ὅπως διὰ ὁσίου θανάτου ἀμειψώμεθα τοὺς ἀμαραντίνους στεφάνους τῆς δικαιοσύνης, τὰ τῆς ἀθανασίας ἔπαθλα, τὰς μακαρίας τῆς αἰωνίου ζωῆς ἀνεκδιηγήτους ἀναπαύσεις ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τῷ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ν'.

Περὶ τοῦ μιμεῖσθαι τοὺς βίους τῶν ἁγίων ἀνδρῶν καὶ τοῦ γενναίως φέρειν τὰς διακονίας.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ὃν τρόπον οἱ μακρὰν ὁδὸν ἀνύοντες τόπους ἐκ τόπων μετέρχονται καὶ μονὰς ἐκ μονῶν ἀμείβουσι, πῇ μὲν διὰ λείας καὶ εὐπόρου τῆς ὁδοῦ, πῇ δὲ διὰ τραχείας καὶ δυσβάτου φερόμενοι, οὕτω καὶ ἡμεῖς τὸν παρόντα βίον μετερχόμενοι χρόνους ἐκ χρόνων καὶ ἡμέρας ἐξ ἡμερῶν διαλλάσσομεν, ποτὲ μὲν δυσχερέσι καὶ θλιπτικοῖς, ποτὲ δὲ ἡδέσι καὶ χρηστοτέροις ὑπαντῶντες πράγμασι. καὶ ὥσπερ ἐκεῖνοι οὔτε πρὸς τὸ μῆκος τῆς ὁδοῦ ἀποκνέουσιν, οὐδ' ὁπότερ' ἔτυχεν ὑπαντῶντες ἐναπομένουσιν, εἴτε ἀριστεροῖς, εἴτε δεξιοῖς, πρὸς τὸ πέρας τῆς ὁδοῦ μόνον ἀποβλέποντες, οὕτω καὶ ἡμῖν πρόσεστιν, ἀγωνιζομένοις τόνδε τὸν καλὸν ἀγῶνα τῆς ἀσκητικῆς διαβιώσεως καὶ ὁδεύουσι τήνδε τὴν καλὴν τρίβον τῆς ἐπὶ θεὸν καὶ βασιλείαν οὐρανῶν φερούσης, μὴ ἀκηδιᾶν, μηδὲ ἀποστρέφεσθαι, μηδὲ ἐξατονεῖν καθ' οἷον δήποτε τρόπον ἐκ τῶν συμπιπτόντων κατ' οἰκονομίαν τοῦ πάντα πρὸς τὸ συμφέρον συγχωροῦντος θεοῦ ἢ εὐδοκοῦντος θλιβερῶν ἐπιγίνεσθαι ἡμῖν· οὐ γὰρ ὅσιον τοῦτο, οὐδὲ εὐαπόδεκτον. εἰ γὰρ ἐκεῖνοι διὰ μικρὰ καὶ μηδαμινὰ τοῦ παρόντος αἰῶνος οὐκ ἀπέχονται τῶν προκειμένων αὐτοῖς πόνων τῆς ὁδοιπορίας, πόσῳ γε ἡμῖν ἀναγκαῖον ὑπὲρ τῶν μεγάλων καὶ ἀθανάτων καὶ αἰωνίων πάντα ὑποδέχεσθαι καὶ πάντα διεξέρχεσθαι, ἵνα μόνον τύχωμεν τῶν ἐλπιζομένων; ναί, ναὶ τοιγαροῦν, ἀδελφοί μου, ἐνέγκωμεν ἔτι γενναιότερον καὶ εὐψυχώτερον, εἴ τι ἂν ὑπάρχῃ καὶ συμβαίνῃ, τοὺς πόνους, τοὺς κόπους, τὰς νηστείας, τὰς ἀγρυπνίας, τὰς ἐπιπλήξεις καὶ ἐπιτιμήσεις, τὰς χαμευνίας καὶ γονυκλισίας, τὸν καύσωνά τε καὶ τὸ ψῦχος, τὸν λιμόν τε καὶ τὴν δίψαν, τὸ εὐτελὲς τοῦ ἐνδύματος καὶ τοῦ ὑποδήματος, τὸ ῥυπῶδες τῆς ὄψεως καὶ τῆς κόμης, τὸ ἔσχατον τῆς στάσεως καὶ τῆς τιμῆς, τὸ ἀνένδοτον τῆς διακονίας καὶ τῆς εὐχῆς, τὸ ἄλλο εἴ τι σὺν τούτοις καταριθμεῖται ἐν τῇ ἀσκητικῇ ἡμῶν ζωῇ. καὶ ὑπομένοντες μακάριοί ἐστε καὶ τρισμακάριοι, καὶ ἱδρῶντες ἐν τοῖς πνευματικοῖς ἀγῶσιν ἅγιοί ἐστε καὶ πανάγιοι, καὶ στέργοντες τὰς ἐπισυμβάσεις τῶν νοητῶς καὶ αἰσθητῶς συμπιπτόντων πειρασμῶν ὑμῖν, ὥσπερ καὶ νῦν πλέον τὸ σωματικώτερον, ἀοίδιμοί ἐστε καὶ παναοίδιμοι. καὶ γοῦν τίς ἐστι τῶν ἀπ' αἰῶνος ἁγίων, καθὰ πολλάκις ἐροῦμεν, ὃς ἀνιδρωτὶ καὶ ἀπονητὶ τῶν τε ποικίλων πειρασμῶν καὶ θλίψεων νοητῶν καὶ αἰσθητῶν διεξῆλθε τοῦ παρόντος βίου; οὐδαμῶς, ἀλλὰ κἂν τε Ἀβραὰμ τὸν μέγαν ἐν πατριάρχαις εἴποις καὶ τοὺς μετ' αὐτὸν πατριάρχας, προφήτας τε καὶ διδασκάλους, κἂν τε Παῦλον, τὸ τῶν ἀποστόλων κλέος, καὶ τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν πατέρας, κἂν τε Ἀντώνιον τὸ τῶν μοναζόντων αὔχημα καὶ τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ὁσίους, κἂν τε Στέφανον, τὸ τῶν μαρτύρων πρώτιστον στέμμα, καὶ τοὺς μετ' αὐτὸν ὑπὲρ Χριστοῦ καὶ διὰ Χριστὸν μαρτυρήσαντας, πολλοὺς εὕροις καὶ ἀμετρήτους τοὺς ἀγῶνας, τοὺς δρόμους, τὰς πυκτεύσεις, τὰς ὑπωπιάσεις, τὰ σκάμματα, τὰ ἆθλα, τὰ αἵματα, τὰ λακίσματα, τὰς καύσεις, τὰς φλόγας, τὰς πυράς, τὰς ἐκθλίψεις, τὰς ἀποστραγγίσεις· "περιῆλθον γάρ", φησίν, "ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι (ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος), ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις

16 κῶδ. *μετέρχωνται*. 3 κῶδ. *διαλλάσωμεν*.

41 Ἑβρ. ια', 37, 38, 39. 42 κῶδ. *αἰγίοις*

καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ οὗτοι πάντες" οὕτως, καὶ οὐκ ἔστιν ἀλλοίως εὐαρεστεῖν θεῷ, οὔτε ἄνευ πόνων διανύσαι μακρὰν ὁδόν, οὔτε ἄνευ ἀγώνων δραμεῖν καὶ νικῆσαι τὴν εὐκταιοτάτην νίκην. πῶς οὖν ἡμῖν, αἱρουμένοις τὰ ἴσα ἐκείνοις, ἐπιτυχεῖν ἐστιν ἄλλως ἢ κατὰ τὸν αὐτὸν τρόπον βιωτεύουσι καὶ διεξερχομένοις τὸν παραυτίκα αἰῶνα;

Οὕτω τοιγαροῦν, τέκνα μου καὶ ἀδελφοί, φρονοῦντες σταθερῶς καὶ ἀκλινῶς ἐπείγεσθε καὶ κατεπείγεσθε, τρέχετε καὶ συντρέχετε, ἀμιλλᾶσθε καὶ συναμιλλᾶσθε ἀλλήλοις, "κατὰ σκοπὸν διώκοντες πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως", μηδὲν ἡγούμενοι τῶν παρόντων λυπηρῶν (παρέρχονται γάρ), μηδὲ τῶν ἡδέων ὡς ἡδέων, ἀφίπτανται γάρ· μόνον δὲ ἐκεῖνα καταλογίζεσθε ἀδιάπτωτα, τὰ αἰώνια καὶ ἀθάνατα ἀγαθά, ὑπὲρ ὧν τὰ ἀσκητικὰ ὑμῶν ἀθλήματα ἐπιδείκνυσθε. καὶ δέον ὑμᾶς λοιπὸν χαίρειν καὶ εὐφραίνεσθαι, κἂν ὁποῖά ποτ' ἂν εἶεν. ἐν ταύτῃ τῇ μακαρίᾳ ζωῇ οὐχὶ ὑπὲρ τὸν ὁδεῖνα στρατηγοῦντά φημι καὶ ὕπαρχον, ἤ τινος ἄλλου τῶν ἀξιωματούντων, ἀλλὰ καὶ ὑπὲρ αὐτοὺς τοὺς τὰ βασιλικὰ διαδήματα φοροῦντας καὶ τὰ πορφύρεα καὶ ἐπίφθονα ῥάκη ὑμεῖς μᾶλλον βασιλεύετε, τὰ τοῦ μεγάλου βασιλέως ἀρεστὰ πράττοντες καὶ αὐτῷ τῷ παμβασιλεῖ στρατευόμενοι· καὶ εἴπερ συμπάσχομεν, καὶ συμβασιλεύσομεν, ὡς φησι ταῦτα τὸ μέγα τοῦ θεοῦ στόμα, ἡ φοβερὰ καὶ βροντῶσα τὰ πέρατα τοῦ Χριστοῦ γλῶσσα, Παῦλος ὁ διαπρύσιος θεολόγος. ἡμεῖς δὲ οἱ ταπεινοὶ καὶ τάλανες πρὸς τοῖς προλαβοῦσι καὶ τάδε ὑπομνήσκομεν, ἵνα γενναίως φέρητε τὰς διακονίας οἱ τὸν λόγον ἐπέχοντες καὶ τὰ πρῶτα ἔχοντες μεθ' ἡμᾶς ἐν τῇ διανομῇ τοῦ λόγου καὶ τῆς εὐδιακρίτου διοικήσεως καὶ εἰρηνεύσεως τῆς ὅλης ἀδελφότητος· οἱ δευτερεύοντες καὶ ἐπιστημοναρχοῦντες ἐν τῇ ἐπιστατικῇ καὶ νηφαλέῳ καὶ φιλανθρώπῳ καὶ ἀκαταφρονήτῳ διεκδικήσει τῶν θείων προσταγμάτων· οἱ οἰκονομοῦντες ἐν τῇ κεκρυμμένῃ καὶ συλλογιστικῇ, ἀπροσωπολήπτῳ τε καὶ ἀγαπητικῇ καὶ εὐσυμπαθήτῳ κατ' ἀξίαν ἑκάστου τῶν ὀφειλόντων διαδίδοσθαι σκεπασμάτων ἢ ἐνδυμάτων, ἢ ὑποδημάτων, ἢ βρωμάτων, ἢ ποτῶν, ἤ τινος ἄλλου τῶν κατὰ χρείαν, διανομῇ ἐπὶ τῆς ὅλης ἀδελφότητος, οὐχὶ εἰς τὸν οἰκονόμον μόνον περιστάμενον τοῦτο, ἀλλὰ καὶ εἰς τὸν παροικονόμον, τοὺς κελλαρίτας τε καὶ εἰς τοὺς ἀριστηταρίους, τοὺς βεστιαρίους καὶ εἰς τοὺς σκυτεῖς, τοὺς βυρσεῖς τε καὶ εἰς τοὺς νοσοκόμους, τοὺς κανονάρχας τε καὶ εἰς τοὺς βιβλιοφύλακας, τοὺς πρωτοκαλλιγράφους τε καὶ εἰς τοὺς πρωτοαλιεῖς, εἰς τὸν πρωτοορδινάριόν τε καὶ εἰς ἕκαστον τῶν πρωτευόντων ἐν τῇ οἱαοῦν διακονίᾳ· πάντες γὰρ οἱ καταριθμούμενοι, οἳ μὲν καθολικώτερον, οἳ δὲ μερικώτερον, ὅμως δ' οὖν διανέμετε καὶ διαδίδοτε τοῖς ὑποβεβηκόσι νοήματα, πράγματα, διακονήματα. καὶ σκοπὸς ὑμῖν ὀφείλει προκεῖσθαι θεοφιλὴς καὶ συμπαθὴς καὶ ἐπίφοβος ὑπὸ μάρτυρι θεῷ, κριτῇ τε καὶ ἐξεταστῇ, νῦν τε καὶ εἰς τὸν μέλλοντα αἰῶνα, τοῦ μή τι κατὰ πάθος, κατ' ἔχθραν, κατὰ μῆνιν, κατὰ μισαδελφίαν, κατὰ καταφρόνησιν ἐνδείξασθαι εἴτε λογικῶς, εἴτε πρακτικῶς. εὖ δὲ πράττοντες, κατὰ τοὺς προειρημένους θείους σκοπούς, εὖ οἶδα, ἀκούσοιτε "ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου". οἵ τε πάλιν εὐπειθοῦντες καὶ δεχόμενοι ὑπηκόως καὶ ταπεινῶς, ἀταράχως τε καὶ ἀνυπερηφάνως καὶ εἰρηναίως, τὰ παρὰ τῶν προεχόντων ἐπιτάγματα, ἐπιτίμιά τε καὶ δοματήρια, ταῦτα καὶ ἐκεῖνα, οὕτως γε ἢ οὕτως, κατὰ τόνδε ἢ τόνδε τὸν χρόνον καὶ τρόπον, πολλὰ μὲν ἄλλα εὐκτικὰ καὶ μακαριστικά, πάντως δὲ ἐκεῖνο ὑμῖν ἔσται, ὃ προσευχόμενος ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστὸς εἴρηκεν· "οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον", φησί, "πάτερ, ἀλλὰ καὶ περὶ τῶν μελλόντων πιστεύειν διὰ τοῦ λόγου

13 Φιλιπ. γ', 14. 29/32 Ρωμ. η', 17 «εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν». Τιμοθ. 2, β', 12 «εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν». 29 κῶδ. *συμβασιλεύσωμεν*. 36 λόγον ἐπέχοντες] Φιλιπ. β', 16 «λόγον ζωῆς ἐπέχοντες». 31 σλαβ. *εἰς ἅπαντα τὰ πέρατα*. 39 κῶδ. *ὅλης*.

17 κῶδ. *προτευόντων*. 30/32 Ματθ. κε'. 23. 41 Ἰωάν. ιζ', 20, 21.

αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσιν", δῆλον ὅτι κατὰ τὸν τῆς εὐφροσύνης καὶ ἀγαλλιάσεως τόπον τῆς ἀνεκλαλήτου καὶ ἀνεκφράστου ἀπολαύσεως τῶν αἰωνίων ἀγαθῶν ἐν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΑ'.

Περὶ σπουδῆς καὶ ἐπιμελείας τῆς ἀρίστης πολιτείας ἡμῶν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, καλὸν μὲν καὶ τὸ λαλεῖν καὶ ὑπομνήσκειν τὰ δέοντα, ἤθελον δὲ μᾶλλον πρακτικῶς ὑμᾶς διδάσκειν καὶ συνετίζειν. ἐγὼ δέ, ὡς ὁρᾶτε, εἰμὶ πτωχὸς καὶ πένης τῶν ἀρετῶν, οὐδὲν κεκτημένος ζηλωτὸν εἰς τὸ μιμεῖσθαι ὑμᾶς ἐπὶ καλῷ· ἐρῶ δὲ τῆς βελτιώσεως καὶ ἐπιθυμῶ τῆς διορθώσεως. τοῦτ' ἂν γένοιτο δι' εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς ὑμῶν αὐτῶν ἱκετηρίας· πιστεύω γάρ, ὅτι ἰσχύει πρὸς σωτηρίαν μου. καὶ πόθεν γὰρ καὶ ὅ εἰμι μικρόν; πῶς, εἰ μὴ ἐκ τῶν προσευχῶν ὑμῶν στηριζόμενος; δεῦρο δὴ λοιπὸν κἀγὼ καὶ ὑμεῖς ἐκτιναξάμενοι τὸ ῥάθυμον τῆς ψυχῆς καὶ ὀκνηρὸν ἀσπασώμεθα τὴν δέουσαν σπουδὴν καὶ ἐπιμέλειαν, κατορθοῦντες τὰς ἐντολὰς τοῦ κυρίου μᾶλλον καὶ μᾶλλον. δεῦρο κατεπειχθῶμεν εἰς τὸ νικᾶν ἀλλήλους οὐκ ἐν τῷ λέγειν, οὐδὲ ἐν τῷ λυπεῖν, οὐδὲ ἐν τῷ ἱστᾶν τὸν οἰκεῖον λόγον (πονηρὰ γὰρ ταῦτα καὶ τῆς ἐναντίας μερίδος), ἀλλ' ἐν τῷ ἡττᾶσθαι καλῶς καὶ ὑποφέρειν ῥῆμα ἐμπαικτικόν, ὀνειδιστικόν, χλευαστικόν· ἀγαθὰ γὰρ ταῦτα καὶ τῆς μερίδος τῶν ἁγίων. δεῦρο συναμιλληθῶμεν ἀλλήλοις οὐκ ἐν τῷ ταράσσειν καὶ ταράσσεσθαι, οὐδ' ἐν τῷ αἴρειν ὀφρὺν κατὰ τῶν εὐτελεστέρων, οὐδὲ ἐν τῷ ὑψαυχενεῖν κατὰ τῶν βελτιόνων (ταῦτα γὰρ τοῦ τραχηλιάσαντος κατὰ θεοῦ παντοκράτορος καὶ ἐξ οὐρανίου ὕψους εἰς τὰ τῆς γῆς κατώτατα ὀλισθήσαντος), ἀλλ' ἐν τῷ εἰρηνεύειν καὶ εἰρηνεύεσθαι, πραΰνειν καὶ πραΰνεσθαι, συνεσταλμένα τε ἔχειν τὰ ἤθη καὶ καταβεβλημένον τὸ φρόνημα· ταῦτα γὰρ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ δι' ὑπακοῆς καὶ ταπεινώσεως ἀνθρωπισθέντος καὶ τὸ ἀνθρώπινον σώσαντος διὰ σταυροῦ καὶ θανάτου. δεῦρο μιμησώμεθα ἀλλήλους οὐκ ἐν τῷ ὀκνεῖν καὶ ἀναδύεσθαι καὶ παραλείπειν ἐν ταῖς θείαις καὶ ἡμεριναῖς λειτουργίαις, οὐδὲ ἐν ταῖς νυκτεριναῖς ψαλμῳδίαις καὶ παραστάσεσι (ταῦτα γὰρ τῶν ῥᾳθύμων καὶ νηπιαζόντων), ἀλλ' ἐν τῷ εὐκινήτους εἶναι, προκαταλαμβάνοντας καὶ τὸν ναὸν τοῦ θεοῦ καὶ τὰς ἀπάρξεις τῆς ὑμνῳδίας· ταῦτα γὰρ τῶν σπουδαίων καὶ ἐναρέτων. καὶ ἵνα μὴ ἓν καθ' ἓν λέγων μηκύνω τὴν κατήχησιν, οἱ πάντες ἐν καλῷ ζηλώσωμεν ἀλλήλους, συμφραχθῶμεν τῇ ἀπαρρήσιάστῳ ἀγάπῃ, τῇ εἰρηνικῇ καταστάσει, τῇ εὐζωϊκῇ ταπεινοφροσύνῃ. φευξώμεθα τὰς πονηρίας, διαδράσωμεν τὰς κατ' ἀλλήλων ὑπονοίας, κραταιώσωμεν ἐν πίστει τὰς ψυχὰς τῇ πνευματικῇ συναφείᾳ. μή τις Ἰούδας, μηδ' αὖ προδότης, μὴ μὴν δίψυχος καὶ ἀκατάστατος, μηδὲ ἀκρατὴς καὶ φιλόπορνος, μηδὲ σοβαρὸς καὶ καυχησταρίος, μηδὲ σκληροτράχηλος καὶ ἀπίθανος, μήτε μὴν ζητῶν ἡμέραν ἀπωλείας καὶ καιρὸν ἀσωτείας καὶ τρόπον κακουργίας.

Μὴ οὖν, παρακαλῶ, μηδαμῶς ταῦτά τις ἐνεργείτω καὶ πραττέτω, ἀλλὰ τὰ καλά τε καὶ ὅσια καὶ εὐάρεστα, ἡμέραν ἐξ ἡμέρας ἀναμένων τὴν ὥραν τῆς τελευτῆς αὐτοῦ καὶ προσαπεκδεχόμενος τὴν ἡμέραν τῆς ἀποκαλύψεως τῆς παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ τὸ πᾶν μεταποιηθήσεται καὶ μεταστοιχειωθήσεται, ὁ οὐρανὸς ἑλισσόμενος, ὁ ἥλιος σκοτιζόμενος, οἱ ἀστέρες πίπτοντες, ἡ γῆ μεταλλασσομένη, πάσης πνοῆς ἐξανισταμένης καὶ διδούσης λόγον ἐπὶ τοῦ φοβεροῦ καὶ ἀπαραλογίστου βήματος ἐκείνου, κατέναντι πάντων τῶν ἀπείρων ταγμά-

16 *κῶδ. κεκτημένως.*

23 δίψυχος καὶ ἀκατάστατος] Ἰακ. α', 8. 27 ἡμέραν ἀπωλείας] Δευτερ. λβ', 35. Ἱερεμ. ιη', 17. κς', 21. 33 ἡμ. τῆς ἀποκαλύψεως] Ῥωμ. β', 5. 36/42 Ματθ. κδ', 29-31. Μάρκ. ιγ', 24-27. Λουκᾶ κα', 25-27.

των τῆς ἀγγελικῆς τάξεως, ὑπὲρ λόγων, ὑπὲρ ἔργων, ὑπὲρ ἐνθυμημάτων, ὡς γέγραπται. ἀλλὰ "τίς σοφὸς καὶ φυλάξει ταῦτα; τίς συνετὸς καὶ μεριμνήσει ταῦτα", καὶ διὰ τοῦτο ἐν ἀνενδοιάστῳ καὶ ἀληθινῇ πίστει, ἐν ἀκλινεῖ ὁμολογίᾳ, ἐν σεμνῇ καταστάσει, ἐν πολιτείᾳ καθαρᾷ φυλάττων φυλάττει ἑαυτὸν καὶ θησαυρίζων θησαυρίζει τὰς θείας ἀρετάς; μακάριος οὗτος ἐμοὶ τῆς καλῆς ἀναβάσεως, κἂν μήτε εὐανάγνωστός ἐστι, μήτε εὐλαλίστατος, μήτε μελουργόψαλτος, μήτε λεξιλόγος, εἶπω δὲ μήτε γράμματα ὅλως εἰδὼς ἐξ ἀδυναμίας φύσεως. τί δὲ ὠφελεῖται ἄνθρωπος, εἴπερ τὰ προειρημένα εὐφυῶς κέκτηται, μᾶλλον δὲ ἵνα κερδήσῃ ὅλον τὸν κόσμον, κατὰ τὸ λόγιον, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ διὰ τῶν ἐναντίων πράξεων; οὐαί, οὐαί! ἀβάλε, ἀβάλε τῆς τηλικαύτης τυφλώσεως! ὅπερ μὴ δῴη θεὸς γενέσθαι ἔν τινι ὑμῶν. ἀλλὰ καὶ αὐτὰ τὰ φυσικὰ διά τε γλώττης καὶ χειρὸς καὶ γνώσεως θεοδώρητα κατορθώματα (οὐ γὰρ ἔχομέν τι ἐξ ἑαυτῶν· τὸ γὰρ μὴ οὕτω λογίζεσθαι φέρει τὴν πτῶσιν) μετὰ ταπεινώσεως κατέχωμεν καὶ κοινωφελῆ ποιώμεθα ἐφόδια, οὐ μᾶλλον δι' ἑαυτοὺς ἢ διὰ τοὺς πλησίον λογιζόμενοι λαβεῖν ἡμᾶς παρὰ θεοῦ· ὁ γὰρ οὕτως ὑπολαμβάνων θεόσωστός ἐστιν, ἄπτωτος, περικαλλής, ἀμφικαλλής, πειθήνιος, ἐράσμιος, χρησιμώτατος, τῷ ὄντι στόμα τῶν βραδυγλώσσων, γλῶσσα τῶν ἀγροικοτέρων, ψαλμὸς τῶν ἀφωνοτέρων, μέλος τῶν ἀμελουργοτέρων, λέξις τῶν ἀμαθεστέρων, διοίκησις τῶν ἀπειροτέρων, φρόνησις τῶν ἁπλουστέρων, γνῶσις καὶ παίδευσις τῶν ἐλλιμπανομένων. τοιγαροῦν τὰ τοιαῦτα ὑποδυόμενοι γνωρίζετε ἑαυτοὺς υἱοὺς φωτός, φίλους θεοῦ, ἄνδρας ἐναρέτους, ἀνθρώπους θεομακαρίστους ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

3/4 πρβλ. Ὡσηὲ ιδ', 9. 5 κῶδ. *ἀνενδυάστω*. 7 κῶδ. *φυλάττοι*. 9/10 ἀναβάσεως] Ψαλμ. πγ', 6 «μακάριος ἀνὴρ οὗ ἐστὶν ἡ ἀντίληψις αὐτοῦ παρὰ σοῦ, κύριε· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο». 13 κῶδ. *ὠφελήσει*. 13/17 Ματθ. ις', 26. 25 κῶδ. *ποιούμεθα*. 29 κῶδ. *περικαλής*. 30 κῶδ. *χρησιμώτατος*. 37 υἱοὺς φωτὸς] Θεσσαλ. 1, ε', 5 || φίλους θεοῦ] Ἰακ. β', 23.

ΚΑΤΗΧΗΣΙΣ ΝΒ'

Παραινετικὴ πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἐπέστειλας ὄντως, ἀδελφὲ καὶ τέκνον, ἀξιεπαινέτως καὶ ὡς δέον ἦν τῇ προσηκούσῃ σου εὐλαβείᾳ. καὶ ἀληθῶς ἐκεῖνοι ἀποτίκτουσιν εὐθύτητα γραμμάτων, οἱ συλλαμβάνοντες ὁσίως τοὺς πόνους. ἐπεὶ γὰρ καὶ αὐτὸς καὶ τὰ λοιπά μου πεποθημένα τέκνα τὸ γνήσιον ἀποσῴζουσι τῆς πνευματικῆς στοργῆς πρὸς ἐμὲ τὸν δύστηνον, εἰκότως καὶ ἤλγησαν καὶ κατεστέναξάν τι καὶ ἀπεῖπον τῶν ἀφρόνων· δεῖγμα γὰρ ἀληθινῶν καὶ οὐ νόθων υἱῶν τὸ μήτε τὰς τῶν ὁμαδέλφων, μήτε τὰς παρὰ τῶν ἔξω ἐπὶ τῶν ἑαυτῶν γεννητόρων φέρειν ἀτιμίας. οὗτοι μὲν οὖν μεταβληθέντες, καὶ μάλιστα ὁ Θαλάσσιος, μετεληλύθασιν ἐπὶ τῆς προτέρας αὐτῶν καταστάσεως, ὁμολογοῦντες τὸ πτῶμα καὶ τὴν ἀπαίδευτον ὑπόληψιν· εἰ γὰρ ἐφρόνουν ὀρθῶς, ὑπέμνησαν ἂν ταπεινῶς, καὶ εἰ ὑπῆρχον φιλοπάτορες, ἐτήρησαν ἂν ἐκεῖνο, τὸ "μὴ ἀτιμάσῃς αὐτὸν ἐν ὅλῃ ἰσχύι σου". ἐπεὶ δὲ ἐναντίως ἐπορεύθησαν καὶ τῆς ἐναντίας μοίρας ἑαυτοὺς ἀπέδειξαν—τίς δὲ οὐ πίπτει, τέκνα; καὶ τίς οὐκ ὀλισθαίνει ἔξω τοῦ δέοντος;—, ἀλλ' εὖ ὅτι διέγνωσαν τὴν ἀσυνεσίαν αὐτῶν καὶ προσῆλθον ἐν δάκρυσι καὶ στεναγμοῖς μετ' ἐπιτιμίων.

Σοὶ δὲ ὁ θεός, τέκνον οἰκονόμε, μᾶλλον δὲ ὑμῖν πᾶσι, τὸν τῆς οἰκειοπαθήσεως καὶ τῆς συλλυπήσεως καὶ τῆς ἐκθύμου καὶ ἐπαινετῆς κατ' αὐτῶν ἀπομανιώσεως τὸν μισθὸν δῴη· πείθομαι γὰρ εἰς ἐκεῖνο ὑμᾶς φθάσαι τὸ μέτρον, ὥστε καὶ ἁγιάσαι τὰς χεῖρας ὑμῶν ἐν αὐτοῖς, κατ' ἐκείνους τοὺς ἀκούσαντας ὑπὸ τοῦ ἱεροφάντου Μωϋσέως· εἴ τίς ἐστι τοῦ θεοῦ, ἴτω πρός με καὶ διελθέτω διὰ τῆς πύλης καὶ διὰ τῶν στενωπῶν, καὶ

16 τὸ] κῶδ. *τῶν* || κῶδ. *ὁμοδέλφων*. 25 Σειρὰχ γ', 13. 37 ἁγιάσαι τὰς χεῖρας] Ἐξόδ. κθ', 33. 40 Ἐξόδ. λβ', 26. 41 διὰ τῆς πύλης καὶ τῶν στενωπῶν] Ματθ. ζ', 13, 14. Λουκᾶ ιγ', 24 || κῶδ. *στενοπῶν*.

ὄν τινά τις ἀδελφὸν ἢ οἰκεῖον ἀπαντήσοι, ἐκκεντησάτω. ἀλλ' ὅτι τοιαῦτα ἐνεγκόντος τοῦ καιροῦ διὰ τὸ ὑμῶν ἀνδρικόν, ἐπὶ τῇ ἐμῇ ἀνομίᾳ ἠρώμην, ἐνετράπην καὶ κατεδύθην καὶ ἠφρόνευσα. συγχωρήσατε, τέκνα· τίς γὰρ ὤν; ὅτι σκότος καὶ βόθρος κακίας. τί ἐφθεγξάμην; ὅτι ἁγίων καὶ μεγάλων καὶ προφητῶν θεοῦ ῥήματα καὶ προτερήματα.

Ἀλλὰ περὶ μὲν τούτων ἀρκεῖ ταῦτα. πολλῆς δὲ οὖν κατηχήσεως ἐν τῷ παρόντι γράμματι διεξελθεῖν ὕφος οὐκ ἔκρινα, ἀρκοῦντα λογισάμενός σε, τέκνον, εἰς πᾶσαν τῶν ἀδελφῶν ὑπόμνησιν καὶ παραίνεσιν καὶ παράκλησιν γίνεσθαι· καὶ γάρ σοι κεχάρισται μετὰ τῆς συνέσεως καὶ λόγος ἀμφοτέρωθεν ὀνήσασθαι αὐτοῖς τὰ δέοντα. τὸ λοιπὸν οὖν ἀγαλλιᾶσθε, εὐφραίνεσθε οἱ ἀληθινοὶ Χριστοῦ δοῦλοι καὶ θεράποντες· ὑμῖν γὰρ ὡς ἀληθῶς ἡτοίμασε τὸν στέφανον καὶ τὴν βασιλείαν αὐτοῦ, εἴπερ τῆς αὐτῆς ἐχόμεθα καταστάσεως καὶ τὸν αὐτὸν διακρατοῦμεν ἀγαθὸν τρόπον, εἰρηνεύοντες, εὐτακτοῦντες, ἀγνευόμενοι καὶ καθαιρόμενοι, εὐηκοοῦντες, ταπεινοφρονοῦντες, ἐργοχειροῦντες, ὑμνολογοῦντες, στιχολογοῦντες, ἐξαγγέλλοντες, καὶ εἴ τι ἄλλο τῶν ἐπιβαλλόντων.

Ἐπεὶ δὲ ἐμνήσθην τῆς προσαγωγῆς τῶν ἀδελφῶν, τοῦτο κρίνομεν, τέκνα, ἵνα μὴ ἐκ μόνων τῶν ἀστικῶν τὸ πλήρωμα τῆς ἀδελφότητος ἡμῶν αὐξανόμενον εἴη, ἀλλὰ καὶ ἐκ τῶν χρησίμων. διὸ ἐπίτρεψον, ἀδελφὲ καὶ τέκνον, πάντα τὸν ἐρχόμενον αὐτόθι χωρίτην παραπέμπεσθαι πρὸς ἡμᾶς διὰ σκάφους, ἐπεὶ πληθυνομένων τῶν ἀστικῶν, ὡς νομίζω, καὶ σωματικῶς καὶ ψυχικῶς, καὶ εὐαγὲς ἡμῖν γίνεται. ὁ κύριος ὑμᾶς διαφυλάξειεν, ἀδελφοὶ τιμιώτατοι. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστω μετὰ πάντων ὑμῶν. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΓ'.

Περὶ ἀρνήσεως κόσμου πρὸς τοὺς ἐν τοῖς Τριπυλιανοῖς ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, ἀρκούντως ἴσως διὰ τῆς προσηκούσης κατηχήσεως τὰ δέοντα ὑπεσημηνάμεθα ὑμῖν, τέκνα ἡμῶν πνευματικὰ καὶ ἠγαπημένα. οὐκ ἄκαιρον δὲ ὅμως καὶ πάλιν τῇ ἐπισυμβαινούσῃ τῶν ἀδελφῶν ἐξελεύσει καθυπομνῆσαι ὑμᾶς τὰ αὐτά, μηδὲν λογιζόμενοι κοπῶδες ἐν τούτῳ· εἰ γὰρ αὐτοὶ ἔργοις κατατείνεσθε καὶ ταλαιπωρεῖτε τὸ τίμιον ὑμῶν σῶμα, κἂν λόγοις ἐγὼ οὐ χρεωστῶ κάμνειν καὶ ἀνακουφίζειν ὑμῶν τὸ τῆς ψυχῆς νοερόν; ὁ θεὸς ὑμᾶς, ἀδελφοὶ τιμιώτατοι, ἐνδυναμώσει ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν καὶ ἐν τοῖς κατὰ ψυχὴν ἀγωνίσμασι, καὶ ἐν ἅπασιν ἀσινεῖς καὶ ἀτρώτους διαφυλάξει διὰ τῆς ἐπιχορηγουμένης δυνάμεως τοῦ ἁγίου πνεύματος, ἑτοίμους ὄντας πρὸς πᾶσαν ὑπακοὴν τῶν ἐντολῶν αὐτοῦ καὶ πρὸς πᾶσαν ὑποτακτικὴν μέθοδον, ἐνορῶντας εἰς τὰ ἀποκείμενα ἀγαθὰ "τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ". καὶ τίνες εἶεν ἄν, ἢ οἱ τὰ τῇδε ἐν μηδενὶ τιθέμενοι, φημὶ δόξαν καὶ ἡδονήν, τρυφὴν καὶ ἀπόλαυσιν σαρκὸς καὶ αἵματος, ἀλλὰ τῷ κόσμῳ ἑαυτοὺς σταυρώσαντες καὶ πρὸς τὴν οὐράνιον ἐνατενίζοντες θεωρίαν; οὕτως καὶ οἱ ἔκπαλαι προπάτορες ἡμῶν καὶ καθεξῆς μέχρι τοῦ δεῦρο, καθὼς ἐστε καὶ ὑμεῖς, ἠγαπημένοι κυρίῳ, ἀρνησάμενοι κόσμον καὶ τὰ περὶ κόσμον καὶ δουλεύοντες αὐτῷ, ἐν τῷ ἱερῷ καὶ ἀγγελικῷ τάγματι ἐβίουν. κρατεῖτε τοίνυν, τέκνα, ὡς παρελάβετε, καὶ τὰς φλόγας τῶν παθῶν τῇ δρόσῳ τῆς ἁγνείας κατασβέννυτε, τὰς τῶν οἰκείων θελήσεων ἐφέσεις τῷ ξίφει τῆς ὑπακοῆς ἐκτέμνοντες, ἐργάται δόκιμοι γινόμενοι καὶ τῶν ἐντολῶν τοῦ κυρίου καὶ τῶν ἐν χερσὶν ὑμῶν ἔργων δι' ἑκάστης ἐγκελεύσεως τοῦ προάγοντος, μάλιστα δέ, ἐπεὶ πάρεστιν ἄρτι, τοῦ οἰκονόμου καὶ ἀδελφοῦ ἡμῶν.

Ὁ κόπος οὖν ὑμῶν ὅλος ἔνθεος καὶ εὐαπόδεκτος· ὑπὲρ ἀλλήλων γὰρ τληπαθεῖτε καὶ εἰς τὸν κύριον ἐμβιβάζετε τὰ γεννήματα. καὶ ὥσπερ καὶ αὐτὰ τὰ ἱερωθέντα χρήσει κακῇ τῶν τινῶν ἀνθρώπων καὶ γνώμῃ διεστραμμένῃ ἄδεκτα θεῷ, οὕτω καὶ τὰ

---

4 κῶδ. *κατεδύειν*. 16 κῶδ *ὀνίσασθαι*. 36 κῶδ. *διαφυλάξει*.

6 κῶδ. *ταλαιπορεῖτε*. 12 κῶδ. *διαφυλάξοι*. 13 κῶδ. *ἐπιχωρηγουμένης*. 17/18 Τιμοθ 2, δ', 8. 21 τῷ κόσμῳ *é.* σταυρώσαντες] Γαλάτ ς', 14. 36 κῶδ *ὑμῶν*, слаβ нашему. 39 κῶδ *γενήματα*.

μὴ δοκοῦντα εἶναι αὐτοτελῆ θεῖα ἀναθήματα, χρήσει καλῇ καὶ λόγῳ εὐσεβείας ἱερὰ θεῷ καὶ κειμήλια προσάγεται καὶ διαγορευεται. διὰ τοῦτο ἱερουργεῖτε, τέκνα, εὖ βιοῦντες, καὶ λειτουργεῖτε θεῷ εὐηκοοῦντες, καὶ διακονεῖτε κυρίῳ ἔργῳ πράττοντες, καὶ θύετε θύματα δεκτὰ ἐν τῇ συντετριμμένῃ καρδίᾳ ὑμῶν καὶ τῷ τεταπεινωμένῳ πνεύματι ὑμῶν. καὶ λοιπόν ἐστε ἱερεῖς εἷς ἕκαστος ὑμῶν κυρίῳ, καὶ λειτουργοὶ καὶ διάκονοι, καὶ οὐδὲν ψεῦδος ἐν τούτοις, ὡς αἱ θεῖαι Γραφαὶ διαγορεύουσιν. εὐσθενῶς τοίνυν καὶ εὐψύχως καὶ συναλλήλως ἡ πᾶσα ἀδελφότης ὑμῶν ὡς μία ψυχὴ ἤ τις εἷς ἀνὴρ ἐργαζέσθω καὶ τὰ πνευματικὰ καὶ τὰ σαρκικὰ ἔργα ἐνώπιον κυρίου. γινώσκετε, ὅτι καὶ οἱ τοῦ πέραν μοναστηρίου ἀδελφοὶ ὑμῶν ὑγιαίνουσιν, ἐνθέως πορευόμενοι καὶ τακτικῶς ἀναστρεφόμενοι καὶ καλὰς ἀποδείξεις διὰ τῶν πρώτων ἱερῶν αὐτῶν ἔργων ἐνδεικνύμενοι. ὁ θεὸς καὶ αὐτοὺς καὶ ὑμᾶς διαφυλάξειε καὶ στηρίξειε καὶ βεβαιώσειεν εὐχαῖς ἁγίαις τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΔ'.

Περὶ ὑπομονῆς πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, νῦν τὴν ἀπ' ἀληθινῆς καὶ καθαρᾶς ὑμῶν διαθέσεώς τε καὶ πίστεως πρός τε θεὸν καὶ τὴν ἐμὴν ταπείνωσιν, τέκνα ἠγαπημένα, ἐπιστολὴν ὑμῶν τιμίαν ἐδεξάμεθα, διδάσκουσαν καὶ ὑποδεικνύουσαν ἡμῖν ὅπως κινεῖσθε πρὸς ἀγάπην καὶ ὅπως γλίχεσθε τὴν ἁμαρτωλόν μου συνάφειαν, καὶ ὅπως ὡς νεοττοὶ ἐν καλιᾷ τοῖς αὐτόθι καθήμενοι κεχασμένοι ἐστὲ τὴν μητέρα καὶ τροφὸν ἀποῦσαν ἀποδέξασθαι. ἀλλ' οὐκ εἰμι ἄξιος καλεῖσθαι ὑμῶν πατήρ, μὴ ἔχων τὴν πατρικὴν καὶ θεοαπόδεκτον κηδεμονίαν· ποῦ γὰρ ἐγὼ ἔφθασα εἰς μέτρον τελειότητος; ἢ εἰς ποῖον ὕψος ἀναβέβηκα ἀρετῆς, ἵν' ἐκεῖνα τὰ τοῦ ἀποστόλου καταλημψω εἰπεῖν, ὅτι ὡσὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς ἔγγονα, οὕτως ἱμειρόμενος ὑμῶν εὐδοκῶ μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὴν ἑαυτοῦ ψυχήν; πόρρω ἀπέχω τοῦ θεοῦ καὶ τῶν θείων ἀνδρῶν, καθόσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· ὃ δέ εἰμι, δι' ὑμᾶς εἰμι, καὶ ἱστάμενος καὶ περιπατῶν καὶ διαλεγόμενος καὶ φωτιζόμενος· καὶ χαίρω, ὅτι μοι δέδωκεν ὁ θεὸς οὐ μόνον τέκνα, ἀλλὰ κυρίους καὶ δεσπότας καὶ πατέρας, ἵνα πίπτοντά με ἀνεγείρωσι καὶ ὀλισθαίνοντα ἐπανορθῶσι καὶ μὴ χρησιμεύοντα πεποιημένον δεικνύωσι· τοῦτο γὰρ νῦν πανθάνω. ἀκούω γὰρ καλὸς ποιμὴν καὶ μεγάλης ποίμνης ἐπιστάτης, καὶ κανόνων τηρητὴς καὶ ἠκριβωμένης πολιτείας ἡγήτωρ, καὶ νέος τις καινολόγος. δημώδης λόγος "κάλαμος γράψει" φησὶ "καὶ γραφεὺς καυχήσεται, καὶ νικητὴν τὸν ἡνίοχον εὐμετάφοροι καὶ ταχινοὶ ἵπποι διεγνώρισαν". μὴ τοίνυν λογίσηταί μοι κύριος τοῦ τὴν ἀκοὴν μείζονα τῆς πολιτείας μου εἶναι κατάκριμα· ὑμᾶς δὲ φωτίσει αὐτὸς ὁ δεσπότης θεὸς καὶ τὰ προσκόμματα τὰ ἐκ τοῦ πολυσκανδαλίστου μου βίου ἀποκαθαρεῖ τῆς ψυχικῆς ὑμῶν ὄψεως, ἵνα τρέχητε καλῶς, ἵν' ἀκολουθῆτε ὀπίσω τοῦ κυρίου ἀδιασπάστως, ἵνα φέρητε εὐτόνως ἐπὶ τῶν ἑαυτῶν ὤμων τὸν σταυρὸν αὐτοῦ· ἴστε γάρ, τέκνα, ὅτι ἐσταυρώθητε τῷ κόσμῳ, ὥσπερ καὶ ὁ κόσμος ὑμῖν, καὶ ἤρθητε ἐκ τῶν χαμαιζήλων καὶ ὑψώθητε ἐν τῇ ἐπουρανίῳ πολιτείᾳ, καὶ θεῷ μόνῳ ζῆτε τεθνηκότες τοῖς ἄλλοις ἅπασι. τίς ὑμῶν πατὴρ καὶ μήτηρ, ἀλλ' ἢ ὁ θεός; τίς ἀδελφὸς καὶ ἀγχιστεύς, ἀλλ' ἢ οἱ ἄγγελοι καὶ οἱ ἅγιοι καὶ ἡ καλὴ ἀδελφότης; τίς ὕπαρξις καὶ κατοικία καὶ εὐζωία, ἀλλ' ἢ ἡ ἐλπὶς τῶν ἀποκειμένων ἀγαθῶν καὶ ἡ βασιλεία τῶν οὐρανῶν; ὅπου ἡ πίστις ὑμῶν, ἐκεῖ ἔστωσαν καὶ οἱ ὀφθαλμοὶ ὑμῶν βλέποντες· ὅπου ἡ κατάσχεσις ὑμῶν, ἐκεῖ γρηγορείτω καὶ ἡ καρδία

11/12 Μαλαγ. β', 6, 7. 14 κῶδ. εἴ τις. 20 κῶδ. τρώτων τῶν 22 κῶδ. διαφυλάξει. στηρίξει. βεβαιώσει.

1 Ἐφεσ. δ', 8. 3 ἔγγονα] οὕτως ἐν τῷ κώδ'κι· ὅρα καὶ σελ. 80, 23. 18 κῶδ. δημώδης. 30, 31 Γαλάτ. ς', 14. 31 κῶδ. ἤρθητεαι.

ὑμῶν· "ὅπου γὰρ ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου", ὡς εἴρηκεν ὁ κύριος· ἄν τε ἐν τοῖς κάτω, κάτω· ἄν τε ἐν τοῖς ἄνω, ἄνω.

Βλέπετε, τέκνα μου, οἵων ἀγαθῶν ἠξιώθητε καὶ οἵας πολιτείας ἀγγελικῆς; ὡς ἄγγελοι περιπατήσατε, τὸ κατὰ δύναμιν, μὴ καταπίπτοντες ἐν τοῖς συμβαίνουσι, κατὰ θυμοῦ ἱστάμενοι διὰ τῆς πραότητος, κατὰ τῆς ἐπιθυμίας διὰ τῆς κολάσεως αὐτῆς. μή σε νικησάτω μικρὰ ἡδονή, πολλὰ κολάζουσα καὶ κατὰ πᾶσαν ὥραν καὶ ἡμέραν ἐρεθίζουσα· "ὑπομένων γὰρ ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι ἐν τῷ βιάζεσθαι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου", μετὰ τὴν χρονίαν παράτασιν τῆς ἀπαλλαγῆς τοῦ πάθους. γινώσκετε νόμους ὑποταγῆς οἱ ὑποτασσόμενοι, καὶ νόμους ὑποτάξεως οἱ ἄρχοντες, τῇ προθέσει κάτω ὄντες οἱ πρῶτοι καὶ εὐσπλαγχνίᾳ καὶ ἀγάπῃ φερόμενοι, ἵν' ἔλκωνται φυσικῶς πως ὡς ὑπὸ σιδήρου οἱ καλοὶ ἀδελφοὶ ἡμῶν. σύμμετρα ἔστωσαν καὶ τὰ λαλήματα ὑμῶν καὶ τὰ διηγήματα. συγκαταβαίνειν δεῖ, ἀλλὰ πάλιν καὶ συνανελθεῖν· λαλῆσαι, ἀλλὰ καὶ σιωπῆσαι· χαροποιῶς καὶ ἱλαρῶς μειδιᾶσαι, πρὸς πνευματικὴν παράκλησιν, ἀλλὰ καὶ πάλιν κατηφιᾶσαι σωφρονιστικώτερον καὶ μηδέτερον τῇ θατέρου ἀμετρίᾳ παραλυμήνασθαι. ἄγρυπνοι ἔστωσαν ὑμῶν οἱ ὀφθαλμοὶ πρὸς τοὺς κανόνας, ἱλαροὶ πρὸς ἀπόκρισιν, ἡ ῥὶς οὐκ ἀνοιγομένη θυμικῶς, αἱ ὀφρύες οὐκ ἀνασπώμεναι ὑπερηφανευτικῶς, ἡ γλῶσσα οὐ τραχυλαλοῦσα κενοδόξως. πᾶσα αἴσθησις ὑμῶν καταστελλέσθω· πᾶν μέλος ὑμῶν παιδαγωγείσθω· τὰ χείλη χείλη αἰνέσεως· τὸ στόμα ὄργανον θεοῦ ψαλμικόν· ὁ νοῦς διανοητικὸς τῶν ἐπουρανίων· αἱ χεῖρες ἔργων εὐσεβῶν ἐνέργειαι. μή τις ἔστω παρακούων, μηδὲ ἰδιοθελῶν, μηδὲ βαρυκαρδιάζων, μηδὲ βουλευόμενος τὰ ἄθεα καὶ ἐκβλητικὰ τοῦ κοινοβίου. συνέλθετε πρὸς ἀλλήλους ἐν ὁμοψυχίᾳ. ἀγαπήσατε ἀλλήλους ἀπαρρησιάστως. δότε ἀλλήλοις δεξιὰς ἐπὶ τῇ θεοσώστῳ ὑμῶν βιώσει.

Ταῦτα μὲν ἐχέτω ὁ τῆς κατηχήσεως λόγος, τὸ δὲ λοιπὸν εὔχεσθε ὑπὲρ τῆς ἐλεεινότητός μου, ἵν' ὁ ταῦτα νουθετῶν τὴν δοκὸν πρῶτον ἐκβάλω τοῦ ὀφθαλμοῦ καὶ τότε διαγορεὺς τῶν ἀποκαρφισμάτων τοῦ πλησίον γένωμαι ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΕ'

Παραινετικὴ πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι καὶ ἐν τῷ Ἁγίῳ Χριστοφόρῳ ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες. ἀπήγγειλεν ἡμῖν εἰσελθὼν ὁ οἰκονόμος, τέκνα καὶ ἀδελφοί, τὴν ἐν κυρίῳ ἀποκατάστασιν ὑμῶν, καὶ ὅπως συνήλθετε εἰς ἀλλήλους οἵ τε ἄρχοντες καὶ οἱ ἀρχόμενοι, οἱ μὲν κατὰ τὸ πρέπον ἀναλαβόντες τὴν προστασίαν καὶ διανείμαντες ἑκάστῳ δεόντως τὰς διακονίας, οἱ δὲ ὑποδεχόμενοι αὐτὰς εὐηκόως καὶ ταπεινοφρόνως ἐν τῇ καθηκούσῃ ὑποστολῇ καὶ εὐλαβείᾳ· εἶτα ἐπὶ τούτοις πᾶσιν, ὅτι συνανεκράθητε τῇ ἀγάπῃ, φιλοῦντες καὶ φιλούμενοι, ποθοῦντες καὶ ποθούμενοι, ὡς γενέσθαι ἐν πᾶσι μίαν ψυχὴν καὶ διάνοιαν καὶ θέλημα ἐν τῇ μεσολαβούσῃ εἰρηναίᾳ ζωῇ καὶ εὐταξίᾳ. καὶ ὅσον εὐφράνθη ἡμῶν ἡ ταπεινὴ ψυχὴ καὶ ἀπευχαριστήσαμεν τῷ κυρίῳ, τί δεῖ καὶ λέγειν; οὐδὲ γὰρ ἄλλο τι ἡμῖν τερπνὸν καὶ ἐπιθυμητὸν ὑπὸ τὸν οὐρανόν, ἢ τὸ ὑμᾶς εὖ βιοῦντας καὶ τὰ προστάγματα τοῦ κυρίου ἐνεργοῦντας ἀξίως τὴν κατὰ τὸ ἀγγελικὸν ὑμῶν ἐπάγγελμα διανύειν ζωήν.

Τοῦτο οὖν ἐπεὶ γέγονε καὶ εἷς ἕκαστος ἐγνώρισε τὸν καθηγούμενον αὐτοῦ ἀντὶ ἡμῶν τῶν ἁμαρτωλῶν, τόν τε τόπον καὶ τὸν τρόπον τῆς διακονίας, παρακαλῶ καὶ δυσωπῶ, μεινάτω ἐν ὑπομονῇ πολλῇ καὶ μακροθυμίᾳ, διαβιβάζων ἡμέραν ἐξ ἡμέρας ἐπικερδῶς καὶ σωτηρίως διὰ τῆς ἀνοθεύτου ὑπακοῆς καὶ ὑποταγῆς αὐτοῦ. καὶ μηκέτι εἴη ἐν ὑμῖν ἑτεροθελία, ἢ ἰδιογνωμία καὶ αὐτορρυθμία

1/2 Ματθ. ς', 21. 13/15 Ψαλμ. λθ', 1. 32 κῶδ. *ἀνασπόμενοι* 36 κῶδ. *διανοητικῶς*.

4 κῶδ. *ἐκβάλλω*. 4/5 Ματθ. ζ', 3-5. Λουκᾶ ς', 41, 42.

καὶ ἐθελοθρησκεία· μηδ' αὖ γογγυσμός, ἢ ψιθυρισμός, ἢ φατριασμός, μὴ μὴν στρηνιασμὸς ἢ παῤῥησία, ἢ γέλωτες ἀκρατεῖς, ἀργία τε καὶ ὀλιγωρία, αὐθάδειά τε καὶ ὑπερηφανία, ἤ τι τῶν μὴ ἀρεσκόντων κυρίῳ. διὰ τοῦτο γὰρ γινώσκετε, τέκνα καὶ ἀδελφοί, ὅτι ἀπελίπομεν τὰ ἐν κόσμῳ, γονεῖς, ἀδελφούς, φίλους, οἰκείους, χώρας, πόλεις, δήμους, ἀγοράς, θέατρα, πᾶσαν τὴν ἐμπαθῆ καὶ φιλήδονον τοῦ βίου διαγωγήν, ἵνα Χριστὸν κερδήσωμεν, ἵνα οὐρανίως πολιτευσώμεθα, ἵνα τὰ πάθη καταργήσωμεν, ἵνα τὰς ἀρετὰς πλουτήσωμεν, ἵνα ὁσίως καὶ δικαίως πολιτευσάμενοι ἐν τῷ νῦν αἰῶνι, κατὰ μίμησιν τῶν ὁσίων ἡμῶν πατέρων, τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν. ἐπεὶ οὖν τοιαύτη ἡ ἐπαγγελία ἡμῶν καὶ ἡ προσδοκία, τοιοῦτον δειχθείη, παρακαλῶ, καὶ τὸ ἔργον ὑμῶν καὶ ἡ ἀναστροφὴ καὶ ἡ διαγωγή, ὅπως κατὰ τὸ ὄνομα καὶ ἡ πολιτεία δείκνυται, καὶ ὅπως διαλάμψῃ ὁ βίος ὑμῶν ταῖς ἀγαθαῖς εὐπραγίαις, διδοὺς χάριν τοῖς πλησιάζουσιν ὁμοσχήμοις τε καὶ λαϊκοῖς, καὶ μὴν καὶ τοῖς ὁμοταγέσιν ὑμῶν ἀδελφοῖς, ὅπως δοξάζηται τὸ ὄνομα τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, καθὼς γέγραπται, ὅπως καὶ ἡμεῖς οἱ ταπεινοὶ χαίρωμεν, μᾶλλον καὶ μᾶλλον προθυμούμενοι εἰς τὸ ἀγαθὸν ἔργον ὑμῶν, ὁρῶντες πρὸ προσώπου ἡμῶν οἷον καὶ ἡλίκον μισθὸν ταμιεύεσθε ἑαυτοῖς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Βλέπε τοιγαροῦν, τέκνον μου Σωφρόνιε, τὴν δοκιμήν, ἣν ἐδοκιμάσαμεν ἐν σοί, ἀπὸ τῶν πολλῶν ἐκλεξάμενοί σε εἰς τὸ προστῆναι τῶν ἀδελφῶν σου, μὴ φανῇ ἀδόκιμος εἰς αἰσχύνην ἡμῶν καὶ ἐντροπήν· ἀλλ' οὕτως τὸ φῶς σου τῶν ἀρετῶν φρυκτωρείτω καὶ οὕτως ὁ τοῦ βίου σου ῥυθμὸς λαλείσθω, ὡς ὀνομαστόν σε γενέσθαι ἔτι ἐν τοῖς ἀδελφοῖς σου καὶ μὴν καὶ ἐν τοῖς ἔξωθεν· πᾶς γὰρ ὁστισοῦν τὸν θεὸν ἐν ἑαυτῷ σχοίη διὰ τῆς ἐργασίας τῶν ἁγίων αὐτοῦ ἐντολῶν, ὀνομαστὸς γίνεται καὶ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ τοσοῦτον, ὁπόσον γε καὶ ἐπιδίδωσι τὴν πρὸς αὐτὸν ἀγάπην. γενοῦ πρὸς τοὺς ἀδελφούς σου πάραινος, ἀγαθός, διδακτικός, ὑπομνηστικὸς τῶν δεόντων, ἐλεγκτικὸς τῶν ἁρμοζόντων, ἐπιτιμητικὸς τῶν προσηκόντων, ἰατρεύων τοὺς ἀσθενοῦντας, ἀνεχόμενος τῶν ἐξ ἀπειρίας ἀγνοούντων, συγκοπιῶν τοῖς κάμνουσι, πάντα ποιῶν καὶ λέγων εἰς τὸ κοινωφελές, ὅτι τὴν αὐτήν σοι δέδωκα ἐξουσίαν, ἥνπερ κἀγὼ ἔχω ὁ ταπεινὸς παρὰ θεοῦ ἐπὶ ταύτῃ τῇ ἡγεμονίᾳ. δευτερεύοντά σου κέκτησαι τὸν ἀββᾶν Ἀκάκιον. τὰ αὐτὰ τοιγαροῦν καὶ σοί, τέκνον μου Ἀκάκιε, προσφθέγγομαι, ἐπειδὴ ἐν δυσὶ μίαν καρδίαν θέλω εἶναι, μᾶλλον δὲ καὶ ἐν τοῖς πᾶσιν, ὥστε τῷ ἑνὶ θελήματι καὶ τῇ μιᾷ φρονήσει διοικεῖσθαι τοὺς ἀδελφοὺς ὑμῶν. ἐπίστηθι καὶ σύ, τέκνον οἰκονόμε, τῇ διακονίᾳ σου προθύμως καὶ γρηγόρως, νηφαλέως καὶ σπουδαίως, ἀπροσκόπως καὶ ἀπροσπαθῶς. πάντες οἱ λοιποί, οἵ τε προέχοντες ἐν ταῖς διακονίας καὶ οἱ ὑπὸ τὰς διακονίας, καὶ πρό γε τῶν ἄλλων σύ, τέκνον πρωτοζευγῖτα, δεῖξον τὴν προθυμίαν ἐν τῷ ἔργῳ σου, ἵνα σε καὶ μᾶλλον ἀποδέχωμαι. οὕτως οὖν καὶ ὑμεῖς οἱ ἀμπελουργοί, οἱ κηπουροί, οἱ σκυτεῖς, οἱ ὀψοποιοί, οἱ κελλαρῖται, οἱ ἀρτοποιοί, οἱ ἀριστητάριοι, οἱ κανονάρχοι, οἱ ῥαφεῖς, μέχρι καὶ τοῦ ἐσχάτου, ἵν' ὁ θεὸς δοξάζηται ἐν τῷ ἔργῳ ὑμῶν, ἵνα κτᾶσθε ζωὴν αἰώνιον ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν.

Τοὺς παλινδρομοῦντας ἀποδέξασθε καὶ συναριθμήσατε τοῖς λοιποῖς ἀδελφοῖς, ποιοῦντες τὰ καθήκοντα· χαίρω γὰρ ἐπὶ τῇ ἀνακλήσει ἑνὸς ἑκάστου, καὶ χαίρει καὶ ὁ θεὸς μετὰ τῶν ἀγγέλων αὐτοῦ, μόνον εἰ κατὰ μίμησιν τοῦ ἀσώτου κράζουσι τὸ "ἥμαρτον" καὶ ἐπιδείκνυνται διὰ τοῦ βίου αὐτῶν τὰ ἀρεστὰ κυρίῳ. περὶ τῶν χρειῶν ὑμῶν τῶν σωματικῶν πάντα, ὡς προείρηται, ποιήσει ὁ μέγας οἰκονόμος, διδοὺς ἑκάστῳ τὸ δίκαιον· πλὴν γενέσθω καὶ εἴ τι αὐτὸς ὁρίζει καὶ

---

1 κῶδ. *ἐθελοθρησκία*. 4 κῶδ. *αὐθάδια*. 7 κῶδ. *γωνεῖς*. 25 κῶδ. *ὑμῶν*. 30 κῶδ. *ταμιεύεσθαι*. 37 κῶδ. *φρυκτορείτω*.

20 κῶδ. *νηφαλαίως*. 38 Λουκὰ ιε', 21.

ἐντέλλεται ὑμῖν· εἰ δέ τι φανεῖ ὑμῖν βαρὺ ἐν τοῖς ἐντελλομένοις, μετὰ τὸ ἐκπληρωθῆναι τὸ ἐνταλθέν, τότε δηλούσθω μοι κἀγὼ ἐπισκέπτομαι καὶ ὃ γίνεται γενήσεται θεαρέστως. λοιπόν, τέκνα μου καὶ ἀδελφοί, χαίρετε ἐν κυρίῳ, ἐργάζεσθε ἐν προθυμίᾳ, περιπατεῖτε ἐν ἀκακίᾳ, ἀναστρέφεσθε ἐν ἁπλότητι. γινέσθω ἐξαγόρευσις τῶν κρυπτῶν, ὅτι τοῦτο σωτήριον ψυχῆς καὶ ἀπαλλακτήριον παθῶν· γινέσθω ἡ ψαλμῳδία καὶ ἡ στιχολογία, ἡ ἀγρυπνία καὶ ἡ ἀνάγνωσις, κατὰ τὸ προσῆκον τοῦ κανόνος· ἡ ἐκμάθησις τῶν ψαλμῶν, τῶν τροπαρίων, καθ' ὃ ἐπιτρέπει ὁ προηγούμενος· εἰ δὲ ἐκεῖνος ἀπείργει, οἷδεν ὃ ποιεῖ· πᾶς τις καταδεχέσθω τὰ παρ' αὐτοῦ. τὸ λοιπὸν εὔχεσθε καὶ ὑπερεύχεσθε τῆς ἡμετέρας ταπεινώσεως, ἵνα δῴη ἡμῖν κύριος λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ φρόνησιν ἐν τῇ διασκέψει τῶν ὀφειλόντων, κάθαρσίν τε παθῶν καὶ εἴσοδοχὴν πνεύματος ἁγίου, ὅπως γενοίμεθα ὑμῖν εἰς ὄφελος, ὅπως διασώσοιμεν καὶ τὰς ἑαυτῶν ἐλεεινὰς ψυχὰς ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΣ'

Περὶ τῆς πνευματικῆς ἡμῶν στρατείας, πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι καὶ ἐν τῷ Ἁγίῳ Χριστοφόρῳ ἀδελφούς.

Τέκνα καὶ ἀδελφοί, ὡς προγέγραφα, πάντες ἐν Κυρίῳ ζῆτε καὶ ἀναστρέφεσθε, ἁρπάζοντες ὥσπερ θησαυρούς τινας τοὺς τῆς σωτηρίας ὑμῶν καρπούς, ἀποδιιστάμενοι πονηρίας κατὰ πᾶν ἐπιτήδευμα ἀταξίας. διὰ τοῦτο μὴ ἔστω τις ἐν ὑμῖν ὀλεθριοπαρρησίαστος, κατεβλακευμένος, ἡδονοκυρίευτος, φιλαμαρτήμων, ὑλοπαθής, αἰσχρόψυχος, μυσαρόνους· μὴ κλοποποιός, κἂν ἐν μικρῷ πράγματι· μὴ ζηλότυπος, ἐρεθιστής, συμβολομάχος, μηδ' αὖ γογγυστής· μὴ δυσκίνητος, μηδὲ ἀεργός, μηδ' αὖ παράκουος· μήτε ὑπερήφανος, μήτε αὐθάδης· μὴ ἀλαζών, μὴ φιλαπεχθήμων, μὴ προφασιστής, ψευδολόγος, φατριαστής, εὑρεσίκακος, φιλόμαχος, ζητοφάγος, πολύυπνος, ἐπὶ σάρκα καὶ κόσμον καταβρίθων, ὥσπερ τὰ κτήνη· μηδὲ πάλιν Ἰούδας τις, μελετικὸς προδοσίας τῆς ἑαυτοῦ ψυχῆς καὶ ἀποσπάσεως ἀδελφοῦ αὐτοῦ· τοιοῦτοι γάρ εἰσιν οἱ ἑαυτοὺς ἀφαρπάζοντες ἀπὸ θεοῦ καὶ ἀποδιδράσκοντες καὶ πλανώμενοι εἰς τοὺς τῆς ἀνομίας τόπους, καθώς τινες ἐξετράπησαν, ἢ καὶ ἐκτραπήσονται τῶν λειποτακτιτῶν· οὐ γὰρ ὑποφέρουσι τὸν καύσωνα τῆς ἡμέρας. διὰ τοῦτο οὐδὲ λαμβάνουσι τὸν τοῦ ἀμπελῶνος μισθόν, οὐδὲ πάλιν ὡς στρατευσάμενοι τῷ παμβασιλεῖ θεῷ ἐπιμένουσι τὸν τοῦ πολέμου καιρόν, ἵνα πολεμήσαντες ἄριστα εὐαρεστήσωσι τῷ δεσπότῃ. διὰ τοῦτο οὐδὲ τῶν θείων γερῶν καὶ δωρεῶν ἀπολαύσουσιν, ἀλλὰ καὶ λειποταξίῳ καταγραφέντες ἐμπτυσθήσονται καὶ ἐξοστρακισθήσονται καὶ ἀποδιωχθήσονται ἐν καιρῷ τῶν ἀμοιβῶν. εἰ γὰρ ἐπὶ τῆς τοῦ φθαρτοῦ καὶ ἐπικήρου βασιλέως, τοῦ ἰσοπαθοῦς καὶ αὐτοφυοῦς, οὕτως, τί ἐπὶ τοῦ μεγάλου καὶ ἀθανάτου βασιλέως τῶν βασιλέων καὶ θεοῦ τῶν θεῶν καὶ κυρίου τῶν κυρίων; οὐ κατ' ἀξίαν ἄρα κριθήσεται καὶ ἀποδοθήσεται ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ; ἀλλὰ μηδαμῶς ἐν ὑμῖν, ὦ τέκνα καὶ ἀδελφοί, γινέσθω οὕτως, μηδὲ ὑπονοστήσητε εἰς τὰ ὀπίσω, μηδὲ ἐξατονήσητε πρὸς τὴν ἄσκησιν, μηδὲ τὸν ὀλίγον καιρὸν τῆς στρατείας ὑμῶν (ὀλίγος γάρ ἐστι πρὸς τοὺς ἀπείρους αἰῶνας, ὅσον ῥανὶς πρὸς πέλαγος ἀπεριόριστον) ἐνακηδιάσαντες ἐκπέσοιμεν τῶν ἀτελευτήτων τιμῶν καὶ δοξῶν τῆς βασιλείας τῶν οὐρανῶν.

Τοιγαροῦν, ὦ καλοὶ στρατιῶται, συναθληταί, συνασκηταί, συνοδοιπόροι (ὅπως ἂν γὰρ εἴπωμεν ἕκαστον, ἔνεστιν ὑμῖν τῶν λεχθέντων), δράμωμεν, διώξωμεν, κρούσωμεν, ἐπιμείνωμεν. ἐγγὺς κύριος τοῦ στεφανῶσαι· αὐτὸς γάρ ἐστιν ὁ οὐρανόθεν βλέπων τὸν ἑκάστου δρόμον καὶ τοὺς στεφάνους πλέκων

---

18 Ἐφεσ. ς', 19. 36 κῶδ. *κατευβλακευμένος*. 41 *παράκουος* = παρήκοος.

14 ἀμπελῶνος μισθόν] Ἰωάν. ις', 1-17. 22 τῆς [κρίσεως]? 34 κῶδ. *ἐν ἀκηδιάσαντες*

τῷ ὑπομείναντι μέχρι τέλους. διὰ τοῦτό ἐστε πάντες καθαροὶ διὰ τῆς ἐξαγορεύσεως, πάντες εἰρηνικοὶ διὰ τῆς ταπεινώσεως, πάντες εὐκίνητοι διὰ τῆς φιλεργίας. ἡ κεφαλὴ ὡς κεφαλὴ σκοπείτω καὶ βλεπέτω τὰ συμφέροντα τοῖς μέλεσιν· ὁ πρῶτος, ὢν ἐστι πρῶτος· ὁ οἰκονόμος, οὓς οἰκονομεῖ· ἕκαστος τῶν διακονούντων, οὓς διακονεῖ. ἀνδρίζεσθε, κελλαρῖται· συνειδήσει καθαρᾷ ἐκτελεῖτε τὸ ἔργον ὑμῶν. διεγείρεσθε οἱ ὀψοποιοί, προθυμίᾳ πληροῦντες τὰ ἐψήματα τῆς ἀδελφότητος, τοῖς θείοις λόγοις καὶ ταῖς προσευχαῖς μᾶλλον ἁλίζοντες αὐτά· ὡσαύτως οἱ τραπεζάριοι, τὴν ἴσην διανομὴν ἀπροσπαθῶς ἐκτιθέμενοι, μὴ λαθροφαγοῦντες, μηδὲ προσπαθῶς ἐπιδιδόντες κρᾶσιν ἤ τι τῶν βρωμάτων· οἱ μάγκιπες, τὸν ἄρτον κάλλιστον προσφέροντες διὰ τῆς εὐχρείας ὑμῶν τῷ κυρίῳ· τὸ γὰρ εἰς τοὺς ἀδελφοὺς γινόμενον εἰς θεὸν ἀνατρέχει. μή τι παρὰ τὸ διατεταγμένον ὑμῖν ἐν τῇ διακονίᾳ ἢ ἐσθίετε, ἢ μεταδίδοτε. οἱ ἐν τοῖς κήποις καὶ τοῖς παραδείσοις ἀποτεταγμένοι παντοίοις λαχάνοις δεξιοῦσθε τοὺς ἀδελφούς, ἵν' ἐντεῦθεν πλουσιάζῃ ἡ χάρις ἐν ὑμῖν τοῦ θεοῦ. τί πρὸς τοὺς ἐφισταμένους τοῖς ἀμπελῶσιν εἴπωμεν; ἀλλ' ἢ ὡς ἀμπελῶσι κυρίου ἐφίστασθαι. τί πρὸς τοὺς ἀροτριῶντας, ἵνα τὸ μέγιστον τῶν διακονιῶν ἐσχάτως θώμεθα; ὅπως τὰ νεώματα καὶ τὰ διβολήματα, τὰς καθάρσεις τῶν χωρῶν καὶ τὰς κατασπορὰς ὡς ἐν ὄψει κυρίου ποιοῦντες. οἶδα, οἵους ἔχω ἐν ἑκάστῃ διακονίᾳ, προύχοντας τῇ προθυμίᾳ, στίλβοντας τῇ ὑπακοῇ, ἀστράπτοντας τῇ ταπεινοφροσύνῃ. τοιούτους θέλω τοὺς πάντας εἶναι· ἐκ γὰρ τοῦ θέλειν μόνον τὸ γίνεσθαι πάρεστι. βλέπετε καὶ αὐτοὶ οἱ κατὰ τὴν κανοναρχικήν, πῶς καὶ γράφετε καὶ ψάλλετε καὶ ἀναγινώσκετε, μὴ κλεπτῶς, μηδὲ φιλαυτικῶς, μηδὲ ὡς πρὸς τὸ μαθεῖν μόνον καὶ πρὸς τὸ θηρᾶσαι λέξιν καὶ πρὸς τὸ ἀδιάπτωτον ἔχειν τὴν προφοράν, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον, πρὸς τὸ λυσιτελοῦν τῇ οἰκείᾳ ψυχῇ, ἵνα πάντες ὡς ἕν ἐστε τῇ ὁμονοίᾳ καὶ τῇ αὐτοβουλίᾳ. ὁ δὲ κύριος καὶ θεὸς τοῦ πατρός μου, ὁ εἰρηνοποιήσας ἐν τῷ ἰδίῳ αἵματι τὰ σύμπαντα, ἔτι βραβεύσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ, εἰς ὁμόνοιαν, εἰς δικαιοσύνην, εἰς πᾶσαν προκοπὴν ἀγαθήν, ὅτι πρέπει πᾶσα δόξα, τιμὴ καὶ προκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

18 εὐχρείας ὑμῶν] οὕτως ἐν τῷ κώδικι· σλαβ. благотребованіе вашего. 30 *διβωλήματα*?

ΚΑΤΗΧΗΣΙΣ ΝΖ'

Εὐχαριστήριος πρὸς θεὸν ἐν τῷ ἐξελθεῖν ἡμᾶς ἐκ τῆς φυλακῆς· ὁμοῦ καὶ παραίνεσις, πρὸς τὸ ὑποφέρειν γενναίως καὶ εὐχαρίστως τὰ ἐπερχόμενα θλιβερά. πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι καὶ ἐν τῷ Ἁγίῳ Χριστοφόρῳ ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, ὁ ἀγαθὸς ἡμῶν θεός, ὁ ταχὺς ἐν ἐλέει καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, δυσωπηθεὶς ταῖς πρεσβείαις τῆς δεσποίνης ἡμῶν Θεοτόκου, τῶν δεσποτῶν ἡμῶν, τοῦ Προδρόμου καὶ τοῦ Θεολόγου, ἅμα ταῖς ἱκεσίαις ὑμῶν, μετήγαγε τὸν πειρασμὸν καὶ ἐξήγαγεν ἡμᾶς ἐκ τῆς φυλακῆς. λοιπὸν χαριστήριον αἶνον ἀναπέμψωμεν κοινῇ πάντες, ὅτι οὕτως ᾠκονόμησε καὶ μετέβαλε τὰ θλιβερὰ εἰς περιχαρῆ καὶ ἐξέτρεψε τὰς τοῦ πονηροῦ σκαιωρίας ἐκ μέσου, καθ' ἡμῶν κινηθείσας τῷ ὄντι. πλήν, ὃ πέπονθα ἐγώ, διὰ τὰς ἁμαρτίας μου καὶ οὐ δι' ἄλλα λογιστέον· μοι· ἐν γὰρ τούτῳ εὐψυχῶ, ὅτι γίνεταί μοι ἔκτισις ἁμαρτιῶν. ἤδη δὲ ἐν τῷ πειρασμῷ ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ ἐδοκιμάσθημεν ἅπαντες, καὶ μάλιστα οἱ ἐνταῦθα· ὅσοι γὰρ πνεύματι ἁγίῳ καὶ ἀδιστάκτῳ πίστει διέζων, μεμενήκασιν ὡσαύτως ἔχοντες, μηδαμῶς παρατραπέντες, τοὐναντίον δὲ καὶ ἐπιστηριχθέντες καὶ βεβαιωθέντες ἐκ τοῦ τυχόντος κινδύνου· ὅσοι δὲ χλιαρότητι καρδίας καὶ διψυχίᾳ καὶ φιλοσαρκίᾳ καὶ ἀμελείᾳ διέτριβον, ἤδη ῥιπισθέντος τοῦ κακοῦ ὥσπερ φύλλα πεπτώκασι καὶ ὥσπερ ζιζάνια δίκην κοσκίνου ἐξεβλήθησαν

3 εἰρηνοποιήσας κέ] Κολοσ. α', 20. 22 ἱκεσίαις] κῶδ. *ἡκοσίαις*. 25/26 κῶδ. *μετέβαλλε*. 29/30 κῶδ. *ἄλλου*.

τοῦ μοναστηρίου ὑφ' ἑαυτῶν, ἵνα δειχθῇ οἵτινες ἐοίκασι καθαρῷ σίτῳ· τοῦτο γὰρ ψάλλων ὁ θεῖος Δαβὶδ ἔλεγε· "διαχώρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν", δηλονότι τοὺς ἁμαρτωλοὺς καὶ ἀμελεῖς ἐκ τῶν ἐναρέτων καὶ ὁσίων. ἀλλ' ὢ τοῦ πτώματος, ὅτι οὕτως ἐξ οἰκείας ἀπροσεξίας "διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην" τῆς ἀπωλείας! ὅμως ἀλγῶ ἐπ' αὐτοῖς καὶ πενθῶ καὶ οὐ παύομαι ἀνακαλούμενος, ἕως ἂν ἐμπνέω, ἴσως τινὲς αὐτῶν ἐκ μικροῦ σπινθῆρος θεογνωσίας ἀναφθέντες καὶ μετανοίᾳ χρησάμενοι ἀνασφήλωσι τῆς κακίας καὶ ἐπιστραφῶσι καὶ ἐπισυναχθῶσιν ὡς πρόβατα πεπλανημένα ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς.

Λοιπὸν τὸ ἐφ' ὑμῖν ἄρτι, ἵνα μὴ τῷ πτώματι αὐτῶν ὑμεῖς ἔμφοβοι γένησθε, ἀλλὰ μᾶλλον θαρσαλέως σταίητε πρὸς τὸν ἀγῶνα τῆς εὐσεβείας, πρὸς τὰ σκάμματα τῆς ἀσκήσεως, πρὸς τὸν ἐκ χειρῶν κόπον, πρὸς τὸν ἐκ τῶν πολέμων ἱδρῶτα, πρὸς τὰ συμβαίνοντα ἑκάστοτε θλιβερὰ καὶ ἐπαχθῆ, καὶ τοῦτο μέχρις αἵματος, καὶ τοῦτο ἕως θανάτου· αὐτὸ γὰρ τοῦτο ἐπηγγειλάμεθα, ὡς ἴστε, ἐν τῷ λαμβάνειν ἡμᾶς τὸ ἅγιον σχῆμα. καὶ οὐκ εἰκῇ κατηχήθημεν, ἀλλ' ὥσπερ ἀληθείᾳ ἐφωτίσθημεν καὶ καθήρθημεν τῶν ἁμαρτιῶν ἡμῶν, υἱοὶ φωτὸς γεγενημένοι, οὕτως ἀδιάψευστον καὶ τὴν ὁμολογίαν ποιήμεθα, δι' ἔργων αὐτὴν πάντως πιστωσάμενοι. τοίνυν ἕκαστος ἀναλογιζέσθω λοιπόν, τί ἐξ ὧν ὑπέσχετο καὶ καθωμολόγησε πέπονθε, καὶ ἐν οἷς μὲν κατελήφθη, εὐχαριστείτω τῷ δόντι δύναμιν ὑπενεγκεῖν τὰ τοιαῦτα, πρὸς δὲ τὰ λειπόμενα εὐτρεπιζέσθω, ἵν' οὕτως τὸν τοῦ μαρτυρίου στέφανον ἀναδήσηται. ἐπεί, φησίν, "οὐχ ὁ λέγων μοι κύριε, κύριε, ἀλλ' ὁ ποιῶν τὸ θέλημά μου, οὗτός μού ἐστιν ὁ πιστὸς θεράπων". γενώμεθα τοίνυν, τέκνα μου καὶ ἀδελφοί, εὐχάριστοι ἐπὶ τοῖς ἤδη γεγενημένοις, καὶ δῶμεν αἶνον τῷ κατευνάσαντι τὴν ταραχήν, καὶ θεοπρεπῶς πρὸς τὸ ἑξῆς περιπατήσωμεν, ἀποδεχόμενοι τὴν μισθαποδοσίαν ἐν ἡμέρᾳ ἀποκαλύψεως καὶ δικαιοκρισίας θεοῦ, ὑπὲρ ὧν πράττομεν καὶ λέγομεν διὰ παντὸς τοῦ βίου ἡμῶν. ὑπερευξώμεθα πάντων τῶν φιλανθρώπως πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς διακειμένων, ἵν' ἀμείψηται αὐτοὺς κύριος τοῖς προσκαίροις τὰ αἰώνια.

Περὶ τοῦ πότε ἐξελευσόμεθα, ὁ ἀδελφὸς ἡμῶν Κύριλλος ἀπαγγελεῖ, καὶ οὐ μόνον περὶ τούτου, ἀλλὰ καὶ περὶ τῶν ἐλλειπομένων ἡμῖν ἐν τοῖς γράμμασι. τὴν ἐπιστολὴν ἐπίδοτε εἰς τὸν Ἅγιον Χριστοφόρον. εὔχεσθαι ὑπὲρ ἡμῶν μὴ διαλείποιτε, τέκνα ἡμῶν ἠγαπημένα καὶ περιπόθητα, ἵνα σῳζώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΗ'.

Περὶ ὁμονοίας πρὸς τοὺς ἐν τῷ Ἁγίῳ Χριστοφόρῳ καὶ ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, οὐχ ὅτι πρόφασις ἐγένετο τοῦ ἐπιστεῖλαι ἡμᾶς, διὰ τοῦτο ἐπιστέλλομεν· ἀλλ' εἰ καὶ μηδεὶς χρεία ἑτέρα παρῆν, δι' αὐτὸ τὸ χρέος ἠναγκαζόμεθα ἂν ἐξαργῶς τοῦτο πρᾶξαι. ἐπεὶ δὲ ἐγένετο πρόφασις, εὐθύμως καὶ νῦν προσφθεγγόμεθα ὑμῖν, τέκνα καὶ ἀδελφοί. ὑγιαίνετε τοιγαροῦν, ὑγιαίνετε καὶ τὴν ἀγαθὴν πολιτείαν ὑμῶν ἐξανύετε, ἀναλαμβάνοντες τὰς ἐντολὰς τοῦ κυρίου καὶ ἐμπεριπατοῦντες ἐν ταῖς δικαιοσύναις αὐτοῦ, οὐδὲν ἄλλο σκοποῦντες καὶ οὐχ ἕτερόν τι ἐπιθυμοῦντες, ἢ τὸ εὐαρεστῆσαι θεῷ διὰ τῆς νεκρώσεως τῶν παθῶν καὶ ἀναλήψεως τῶν ἀρετῶν· ἐν τούτῳ γὰρ ἐξεληλύθαμεν ἀπὸ κόσμου καὶ ἐληλύθαμεν ἐν τῷ μοναστηρίῳ, καταλιπόντες πᾶσαν τὴν τοῦ βίου ματαιότητα, πᾶσαν προσπάθειαν, πᾶσαν φιλίαν καὶ ἀγάπην, γονικήν, ἀδελφι-

3 Ψαλμ. ις', 14. 7 Ψαλμ. ρμ', 7. 15 ὁδοῦ - - πονηρᾶς] Ψαλμ. ριη', 101. 17 κῶδ. *γίνεσθε*. 27 καθήρθημεν=ἐκαθάρθημεν. 28 υἱοὶ φωτὸς] Θεσσαλ. 1. ε', 5. 37/39 πρβλ. Ματθ. ζ', 21.

3 ἐν ἡμέρᾳ ἀποκαλύψεως κέ] Ῥωμ. β', 5. 26 μηδεὶς=μηδεμία. 28 κῶδ. *ἐξ ἀργῶς*, σλαβ. отъ дѣлъ.

κήν, τεκνικήν, υἱικήν, συγγενικήν, καὶ μὴν σαρκικὴν ἡδονήν, βιωτικὴν δόξαν, πᾶν εἴτι ἄλλο ἐπίκηρον καὶ μάταιον.

Ἐπεὶ τοιγαροῦν οὕτως προεθέμεθα καὶ οὕτως ἐβουλευσάμεθα, τὰ ἀκόλουθα τῷ σκοπῷ καὶ τῷ βουλεύματι ἡμῶν πράττοιμεν, ὦ ἀδελφοί, ἰχνηλατοῦντες τοὺς βίους τῶν ἁγίων, ἑπόμενοι τοῖς διδάγμασιν αὐτῶν, ῥυθμιζόμενοι τοῖς παραδείγμασιν αὐτῶν, οὐκ ἐπιβλέποντες ὧδε καὶ ὧδε, δεξιὰ καὶ ἀριστερά, διὰ τῶν ἴσως κατὰ τὴν παροῦσαν γενεὰν παρακρουομένων καὶ παραφθειρόντων τὸ ἀκριβὲς τῆς πολιτείας, ἀλλ' ὁδῷ βασιλικῇ πορευόμενοι, ἐν ᾗ ἐστιν ἡ ἀδιάκριτος ὑπακοή, ἡ θεομίμητος ταπεινοφροσύνη, ἡ οὐράνιος ἀπροσπάθεια, ἡ θεϊκὴ ἁγνεία, ἡ ἰσάγγελος ἀπάθεια, ἡ πραότης, ἡ εὐθύτης, ἡ ἀγάπη, ἡ εἰρήνη, ἡ προθυμία, ἡ ὑπομονή, ἡ ἐργασία, ἤ εἴτις ἄλλη θεοειδὴς πρᾶξις, ἀλλ' οὐ δαιμονική· ἡ γὰρ παρακοὴ καὶ ὁ γογγυσμὸς καὶ ἡ ὑπερηφανία καὶ ἡ κενοδοξία, ἡ ἀργία καὶ ἡ παῤῥησία, ἡ προσπάθεια καὶ ἡ φιλοσαρκία καὶ αἱ ἄλλαι τῆς κακίας ἐργασίαι ἐξ ἐναντίας ἵστανται τῶν ἀρετῶν. καὶ τὰς μὲν θεός ἐστιν ὁ γεννῶν, τὰς δέ, ὡς εἴρηται, ὁ Σατανᾶς, καὶ οὐδεμία "κοινωνία φωτὶ πρὸς σκότος", οὐδὲ "συμφώνησις Χριστῷ πρὸς Βελίαρ". υἱοὶ τοίνυν θεοῦ γένοισθε, υἱοὶ εὐπειθείας, υἱοὶ ὑπακοῆς, ἀλλὰ μὴ τέκνα ὀργῆς, τέκνα ἀπειθείας. υἱοὶ ἀπωλείας.

Βλέπε τοίνυν, πῶς προηγεῖσαι τῶν ἀδελφῶν σου καὶ τέκνων μου, ἀδελφὲ καὶ τέκνον Λουκιανέ, καθώς σοι ἐνετειλάμην, καθὼς πρέπει καὶ καθήκει, ἕξω πάθους ὤν, ἕξω κενοδοξίας, ἕξω προσπαθείας, ἕξω πάσης πονηρᾶς πράξεως, ἵνα ἐκ σοῦ τὸν τύπον λαμβάνοντες τὸν βίον αὐτῶν καλλιγραφῶσιν. ὡσαύτως καὶ σύ, τέκνον μου Δομετιανέ, τῆς αὐτῆς ἔσο καταστάσεως, τὰ ἴσα τῷ ἀδελφῷ σου πράσσων, εἰς περιποίησιν τῆς ἀδελφότητος. ἐν τοῖς δυσὶ μία ψυχὴ γνωριζέσθω, μᾶλλον δὲ ἐν τοῖς πᾶσι. μηδεὶς ἑτεροθελείτω, μηδεὶς ἰδιογνωμείτω, μηδεὶς ἀεργείτω, μηδεὶς γογγυζέτω, μηδεὶς νοθευέσθω. πάντες πρόθυμοι, πάντες εὐχάριστοι, εὐκίνητοι, εὐκατάνυκτοι, εὔκλητοι, εὐπρόσιτοι, ἀλληλοχαρεῖς, ἀλληλοφιλεῖς, ἄφθονοι, ἄζηλοι, ἵν' οὕτως ἐπιγινώσκηται ἐν μέσῳ ὑμῶν ὁ κύριος εἶναι· εἰ γὰρ "ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι", κατὰ τὴν ἐπιζητουμένην κατάστασιν, ἐκεῖ ἐστι, πῶς οὐχὶ ἐν ὑμῖν τοῖς πλείοσιν; εἴ περ καὶ ἐπειχθείητε καθ' ἑκάστην φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ ὁ θεὸς ἐν ὑμῖν, τί τὸ λυποῦν, ἢ στενοῦν, ἢ ἀποπνίγον; οὐδαμῶς, ἀλλὰ πάντα φορητά, κἂν ἐπίπονα εἶεν, εἴτε κατὰ ψυχήν, εἴτε κατὰ σῶμα. καὶ "εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν, ὅς γε τοῦ ἰδίου υἱοῦ", φησίν, "οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ πάντων παρέδωκεν αὐτόν"; καὶ εἰ οὕτως φυλαξόμεθα εὐζωεῖν, πῶς οὐχὶ σὺν αὐτῷ κληρονόμοι βασιλείας οὐρανῶν γενησόμεθα;

Ναί, ναί, παρακαλῶ ὑμᾶς, τέκνα· ναί, δέομαι ὑμῶν ἐκτενῶς· ἐκκαύσατε ἑαυτοὺς τῷ θείῳ φίλτρῳ, στομώσατε ἑαυτοὺς τῇ προθυμίᾳ, κραταιώσατε ἑαυτοὺς τῇ ἀνδρείᾳ, καθάρατε ἑαυτοὺς τῇ ἁγνείᾳ, φωτίσατε ἑαυτοὺς ταῖς προσευχαῖς, ταῖς ἐντεύξεσι, ταῖς ψαλμῳδίαις, ταῖς ἀγρυπνίαις, ταῖς κατανύξεσι, ταῖς ἐξαγορεύσεσι, τοῖς δάκρυσι, τοῖς στεναγμοῖς. ἀνακαλεῖσθε, ἀνακαλεῖσθε τὴν ἀρχαίαν πατρίδα, ἀφ' ἧς ἐκπεπτώκαμεν, λέγω δὴ τὸν Παράδεισον. ἐπιζητεῖτε, ἐπιζητεῖτε τὸ ἀγγελικὸν ἀξίωμα, ὅπερ ἀφῃρέθημεν διὰ τὸν πρῶτον ὄφιν, τὸν πικρὸν σύμβουλον, τὸν δόλιον ὑπασπιστήν. οὐ τοίνυν ἐπὶ πολὺς ὁ χρόνος τῆς ζητήσεως καί γε φθάζει τὸ ζητούμενον καὶ ἀπολῃψόμεθα, ἅπερ ἀπωλέσαμεν. τότε δὴ τότε, ὅτε ὁ θάνατος ἐνδημήσει, ἡ μετάθεσις ἡ ἀπὸ τῆς σαρκός, ἡ ἀπὸ τῆς φυλακῆς ἔξοδος. οὐκ ἔστιν οὖν χαίρειν τινὰ ἐν φυλακῇ, οὐδὲ ἐκεῖσε διανοεῖσθαι ἔχειν τὸν κλῆρον καὶ τὴν κατάσχεσιν, εὔχεται δὲ πᾶς ἀπὸ τῆς φυλακῆς ῥυσθῆναι. τοιοῦτοι τοίνυν ἐσώμεθα, ἐμπαράσκευοι ταῖς ἀγαθαῖς πράξεσιν, ἵνα κράζωμεν μετὰ τοῦ

26/27 Κορινθ. 2, ς', 14, 15. 29/30 Ἐφεσ. β', 3. 30 υἱοὶ ἀπωλείας] πρβλ. Ἰωάν. ιζ', 12. Θεσσαλ. 2, β', 3. 31 κῶδ. *προηγῆσαι*. 38 κῶδ. ἔσω.

7/9 Ματθ. ιη', 20. 15/17 Ῥωμ. η', 31, 32.

θείου Δαβὶδ πάντοτε· "ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου".

Ἐπεὶ δὲ θανάτου ἐμνήσθημεν, γινώσκετε, ἀδελφοί μου, ὅτι ἀδελφοὶ ἡμῶν ἐκοιμήθησαν ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτό. τίνες δὲ οὗτοι; ὁ ἀββᾶς Θεοδόσιος, ὁ Νῶνος, ὁ Ὀνησιφόρος· ἡ τριὰς πρὸς τὴν τριάδα ἀπῆλθεν· ἐλπίζομεν δέ, ὅτι αὐτῇ παρασταίη. τί λοιπὸν ἀγωνιῶμεν περὶ τὴν ἐργασίαν τῶν ἐντολῶν; ἐγγὺς κύριος τοῖς ὑπομένουσιν αὐτόν· ἐπὶ θύραις τὸ στάδιον. μὴ οὖν ὀλιγοψυχήσωμεν, μηδὲ ἀκηδιάσωμεν τὴν ἐπιμονὴν τῆς ζωῆς ἡμῶν, εἰς τὸ ἐνεργεῖν τὰ ἀγαθά, ἀλλ' ὅσον ὅσον ἐπιμείνωμεν καὶ φθάζει ἡ χαρά, φθάζει ἡ ἡμέρα τῆς ἐξόδου ἡμῶν, καὶ ἀπελευσόμεθα εἰς ζωὴν αἰώνιον, εἰς ἄκοπον ἀνάπαυσιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΝΘ',

Ἐπὶ εὐδοκίᾳ καὶ επικρατήσει, πρὸς τοὺς ἐν τοῖς Τριπυλιανοῖς ἀδελφούς.

Ἀδελφὲ καὶ τέκνον Ἀθανάσιε, ἐπεὶ εὐδόκησεν ὁ θεὸς λαβεῖν ἡμᾶς λύσιν τῆς ἐπικρατήσεως ἡμῶν, καθ' ὃ ἦμεν ὡρμημένοι, ἐξερχόμεθα εἰς τὸν Σακκουδίωνα. καὶ πρῶτον μὲν δεόμεθα τῶν εὐχῶν ὑμῶν, εἰς τὸ διασωθῆναι ἡμᾶς ψυχῇ τε καὶ σώματι ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ καὶ ἐπὶ πᾶσιν, οἷς πράσσομεν καὶ λέγομεν, εὑρεθῆναι ἡμᾶς κατ' εὐαρέστησιν κυρίου ποιοῦντας. δεύτερον ὑπομνήσκομεν, ὅτι οὐκ ἀπαθῶς ἔχομεν περὶ ὑμῶν, οὔτε ἀμερίμνως, ἀλλ' ἐν τῇ ταπεινῇ ἡμῶν ψυχῇ ἔχομεν ὑμᾶς ἀνατεθεωρημένους κατὰ πάντα καιρόν, καὶ μάλιστα κατὰ τὸν νῦν, διότι ἐν πολλῷ κόπῳ καὶ πόνῳ σωματικῷ διὰ τὸ ἐνιστάμενον θέρος ἐστέ. δυναμώσαι οὖν ὑμᾶς κύριος ὁ θεὸς τῇ εὐχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν εἴς τε τὸν ἔσω καὶ τὸν ἔξω ἄνθρωπον, πρὸς τὸ ἐνεγκεῖν ὑμᾶς γενναίως τά τε ἀοράτως καὶ ὁρατῶς ἐπισυμπίπτοντα ὑμῖν. εἰσὶ δὲ πολλά· τίς γὰρ συνήσει τὰς τοῦ διαβόλου πανουργίας, τὰς παγίδας καὶ τὰ σκάνδαλα; νῆφε οὖν γρηγόρως, τέκνον Ἀθανάσιε καὶ αὐτὸς τέκνον Ἐφραίμ, πρὸς τὸ καθηγεῖσθαι κατὰ λόγον, πρὸς τὸ κυβερνᾶν θεοπρεπῶς τοὺς ἀδελφοὺς ὑμῶν· οὐ γάρ ἐστι μικρὸν τὸ ἔργον, οὐδὲ πολλῶν τὸ κατόρθωμα, ἀλλὰ καὶ λίαν τῶν σπανίων· "τίς γάρ ἐστι", φησίν, "ὁ δοῦλος ἐκεῖνος ὁ πιστός, ὃν εὑρὼν ὁ κύριος αὐτοῦ καταστήσει ἐπὶ πάσης τῆς οἰκείας αὐτοῦ";

Οἰκονομεῖτε οὖν τὰ πρὸς χρείαν τῶν ἀδελφῶν πνευματικῶς τε καὶ σωματικῶς, τέκνα μου, δεόντως, καὶ διεγείρετε ἑαυτοὺς ἑκάστοτε πρὸς τὰς ἐργασίας τὰς θεούσας, τὴν φιλανθρωπίαν τῇ ἀποτομίᾳ συγκιρνῶντες, τὸ ἁπαλὸν τῷ αὐστηρῷ, τὸ ἐπιτακτικὸν τῷ ἀνεκτικῷ, τὸ πρᾶον καὶ εὐσύμμικτον τῷ ἀπαρρήσιάστῳ καὶ αἰδεστικῷ, κατὰ τὴν ἑκάστου ἰδιότητα, κατὰ τὸ ἑκάστου πρόσφορον. οἱ μὲν γὰρ δέονται κέντρου, ὡς διδάσκουσιν οἱ πατέρες, οἱ δὲ χαλινοῦ, ἄλλοι ἐπιτιμήσεως, οἱ δὲ ἀφέσεως καὶ ἕτεροι ἐλεγμοῦ, ἄλλοι δὲ παροράσεως. καὶ ἁπλῶς κατὰ τὸ πολυειδὲς τῶν χαρακτήρων πολυειδῆ εἶσι καὶ ποικίλα τὰ ἑκάστου ἤθη τε καὶ πάθη, καὶ πρὸς τοῖς ἑκάστου πάθεσι καὶ ἤθεσιν ὁ ἰατρικὸς λόγος ὀφείλει γίνεσθαι. πλὴν ὅτι τοῖς ὑψαύχεσι καὶ λανθάνειν δοκοῦσι, τὸ πάντα ἐπιμελῶς ἐπιτηρεῖν ἀναγκαῖον· τοῖς εἰς προὔπτον ἀπειθοῦσιν ἢ παρακούουσιν ἀναγκαία ἡ τῆς ἀγανακτήσεως ἐπιτίμησις, πρὸς τὸ μὴ καὶ τοὺς ἄλλους αὐθαδιάζεσθαι. ὑμεῖς δὲ πάντες χάριτι Χριστοῦ οὐκ ἐστὲ τέκνα ὀργῆς, οὐδὲ ἀπειθείας, ὑπακοῆς δὲ καὶ εὐπειθείας· θεοῦ υἱοὶ ἐχρηματίσατε· δι' αὐτὸν γὰρ ἐληλύθατε πάντες ἀπὸ κόσμου ἐνταῦθα καὶ δι' αὐτὸν αἵματος καὶ σαρκὸς κοινωνίαν ἐφύγετε, καὶ ἕνεκα αὐτοῦ τὸν σταυρὸν ἐπὶ τῶν ὤμων ἤρατε, καὶ χάριν τῆς αὐτοῦ ἀγάπης πάντα σκύβαλα ἡγήσασθε· καὶ ὑπὲρ τῶν ἐπηγγελμένων παρ' αὐτοῦ ἀγαθῶν

---

1 Ψαλμ. ρμα', 8. 7 Νῶνος=Νόννος. 24 κῶδ. ὑμᾶς. 37/38 κῶδ. δυναμάσει.

9/12 Ματθ. κδ', 45. Λουκᾶ ιβ', 42. 36/37 πρβλ. Ἐφεσ. β', 3. 42 σκύβαλα] Φιλιπ. γ', 8.

ἐν τῷ μέλλοντι αἰῶνι οὐδὲν εἰς προτίμησιν προεκρίνατε, ἀλλὰ καταλιπόντες καὶ γένος καὶ πατρίδα καὶ οἰκείους καὶ φίλους καὶ εἴτι ἄλλο ἦν ὑμῖν κατὰ κόσμον ἐπιθυμητόν, ἐξήλθετε καὶ ἤκετε ὡς "ξένοι καὶ παρεπίδημοι" κόσμου εἰς τὸ μέγα τοῦτο τῆς μοναδικῆς πολιτείας ἐπάγγελμα. ἀξιάγαστος ἡ ἀναχώρησις ὑμῶν, πολυμακάριστος ἡ αἵρεσις ὑμῶν. καὶ τίς οὕτως ἀναβλέψειε καλῶς, ὡς ὑμεῖς; ἀλλὰ παρακαλοῦμεν καὶ δεόμεθα, ἵνα ἀξίως τῆς ὑψηλῆς πολιτείας ταύτης βιοτεύωμεν, ἵνα μὴ ἔξω κόσμου ὄντες τὰ ἔνδον κόσμου πράττωμεν, ἵνα μὴ σάρκας φυγόντες σαρκικῶς ζήσωμεν. τοῦτο δέ, ὡς γίνεται καὶ ἔστι, γινώσκετε, κἂν ἡμεῖς μὴ λέγωμεν· εἰ γὰρ φιληδονοῦμεν, εἰ γὰρ φιλοπαθοῦμεν, εἰ τὰ θελήματα ἡμῶν ἱστῶμεν, εἰ πρωτείων ἀντιποιούμεθα, εἰ φιλονικοῦμεν περὶ μανδύων, περὶ ἱματίων, περὶ κουκουλλίων, περὶ στάσεως, περὶ γραφείων, περὶ πινακιδίων, περί τινων οὖν ἄλλων μικρῶν καὶ μηδαμινῶν, πῶς οὐχὶ σαρκικοί ἐσμεν; πῶς οὐχὶ κοσμικὸν ἡμῶν τὸ ἀγώνισμα;

Μηδαμῶς οὖν, ἀδελφοί μου, μηδαμῶς, μηδὲ τὸ ἁγιώτατον ἡμῶν τάγμα εἰς τοιαῦτα γελοιώδη καὶ νηπιώδη ἰδιώματα ὑποβάλλωμεν. δόξα μοναχοῦ τὸ ἀδοξεῖσθαι, τὸ ὀνειδίζεσθαι, τὸ φέρειν διὰ θεὸν μέμψιν, ἀλλὰ μὴ ἄξια ὀνείδους πράττειν· εἰ δὲ καὶ ἄξια, ἀρκετὸν τὸ φέρειν μόνον· τὸ δὲ καὶ ποιεῖν καὶ μὴ φέρειν παντάπασιν ἀλλότριον. καλλώπισμα μοναχοῦ τὸ ἀκαλλώπιστα διώκειν· εὐμορφία μοναχοῦ οὐ τὸ διασείεσθαι καὶ ἀλαζονεύεσθαι καὶ σοβαρεύεσθαι καὶ τὰ χειρίδια πλύνειν καὶ στιβίζεσθαι, ἵν' οὕτως εἴπω, πορνικῶς, διὰ ζώσματος καὶ ἐνδύσεως καὶ ὑποδήσεως, ἀλλὰ τὸ τὰ ἤθη τῆς ψυχῆς κατεσταλμένα ἔχειν, τὸ κατὰ τῶν παθῶν ἵστασθαι ἀνενδότως, τὸ εἰρηνεύειν ἐν ἑαυτῷ ἀπὸ τῶν ἐπιθυμιῶν τῶν ἀτόπων· προσθήσω καὶ τὸ αὐχμηρὸν εἶναι καὶ ἄνιπτον ὡς ἐπὶ τὸ πολὺ καὶ δύσειμον, κακοφόρον, κακένδυτον, δι' ἐπωμίου ἐμπαλωμένου, διὰ κουκουλλίου ὡσαύτως [καὶ] λοιπῶν φορεμάτων. τὸ δὲ ζητεῖν ἀλλάγματα καινούργια καὶ λεπτότατα καὶ εὔβαφα, τοῦτο στρηνιασμὸς καὶ πορνείας εὐτρεπισμός. καὶ ὄντως μέγα ἐστὶ τὸ ἐκφυγεῖν τὰς παγίδας τοῦ διαβόλου καὶ μετὰ τὴν φυγὴν τῶν εἰρημένων. τὸ δὲ καὶ μετὰ τούτων εἶναί τινα, πῶς οὐκ αὐτόκρημνον καὶ αὐτοβύθιστον γενέσθαι τοῖς πάθεσι; δέομαι οὖν ὑμῶν, διὰ τὴν ἀγάπην τοῦ κυρίου ἐλεήσατε κἀμὲ τὸν ἀνήλεον καὶ ὑμᾶς τοὺς ἠλεημένους τῷ κυρίῳ· μή με παραδώσητε τῷ αἰωνίῳ πυρὶ ἔτι μᾶλλον κατακρίνεσθαι ἐκ τῆς κακίστης ὑμῶν ἀναστροφῆς· μᾶλλον δὲ διὰ τῆς ἐναρέτου ὑμῶν διαγωγῆς καὶ τὸ ἐκ τῶν οἰκείων μου κακῶν ὄφλημα ἀπολυτρώσασθε, ἐνέγκατέ με εἰς ζωὴν ἀπὸ θανάτου.

Φυλάττετε τοίνυν τὰ διατεταγμένα· μὴ ἀπολεσθαργεῖτε τὰ πατρικὰ παραγγέλματα· μὴ παρακρούεσθε τοὺς λόγους τῶν ἁγίων· μὴ ἀναισθητεῖτε ὡς βεβαρημένοι ταῖς ἀκοαῖς ἀπὸ πλημμελειῶν· μὴ τὸ παρὸν ἡδὺ διώκοντες τοῦ μέλλοντος ἀφρόντιστοί ἐστε. ἥξει, τέκνα μου, ἥξει καὶ οὐ χρονιεῖ ὁ μέλλων κρῖναι τὰ σύμπαντα, καὶ πρὸ τῆς κοινῆς ἐπιδημίας ἥξει ὁ μέλλων χωρίζειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος φοβερὸς ἄγγελος· ἥξει ὁ χρόνος τῆς ἀσθενείας· ἥξει ὁ χρόνος τῶν πυρετῶν· ἥξει ὁ χρόνος τῆς ἐκπνεύσεως. φοβερὰ καὶ ταῦτα καὶ δύσοιστα καὶ τοσοῦτον, ὥστε μὴ φέροντες ἀποθνήσκομεν. τί λοιπὸν μετὰ τὸν χωρισμόν, ὅτε ἄγγελοι παραγίνονται; ποῖον μέρος ἄρα νικήσει λαβέσθαι ἡμᾶς; μικρὸν διήγημα ὑμῖν παραθήσω ἐνταῦθα, εἰ καὶ ἐπὶ προσώπου ἐξωτέρου ἐστί, διὰ τὸ ὠφέλιμον. λέγουσιν ἐν τῷ μέλλειν ἀποθνήσκειν τὸν πολυθρύλλητον λογοθέτην ἐκεῖνον Σταυράκιον, ὅτι ἐπ' αὐτῶν ὢν τῶν τελευταίων ἀναπνοῶν, ἱδρῶν καὶ τρέμων καὶ τρίζων τοὺς ὀδόντας ἐφώνει λίαν ἀδρανῆ, ἀνακαλούμενος τὸ "βοηθεῖτε, ἐλεᾶτε" καὶ "κύριε, ἐλέησον! ὅσος λαὸς δαιμονικὸς μαῦρος καὶ δυσειδὴς ἐκ τῆς θαλάσσης ἐκβαίνει καὶ ἔρχεται πρός με"! πρὸς παραθαλασσίαν ἦν γὰρ κείμενος. καὶ κἂν οἱ παρόντες οὐκ ἐθεώρουν, ἐθεώρει ἐκεῖνος καὶ ἠσθάνετο καὶ

---

5 Ἑβρ. ια', 13. 11 κῶδ. *βιωτεύωμεν*. 19 κῶδ. *κουκουλίων*· οὕτω καὶ ἀλλαχοῦ. 22 κῶδ. *ὑμῶν*. 24 κῶδ. *ὑμᾶν*. 41 δύσειμον = δυσείμονα.

πικρῶς ἐλογοθετεῖτο ὁ λογοθετήσας πολλούς. τίς οὖν, ὡς εἶπον, ἐφ' ἡμῶν νικήσει; ἆρα ὁ ἀγγελικὸς χορός, ἢ ὁ δαιμονικός; ἐκεῖνοι ἡμᾶς πάντως ἀσπάσονται εὐθύς, οὓς καὶ πεφιλήκαμεν· ἐὰν τὴν ἀγνείαν, τὴν ὑπακοήν, τὴν ταπεινοφροσύνην, τὰς ἄλλας ἀρετάς, οἴδαμεν, ὅτι οἱ ἄγελοι· εἰ δὲ τὴν κενοδοξίαν, τὴν θρασύτητα, τὴν ἀντιλογίαν, τὴν εὐτραπελίαν, τὰ γέλοια, τὴν ὑπερηφανίαν, οἴδαμεν πάντως, ὅτι οἱ δαίμονες· δαίμονες γάρ εἰσι τὰ πάθη, ὥσπερ καὶ αἱ ἀρεταὶ ἄγγελοι γάρ εἰσι. τίς οὖν νικήσει ἆρα; τίς λάβει τὴν ψυχήν μου; ἐλεήσατέ με, ἐλεήσατέ με. ἀγαπήσωμεν κοινῇ πάντες τὰς ἀρετάς, ἵνα οἱ ἄγγελοι ἡμᾶς λάβωσι καὶ ἐκεῖνοι νικήσωσι· μὴ τοὺς δαίμονας, ἵνα ἐκεῖνοι ἡμᾶς λάβωσι καὶ νικήσωσι, καὶ οὐαὶ οὐαὶ καὶ ὤφελον μὴ ἐγεννήθημεν· δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται, καὶ μάλιστα ἐν τῷ σχήματι τούτῳ, καὶ μάλιστα ἐὰν ἱερεῖς, καὶ μάλιστα ἐὰν ἡγούμενοι εἶεν ἤ τινες τῶν προεχόντων.

Μὴ καταμέμψησθε τὸν λόγον μου· οὐ γὰρ καταπτοεῖν ὑμᾶς ἀθέσμως ἐπείγομαι, ἀλλὰ χρεωστῶν, ἀλλὰ ἀγαπῶν, ἀλλὰ φιλῶν τὰ ἐμὰ τέκνα προλέγω τὰ δέοντα. εὕρω τοίνυν ὑμᾶς, εἴπερ κελεύει ὁ θεὸς ζῆν καὶ ὑποστρέφειν, πάντας ὑγιαίνοντας, πάντας εὐδρομοῦντας, πάντας ὑπηκόους, πάντας εὐηνίους ἢ μὴ ὑποπεσόντας εἰς ὃ μὴ θέμις, ἢ ὑποπεσόντας εὐκόλως δεξαμένους τὰ ἐπιτίμια, κἂν ἐν ἐλλείψει ἔργου, κἂν ἐν κανόνος παραλείψει, ἑτέρας ὡρισμένης ψαλμῳδίας, κἂν ἐν παρακοῇ ἐγκλήματι, κἂν ἐν γογγυσμῷ, κἂν ἐν ψιθυρισμῷ, κἂν ἐκ κλάσματος σκεύους, κἂν ἑτέρου τινὸς συντρίμματος· τὰ γὰρ ἐπιτίμια ὑποδεχόμενοι πάλιν ὑγιεῖς γίνεσθε καὶ οὐδὲ ἐγκληθήσεσθε οὔτε παρὰ θεοῦ, οὔτε παρ' ἐμοῦ. μόνον ὑποτάγητε τοῖς πρώτοις ὑμῶν καὶ οἱ πρῶτοι ἀλλήλοις, καὶ ὁ κύριος τῆς εἰρήνης, εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ἔστω μετὰ πάντων ὑμῶν, τέκνα ἠγαπημένα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

2 κῶδ. *ὑμῶν.*

ΚΑΤΗΧΗΣΙΣ Ξ'.

Περὶ ἐκκοπῆς τοῦ θελήματος ἡμῶν, πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφὲ καὶ τέκνον μου Σωφρόνιε, ἔχου τῆς διακονίας σου ἀνολιγώρως καὶ ἐπιμελῶς καὶ ἐπιτεταμμένως· ἀναγκαῖον γὰρ τὸ αὐτὸ πάντοτε γράφειν καὶ διεγείρειν σου τὸ πρόθυμον. νῆφε οὖν ἐν πᾶσι διεξάγων τοὺς ἀδελφούς σου, συνεπόμενον ἔχων καὶ σύμβουλόν σου τὸν ἀββᾶν Ἀκάκιον, τὸ τέκνον μου. ἐπισκόπει, τήρει τὰς διεξόδους ἑκάστου, πῶς ἀναστρέφονται, πῶς κινοῦνται, πῶς διαγίνονται, ὡς ἂν εἰς δόξαν θεοῦ ἡ ζωὴ ὑμῶν διαφαίνηται καὶ ἡμῖν καὶ τοῖς πέριξ ὑμῶν, κατὰ τοὺς κειμένους ὅρους καὶ κανόνας τῶν ἁγίων πατέρων ἡμῶν, κατὰ τὰς ἐντολὰς τῆς ταπεινώσεως ἡμῶν, κατὰ τὰ κείμενα ἐπιτίμια· ἐν ᾧ γὰρ τόπῳ ταῦτα πολιτεύεται καὶ ἐνεργεῖται, ἐκεῖ θεὸς θεραπεύεται, ἐκεῖ φῶς ἀναλάμπει, ἐκεῖ εἰρήνη ἐμπαῤῥησιάζεται, ἐκεῖ χώραν ὁ Σατανᾶς οὐκ ἔχει, ἐκεῖ πόῤῥω τὰ πάθη. ὅπου ταῦτα ἀνεπιμέλητα καὶ ἄπρακτα μένουσιν, ἐκεῖ πάντως τὸ ἐναντίον, ἀντὶ τῶν ἀγαθῶν τὰ κακά, ἀντὶ τοῦ φωτὸς σκότος, ἀντὶ τοῦ Χριστοῦ ὁ Βελίαρ. διὸ γρηγόρει, πρόσεχε, ἀναθεωρῶν τὰς καρδίας τῶν ἀδελφῶν διὰ τῆς ἐξαγορεύσεως, καὶ τυπῶν αὐτοὺς εἰς πᾶν ἔργον ἀγαθόν, μέσος ὢν καὶ μήτε ὡς ὄῆθεν ἡσυχίας καὶ προσευχῆς καὶ ἀναγνώσεως ἐῶν τὰ πράγματα κατὰ τὴν σωματικὴν ζωὴν διαφθείρεσθαι, μηδ' αὖ πάλιν διὰ τῆς ἀνενδότου καὶ ἐπιμόνου πρὸς αὐτὰ σχολῆς καὶ τριβῆς τὸν νοῦν καταβαπτιζόμενος ἀπὸ τῆς περὶ θεὸν μνήμης καὶ θεωρίας· οὗτος γὰρ ὅρος εὐσεβείας. καὶ εἴπερ σὺ οὕτως βιοῖς, ἐπόμενόν ἐστι καὶ τοῖς ἀδελφοῖς σου, κατὰ τὴν μίμησίν σου, τὸ αὐτὸ ἀναλαμβάνειν καὶ πράττειν· οὔτε γὰρ διὰ τὸ ἐσθίειν καὶ πίνειν καὶ ἐνδύεσθαι ἀπεταξάμεθα, ἢ ἐν τούτοις ἐστὶ τὸ σωτήριον ἡμῶν, οὔτε πάλιν διὰ τὸ ἀργοὺς ἡμᾶς καὶ ἀκινήτους καὶ ἀτρόφους καὶ ἀνενδύτους εἶναι ἐληλύθαμεν εἰς τὸ σχῆμα τοῦτο, ἀλλὰ

5 κῶδ. *ἀνωλιγώρως.* 14 κῶδ. *διαφαίνοιται* - - *πέρυξ.* 28 κῶδ. *μέσως.*

διὰ τὸ κατὰ καιρὸν ἀμφότερα ἐπιτηδείως ἐπιτελεῖν, κατὰ τὸ ἀποστολικὸν λόγιον, τὸ φάσκον· "πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω", ἐπεὶ καὶ αὐτὸς ὁ μέγας ἀπόστολος φάσκει δωρεὰν ἄρτον ποτὲ μὴ βεβρωκέναι, ἀλλὰ ταῖς χρείαις αὐτοῦ καὶ τοῖς μετ' αὐτοῦ οὖσιν ἐπαρκεῖν τὸν ἐκ τῶν ἁγίων αὐτοῦ χειρῶν κόπον. ταῦτα πράττε, ἐν τούτοις ἴσθι· μηδείς σε τῆς νεότητος καταφρονείτω· μὴ παρόρα τὰ ἐκζητήσεως χρήζοντα, ἵνα μὴ διὰ τῆς δῆθεν χρηστότητος ἀψηλάφητα μένοντα τὰ μικρὰ εἰς μείζονα κακὰ φέρῃς τὴν ἀδελφότητα. λαθροφαγεῖ τις; ἐπιτιμάσθω. ἰδιαζόντως ἔχει τι ἄνευ εὐλογίας μέχρι καὶ τοῦ τυχόντος; ἐπιτιμάσθω. μεταδιδοῖ, μήτι ἔχων ἐξουσίαν, βρῶμα, ἢ ἀντικαταλλαγὴν ποιεῖται πινακιδίου ἤ τι τοιοῦτο; ἐπιτιμάσθω. γογγύζει; ὡσαύτως. παρακοὴν ὤφλησεν; ἐπιτιμάσθω. οὐ θέλει ἐργάζεσθαι; μηδὲ ἐσθιέτω. φατριάζει ἢ κλέπτει; ἀφοριζέσθω, καθὼς εἰσι τὰ ἐπιτίμια.

Ταῦτα δέ, τέκνα καὶ ἀδελφοί, ὑμεῖς ἐπακηκοότες, μὴ βαρέως φέρητε, μηδ' ἐξ ἀσπλαγχνίας δοκεῖτε ἐπιλέγειν με ταῦτα, ἀλλ' ἐξ ἄγαν φιλοστοργίας καὶ πόνου τῆς περὶ τῶν ψυχῶν ὑμῶν σωτηρίας, ἐφ' οἷς λόγον ἀπαιτούμεθα. καὶ τὸ κρῖμα βαρὺ ἐπὶ τὴν κεφαλὴν ἡμῶν, ἐὰν μὴ ἀναγγείλωμεν καὶ ἀναγγέλλωμεν, ἐὰν μὴ ἀσφαλιζώμεθα καὶ νουθετῶμεν, ἐπεὶ καὶ πατρὸς ἀγαθοῦ ἔργον, μὴ ἐᾶν τὰ τέκνα ἀπαίδευτα, ἀλλὰ ταῖς μικραῖς ἀπειλαῖς καὶ προσκρούσεσι προοδοποιεῖσθαι αὐτοῖς τῆς αἰωνίου ζωῆς τὴν ἀπόλαυσιν. ψεκτὸς δὲ καὶ βδελυκτὸς πατὴρ ὁ Ἠλί, καθὼς γέγραπται, εἰς τὸ μὴ κατὰ λόγον ἐπιπλήττειν καὶ σφοδρῶς ἐπιτιμᾶν τοὺς ἑαυτοῦ υἱοὺς παρανομοῦντας, ὃς καὶ μετὰ τῶν υἱῶν ἀπώλετο διὰ ταύτην μόνην τὴν ὑπόθεσιν. διὸ στῆτε γενναίως πρὸς τὴν ἄσκησιν ὑμῶν, πρὸς τὰς διακονίας, ἕκαστος πρὸς πᾶσαν ἀγαθὴν ἐπιτήδευσιν, ἵνα τῇ κατ' ἀρετὴν ὑμῶν προκοπῇ καὶ τὰ σωματικὰ συναυξάνωνται. προσαγορεύομεν ἅπαντας. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστω μετὰ πάντων ὑμῶν, ἀδελφοὶ τιμιώτατοι.

ΚΑΤΗΧΗΣΙΣ ΞΑ'.

Περὶ τοῦ προσέχειν ἑαυτοῖς, πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, ἀναψύχομεν, ὁσάκις ἂν ἐπιστῇ τις τῶν ἀδελφῶν ἐκ τῶν αὐτόθι, ἢ ἀπαίρει ἐκ τῶν ἐνταῦθα, καὶ πρὸς τὸ ὀξὺ ἀπαλλαττόμεθα μερίμνης διερωτῶντες καὶ διαμανθάνοντες τὰς ὑγείας ὑμῶν καὶ τὰ συμβαίνοντα πολυτρόπως. καὶ ὁπόταν μὲν διδαχθῶμεν καλῶς ἔχειν τὰ καθ' ὑμᾶς, εὐθυμίας καὶ χαρᾶς πληρούμεθα· ἐπὰν δὲ ἐναντίως, πληττόμεθα καὶ κατατιτρωσκόμεθα καὶ περιεχόμεθα τῇ λύπῃ. τὸ δὲ νῦν ἔχον εὖ μεμαθηκότες παρὰ τοῦ πρεσβυτέρου Μελετίου καὶ τοῦ ἀδελφοῦ Σιλουανοῦ, ἠγαθύνθημεν καὶ παρεκλήθημεν κατὰ ψυχὴν οὐ μετρίως, καὶ χάρις θεῷ, καὶ εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἐπὶ τῇ ἐν ἅπασι κατευοδώσει ὑμῶν. καὶ μακάριοί ἐσμεν, τέκνα, εὐπραττοῦντες καὶ εὐβιοῦντες καὶ τῆς τῶν οὐρανῶν βασιλείας τὰς ἀπολαύσεις ἀποκαρπούμενοι διὰ τῆς μικρᾶς ὑμῶν ταύτης καὶ μηδαμινῆς κακοπαθείας, ὅτι πᾶς ὁ μοναχικὸς κόπος, ὡς οἱ πατέρες βοῶσιν, ἐλαφρός ἐστι καὶ οἷον μικρά τις ἀνία πρὸς τὴν ἀτελεύτητον καὶ μακαρίαν εὐφροσύνην.

Ἐὰν οὖν ἐπιμένοντες ἐπιμένητε, ὡς εἴρηται, "χαίρετε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς". ἀλλὰ προσοχῆς χρεία καὶ ἑκάστοτε τῆς ἡμέρας καὶ τῆς ὥρας ἐπανάληψις τοῦ νοὸς ἡμῶν ποῦ ποτέ ἐσμεν καὶ ποῦ μέλλομεν μεθίστασθαι καὶ ποταπὴ ἡ ἀναχώρησις τοῦ κόσμου, ἡ ἀπάντησις τῶν ἀγγέλων, ἡ παράστασις τοῦ θεοῦ, ἡ ἀνάκρισις τοῦ κριτοῦ, ἡ ἀπόδοσις τῆς ἐκ δεξιῶν καὶ τῆς ἐξ εὐωνύμων παραστάσεως. τούτοις ὁρθρίζεσθε, τούτοις μελετᾶτε, ἐν τούτοις ἀναστρέφεσθε. ἤδη μαρτύρομαι ὑμῖν ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων αὐτοῦ, ἵνα ἀξίως τοῦ ἐπαγγέλματος περιπατοῦντες μὴ

---

3 Κορινθ. 1, ιδ', 40. 5 Φιλιπ. 2, γ', 8. 12 κῶδ. *φέρειν*. 29 κῶδ. *ἀσφαλιζόμεθα καὶ νουθετοῦμεν*. 37 Βασιλ. 4-18.

30/31 Ματθ. ε', 12.

ἐκκλίνητε εἰς τὰ ἀριστερά, μηδὲ συληθῆτε εἰς τὴν ἁμαρτίαν, μηδὲ δελεασθῆτε εἰς τὴν παῤῥησίαν καὶ μέχρι γελοιάσματος, γωνιάσματος, προσεγγίσεως παντὸς μέλους ἤ τινος ἄλλου τῶν γνωρίμων ὑμῖν. βλέπετε, βοῶ, καὶ βοῶν οὐ παύσομαι· τὰ ὦτα ἀνοίξατε καὶ τὴν καρδίαν κάητε καὶ σύνετε ἃ λέγω, καὶ διαφυλάττεσθε ἀσινεῖς, κοπιῶντες ὑπὲρ ἡμῶν, ὑπὲρ τῶν ἀσθενῶν, ὑπὲρ τῶν πτωχῶν, ἵν' ὡς ἐργάται τοῦ ἀμπελῶνος θεοῦ κομίσησθε τὸν μισθὸν πολὺν καὶ ἄπειρον.

Ἤκουσταί μοι, ὡς ἀλογία γίνεται ἐξ ὑμῶν· λέγετε γὰρ καὶ ἀποχωρίζετε καὶ ἀπομερίζεσθε, "ζεῦγος ἐμόν" φάσκοντες "καὶ μὴ μιχθῇ μου ὁ χόρτος, καὶ τοῦτο καὶ τὸ ἄλλο ἐμοὶ ὁρᾷ". καὶ ταῦτα παραλυτικά εἰσι τῆς καταστάσεως. τί λέγουσιν οἱ πατέρες; ὅτι ἐνδέχεται μηδὲ πινακίδιον λέγειν τινὰ ἴδιον, μηδὲ γραφεῖον, καὶ ὑμεῖς, ὡς ἥρξασθε, ταχὺ διαμερίζεσθε, καὶ τὰ οἰκήματα μεμέρισται καὶ ἡ ἀδελφότης. οὐχὶ τῷ ἐμῷ θελήματι οἱ πάντες κάμνετε; οὐχὶ καὶ δι' ἐμέ ἐστε ἐν τοῖς αὐτόθι; τί λοιπὸν ματαιοκοπεῖτε οἱ τοιοῦτοι; ἀλλ' εἰ καὶ ἐγένετο, ἀπάρτι μὴ γένηται. ναί, τέκνα μου, ὑπομνήσκω ὑμᾶς μετὰ παρακλήσεως, μηδὲ εἰκῇ δράμωμεν καὶ πυκτεύσωμεν, ὡς εἰς ἀέρα δέροντες, ἀλλ' ἐν πάσῃ ἀγαθῇ ἀναστροφῇ καὶ ἔργῳ καὶ λόγῳ καὶ ἐπιτηδεύματι ἑαυτοὺς κατευθύνωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΞΒ'.

Περὶ ἀκακίας, πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες. ἐξ ὅτε εἰσῆλθεν ὁ οἰκονόμος, μὴ μαθόντες τὰ περὶ ὑμῶν, τέκνα, ἀσχάλλομεν καὶ ἀδημονοῦμεν, τί καὶ ποταπῶς περισῴζοισθε ὑγιαίνοντες ψυχικῶς τε καὶ σωματικῶς. κἂν γὰρ ὧδε καθήμεθα, ὡς αὐτόθι ὄντες τὸ μεριμνᾶν ἔχομεν καὶ ὁρᾶν ὑμᾶς κατὰ ψυχήν. τοῦτο νύκτωρ καὶ μεθ' ἡμέραν, τοῦτο πρὸς πᾶσαν ὥραν καὶ ἁμαρτωλὸν εὐχὴν ἡμῶν, ἵν' ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρακαλῆται καὶ ἀγαθύνηται καὶ δυσωπῆται δι' ἱκεσιῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, ἐπὶ τῇ σωτηρίᾳ καὶ ἀγαθοπραγίᾳ ὑμῶν. τίς ἄρα ἡ κατάστασις ὑμῶν ἄρτι ἡ εὐκταία καὶ ζηλωτὴ καὶ εἰρηνικὴ καὶ φίλη ἡμῖν; πάντων ὑπακουόντων καὶ πάντων ταπεινουμένων, καὶ πάντων διαγωνιζομένων, ἀγρυπνούντων, ψαλλόντων, προσευχομένων, ἐξαγγελλόντων, εἰρηνευόντων, κοπιώντων, ὑποπιπτόντων, βιαζομένων, ὑπομενόντων, κατενενυγμένων; ἐὰν γὰρ οὕτως ἐστέ, ὄντως οἰκεῖ ἐν ὑμῖν πνεῦμα ἅγιον καὶ ὡς ἀληθῶς μαθητεύετε τῷ σωτῆρι καὶ τοῦ ἁγίου σχήματος οὐ νοθεύετε τὴν σεβασμιότητα, καὶ τάχα ἕως τῆς εἰσόδου τοῦ οἰκονόμου, ἐπεὶ οὐχ ὁλικῶς ἀπεκατεστάθητε· νῦν δὲ χάριτι Χριστοῦ χρονισάντων ὑμῶν, πάντως ὅτι ἐβεβαιώθητε καὶ ἐστηρίχθητε καὶ συνεστοιβάσθητε καὶ ἀπήρξασθε παντὸς ἀγαθοῦ καὶ σωματικοῦ πράγματος.

Σὺ μὲν οὖν, τέκνον Ἀκάκιε, ἀκάκως πορεύθητι—"ἄκακοι γάρ", φησί, "καὶ εὐθεῖς ἐκολλῶντό μοι"—, ἔχων καὶ τὸ πανοῦργον τοῦ ὄφεως· ἐπειδὴ γὰρ ἄρχων εἶ ἄρτι καὶ κεφαλή, τὸν ἐμὸν ἐπέχων τόπον, ὅρα τοῖς ὀφθαλμοῖς καὶ τοῖς ἔσω καὶ τοῖς ἔξω τὰ τῶν ἀδελφῶν σου, καὶ ἄκουε τέσσαρσιν ἀκοαῖς σου, μή τις ἀδελφῶν ἐξ ἀφυλαξίας ἐμπέσῃ εἰς κρημνὸν καὶ βάραθρον ἁμαρτίας ἐν τῷ μὴ προαναγγέλλειν σε, ἐν τῷ μὴ διαμεριμνᾶν σε καὶ διαζητεῖν τοῦτον κἀκεῖνον. καὶ πῶς; φησί. σὺ ἀδελφέ, τί οὕτως καὶ διατί τοιῶσδε οὐκ ἐπορεύθης; ἢ καὶ ἀποδεχόμενος καὶ προσευχόμενος τοῖς ἀξίοις νόει ἃ σοι λέγω· δῴη γάρ σοι κύριος σύνεσιν. καὶ πρὸς ὑμᾶς λέγω· ἴδοιμι οὖν πῶς αὐτῷ μέλλετε ὑποτάσσεσθαι οἱ πάντες τῶν ἀδελφῶν, καὶ μά-

3 κῶδ. *γονιάσματος.* 13 κῶδ. *λέγεται.* 20 κῶδ. *διαμερίζεσθαι.* 26 κῶδ. *ἠκεῖ.* 27 εἰς ἀέρα δέροντες] Corpus paroem. II, σ. 111. ἀριθ. 17 ἐν ὑποσημ.

6 κῶδ. *παρακαλεῖται καὶ ἀγαθύνεται καὶ δυσωπεῖται.* 15 κῶδ. *κοπιόντων.* 21 ἀπεκατεστάθητε] οὕτω μετὰ διπλῆς ἐν τῷ κώδικι αὐξήσεως. 27 Ψαλμ. κδ', 21 || κῶδ. *εὐθὺς.*

λιστά γε οἱ πρῶτοι, ἐξ ὧν καὶ οἱ ἄλλοι συνέψονται· εἴ τι γὰρ ὁρᾷ ὁ ἔσχατος τοῦ πρὸ αὐτοῦ, τοῦτο καὶ ποιήσει. σύ τε πάλιν, ἀββᾶ Διονύσιε, ἐν ἐπιμελείᾳ ἔσο ἐν τοῖς ἔργοις τῶν χειρῶν σου, θεοφιλῶς διεξάγων τοὺς ἀδελφοὺς τοὺς συγκάμνοντάς σοι, ἐπερειδόμενος τῇ βουλῇ τοῦ Ἀκακίου, καὶ εἰρηνικὰ ἐν πραΰτητι ὁμίλει, ἔστιν ὅτε καὶ πληκτικόν· ἀλλ' οὐκ εἰσὶ τὰ τέκνα μου νωθρὰ καὶ παρειμένα, μᾶλλον δὲ αὐτοκίνητα καὶ περιδέξια. πάλιν δὲ σύ, τέκνον Εὐόδιε, οἰκονόμει καλῶς τὸν ἀδελφόν σου καὶ ἐν τῇ βουλῇ τοῦ Ἀκακίου τὸ ὁμόψυχον πρὸς πάντας κέκτησο, οὕτως ὢν ἐν μέσῳ τῶν ἀδελφῶν, ὡς ἔσχατος τῇ προθέσει. κἂν τὸ πρωτεῖον ἔχῃς, καὶ ἐν οἷς ἂν λέγῃς καὶ πράττῃς, τὸν θεὸν πρὸ ὀφθαλμῶν ἔχε, ἵνα διδῷς χάριν τοῖς ὁρῶσί σε, μηδ' αὖ παραφθείρων τὰ πράγματα τοῦ μοναστηρίου. αὐτός, ἀββᾶ Γρηγόριε, ὡς ἀσκὸς ἐλαίου μεστὸς ἔσο εἰς τὴν ἀδελφότητα, ἐπὶ πάντας διοδεύων καὶ τοὺς πάντας εἰς χρηστότητα φέρων· ἱερεὺς θεοῦ φωτιστικὸς γὰρ εἶ καὶ φωτίζειν ὀφείλεις. ἔπειτα αὐτός, τέκνον ἀββᾶ Δωρόθεε, συμψύχει τῷ Διονυσίῳ, καὶ ἐν δυσὶ σώμασι μία ψυχὴ ἔστω καὶ βουλή, ἵν' εὐφραίνωνται οἱ ἀδελφοί. βλέπετε, πῶς ὑμεῖς οἱ κελλαρῖται ἵνα τὸν τῆς διακονίας μισθὸν λάβητε κἀγὼ ἀκούων τὰ περὶ ὑμῶν χαίρω. σύ, τέκνον Ἡρακλᾶ, τὴν ἄμπελον ὡς ἄμπελον κυρίου ἐργάζου, πρὸ δὲ ταύτης σεαυτόν, ἵνα φέρῃς οἶνον κατανύξεως. καὶ ἑνὶ ἑκάστῳ τῶν ἀδελφῶν τῇ αὐτῇ δυνάμει προσλέγομαι, καὶ παρακαλῶ καὶ δυσωπῶ, τεκνία μου, οὕτως περιπατήσατε, ἵνα χαρῶμεν εἰς τὸν αἰῶνα· περὶ γὰρ σοῦ, τέκνον ἀββᾶ Γεράσιμε, καὶ τῶν σὺν σοὶ ἐπὶ τὸ εἰσελθεῖν ὄντων, οὐκ ἔχω πολλὰ λέγειν, ἢ ἵνα συντομεύσητε καὶ εἰσίητε ἐνταῦθα. ὁ Χριστὸς ὑμᾶς φυλάξαι, τέκνα ποθεινότατα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

2 τοῦ] κῶδ. *τὸν*. 4 κῶδ. *ἔσω*. 8 κῶδ. *ὠμείλει*. 12 κῶδ. *τῶν ἀδελφῶν*. 17 *διδῇς*] οὕτως ἐν τῷ κώδικι· ὁ Θεόδωρος Στουδίτης χρῆται καὶ τῷ *διδεῖν*. ὅρα κατήχ. ος'. 36 τῶν] κῶδ. *τοῖς*. 39 κῶδ. *φυλάξοι*.

ΚΑΤΗΧΗΣΙΣ ΞΓ'.

Περὶ ταπεινοφροσύνης πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, ἡ ἐμὴ ἐπιθυμία καὶ ἀνάπαυσις τί ἄλλο, ἢ τὸ ἀκούειν περὶ τῶν ἐμῶν τέκνων, ὅτι ὑγιαίνουσιν ἐν τῇ κατὰ θεὸν προκοπῇ καὶ μέντοι καὶ τῇ σωματικῇ εὐρωστίᾳ; ἐπεὶ οὖν τοῦτο εἰσελθόντες οἱ ἀδελφοὶ ἀπήγγειλαν, χαρᾶς πόσης ὅτι οὐ γεγόναμεν ἔμπλεοι, δοξάζοντες καὶ εὐχαριστοῦντες τῷ περιφρουροῦντι ὑμᾶς κατὰ πάντα θεῷ, ἀδελφοὶ τιμιώτατοι; καί γε ἐγνώκαμεν μάλιστα διὰ τῆς ἀπαγγελίας τοῦ Ἐπιφανίου τὴν ἐνοῦσαν ὑμῖν τάξιν καὶ εὐθύτητα καὶ θεοπραγίαν· ἐδίδαξε γὰρ πρῶτον μέν, ὅτι σύ, τέκνον Ἀκάκιε, κατὰ σκοπὸν διώκεις καὶ περικρατεῖς τὸ ὅλον τῆς ἀδελφότητος διεγηγερμένως καὶ γρηγόρως καὶ θεοσυνέτως, συμπαρεδρεύοντα ἔχων καὶ τὸν καλὸν Γρηγόριον, εἰς διομάλισιν καὶ γαληνότητα τῶν δυσκολούντων καὶ κλυδωνιζόντων ἔσθ' ὅτε πραγμάτων· ἔπειτα ὅτι καὶ αὐτός, ἀββᾶ Διονύσιε, δι' ὃ εἴ φερωνύμως εἰπεῖν, νύσσεις ἑαυτὸν εἰς ἀγάπην θεοῦ καὶ εἰς θερμότητα πνευματικήν, πατρικῶς καὶ μητρικῶς ὡς ἐγκόλπια τοὺς οἰκείους σου ἀδελφοὺς βρεφοτροφῶν οἱονεὶ καὶ περιέπων ἀμφότερα· εἶτα ὅτι καὶ σύ, τέκνον Εὐόδιε, εὐοδοῦσαι ἐν κυρίῳ καὶ εὔοδα ποιεῖς κατενώπιόν σου τὰ ἀρεστὰ καὶ θεῷ καὶ ἡμῖν· ἔπειτα οἱ πάντες, κελλαρῖταί τε καὶ πρῶτοι καὶ δεύτεροι καὶ μέσοι καὶ ἔσχατοι, ὡς ὑπὸ μιᾶς κεφαλῆς καὶ μιᾶς ψυχῆς ἄγεσθε καὶ διεξάγεσθε, εἰρηνικῶς καὶ ὑποτακτικῶς τὰ πάντα καλῶς περαιούμενοι. ἐν τούτοις ἡ χαρὰ ἡμῶν, ἐν τούτοις ἡ προκοπή, ἐν τούτοις ἡ εὐελπία. καὶ ναί, ναί, τέκνα μου, καὶ ἀπὸ τοῦ παρόντος τῇ χάριτι τοῦ θεοῦ ἀναστρεφόμενοι φάνητε ὁποῖοί ἐστε, ἀνόθευτοι καὶ ἀκαπήλευτοι μαθηταὶ τοῦ κυρίου καὶ γνήσιοι υἱοὶ τῆς ταπεινώσεώς μου, ἀποσῳζόμενοι ὡς ἐν τῇ παρουσίᾳ καὶ ἐν τῇ ἀπουσίᾳ, ὡς ἐν τῇ κατὰ πρόσωπον συντυχίᾳ καὶ ἐν τῇ διὰ τοῦ γράμ-

23 κῶδ. *νύσεις*. 35 κῶδ. *παιραιούμενοι*.

ματος. μὴ οὖν ἔστω τις παρεκτροπὴ ἢ παρακίνησις· ἀλλ' εἰ καὶ συμβαίη γενέσθαι, θᾶττον εἴη προσεπανόρθωσις· καὶ γὰρ ἄνθρωποί ἐσμεν, σφάλμασιν ὑποκείμενοι. ἐάν τις μαχήσηται, πάλιν πραϋνθήτω· ἐάν τις ἀντιλογήσῃ, ταπεινωθήτω, ἢ καὶ γογγύσῃ, ἀλλὰ θᾶττον ἐξαιτήσει τὴν συγχώρησιν· καὶ μάλιστά γε ἐπὶ τῶν πρώτων καὶ τὴν εἰρήνην διωκόντων τὴν πραότητα καταλαμβάνεσθε. ἔστω σου ὁ λόγος, Ἀκάκιε, ἐν φόβῳ θεοῦ, καὶ πρό γε τοῦ λόγου τὸ φρόνημα καὶ ἀρχικὸν καὶ ὑποτακτικὸν καὶ θεωρητικόν, ἀλλὰ καὶ παρορατικόν, συγκαταβαίνων ἀλλὰ καὶ συνανερχόμενος, μὴ καταλύων τὴν τάξιν, ἥνπερ ἔλαβες διὰ τῆς ἁπλότητος, ἀλλὰ μηδὲ ὑπὲρ τὸ δέον ἀντιποιούμενος αὐτῆς διὰ τῆς μονορρεπείας καὶ αὐτοθελήσεως καὶ αὐτοκρατορίας καὶ αὐθεντείας. μιμητὴν ἐμοῦ γενέσθαι οὐ τολμῶ σοι λέγειν, ἀλλὰ τῶν πατέρων· ἐν τῷ γὰρ οὕτως σε περιπατεῖν εὖ ἔσθι, ὅτι πάντα καλὰ ἐνώπιόν σου φανήσονται καὶ "θῆρες ἄγριοι εἰρηνεύσουσί σοι", κατὰ τὸ τοῦ Ἰὼβ λόγιον, οὐχὶ ἄνθρωποι καὶ ἀδελφοὶ ὁμόψυχοι. ἐὰν σὺ οὕτως, πόσον ὀφείλουσιν ὅ τε ἀββᾶς Διονύσιος καὶ ὁ ἀββᾶς Εὐόδιος καὶ οἱ λοιποὶ ὑποταχθῆναι; ἢ τάχα ὡς κηρὸς τῷ μαλάσσοντι, ὡς χαλκὸς τῷ τύπτοντι καὶ ὡς ἄλογον τῷ ἄγοντι.

Μὴ οὖν, τέκνα, ἀδολεσχήσητε, μηδὲ ἀντιλογήσητε, μηδὲ ἐκζητήσητε κυριότητας καὶ πρωτοφανείας καὶ ἐρεσχελίας, εἰς τὸ παρὰ τῶν κοσμικῶν οὕτως ὑμᾶς λαμβάνεσθαι· ἀποδεδοκιμασμένα γάρ εἰσιν ἀπὸ θεοῦ καὶ τῆς ταπεινώσεώς μου ἐμοὶ δὲ καὶ τῷ θεῷ ἀγαθόν ἐστι προσκολλᾶσθαι ἀλλήλοις διὰ τῆς ταπεινώσεως καὶ τίθεσθαι ἐν κυρίῳ τὰς ἐλπίδας ὑμῶν, οὐκ εἰς ἀνθρώπους, τοῦ ἐξαγγελθῆναι πάσας τὰς αἰνέσεις ὑμῶν οὐκ εἰς τόδε χωρίον, οὐδ' εἰς τόδε ἀγρίδιον καὶ πόλιν καὶ παροικίαν, ἀλλ' "ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών", καθὼς ὁ θεῖος Δαυὶδ ἀνακράζει. ἔριδες καὶ ζῆλοι ἐν τοῖς κατὰ κόσμον, φθόνοι καὶ πρωτοκλησίαι καὶ πρωτοκαθεδρίαι ἐν τοῖς ματαιόφροσιν· ἐν ἡμῖν δὲ τὰ ἀντικείμενα, ὑπόπτωσις, μικρολογία, ἐσχατωσύνη, ἱλαρότης, πραότης, ἀμαχότης, τὸ τυπτηθῆναι, εἰ τύχοι, καὶ ῥαπισθῆναι καὶ ἐν τούτῳ στρέψαι καὶ τὴν ἄλλην σιαγόνα, ἢ ἀγγαρευθῆναι μίλιον καὶ ἀπιέναι δύο, ὡς ὁ διδάσκαλος ἡμῶν Χριστὸς λέγει. γνῶτε οὖν τίνος ἐστὲ μαθηταὶ ἐκ τῶν οἰκείων ὑμῶν ἔργων· οἴδατε ὅτι Ἰησοῦ Χριστοῦ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν. διὰ τοῦτο πᾶσαν ἡμέραν καὶ πᾶσαν ὥραν ταῦτα ἀναθεωρεῖτε καὶ ἐκζητεῖτε καὶ μεθοδεύετε, καὶ ἀντιφέρετε καὶ συλλαμβάνεσθε, πρὸς τὸ ὀρθοποδεῖν ὑμᾶς ἐν τῇ ὁδῷ τοῦ θεοῦ, καὶ εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν ἄρχεσθαι ὑμᾶς κρειττοτέρως πορεύεσθαι ἕως τοῦ αἰῶνος.

ΚΑΤΗΧΗΣΙΣ ΞΔ'.

Παραινετικὴ πρὸς τοὺς εἰς Τὰ Καθαρὰ ἀδελφούς.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, εἰ μὲν τῇ σωματικῇ ταύτῃ καὶ πρὸς μικρὸν διαστάσει συνείπετο καὶ ὁ κατὰ ψυχὴν διασπασμός, ἐθρήνησα ἂν ἐφ' ὑμᾶς πικρῶς, διαιρεθέντας ἐν τοῖς αὐτόθι, καὶ ἀπεκλαυσάμην μακρὸν καὶ ἕως θανάτου τὸ τοιοῦτον ἀλγεινὸν πάθος καὶ ἀθεράπευτον, καὶ οὐδεμία μοι παρηγορία οὐδὲ λόγος ἦν πρὸς ταῦτα, ἀλλὰ πάντα κατεβαλλόμην ἄν, πάντα ἐποίουν, ἵνα συνηρμοσάμην ὑμᾶς πάλιν τῷ ἀδελφικῷ ὑμῶν σώματι καὶ περιήρθρωσα τοῖς ἄλλοις καὶ τηλικούτοις μέλεσιν. ἀλλ' ἐπεὶ οἰκονομία τὸ γεγονὸς καὶ ἐπέκτασις τεκνικὴ καὶ πλατυσμὸς πνευματικὸς καὶ προκοπὴ τοῦ ταπεινοῦ ἡμῶν κοινοβίου, καὶ δόξα καὶ αἴνεσις εἰς θεὸν καὶ καύχημα καὶ χαρὰ τῆς ἐμῆς ταπεινώσεως ἡ τοῦ πνευματικοῦ τέκνου, τοῦ ἀδελφοῦ ὑμῶν τε καὶ ἡγουμένου, ὥσπερ οὐκ ἐκεῖνος ἀλλ' οὐδ' ὑμεῖς συναπερράγητε, μένετε δὲ ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν, οἱ πάντες κἂν εἰς τὰ πέρατα διαστῶμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. διὸ οὐ κλαίω, οὐδὲ

11/12 κῶδ. *ἀρχηκόν*. 17 κῶδ. *μονορεπίας*. 22 Ἰὼβ ε', 23. 33 κῶδ. *ἀποδοκιμασμένα*. 40/41 Ψαλμ. θ', 15.

4 κῶδ. *τύχει*. 4/7 Ματθ. ε', 39, 42.

ποτνιῶμαι, οὐδὲ κατακόπτομαι, οὐδὲ κατατήκομαι οὔτε ἐφ' ὑμῖν, οὔτε ἐπὶ τοῖς ἐν τῷ Σακκουδίωνι, οὔτε ἐν τοῖς ἄλλοις μοναστηρίοις, ἀλλὰ χαίρω καὶ κατατέρπομαι ὁρῶν μου τὴν προκοπὴν δι' ὑμῶν καὶ τὸ ἔργον μου πολυπλασιαζόμενον διὰ τῆς εὐχῆς τοῦ κυρίου μου πατρὸς καὶ πατρὸς ὑμῶν. καὶ ὡς εἰς οἰκοδομὴν ὑμᾶς μᾶλλον πέμψας καὶ ὡς ἀποστολικοὺς ἄνδρας, εἰς τὸ φωτίσαι πολλούς, καὶ ὡς ἐργάτας τῶν ἐντολῶν τοῦ κυρίου, γήθω καὶ ἀναθάλλω καὶ ἐγκαλλωπίζομαι ἐν τοῖς ἐμοῖς τέκνοις, κἂν ἐλεεινός εἰμι· εἰ δὲ καὶ δακρύω καὶ στένω ἀδιαλείπτως (ἀληθὲς γάρ), ἀλλὰ ἄλλοις τρόποις· ἐξ ἀγάπης γάρ μου ταπεινῆς καὶ στοργῆς, κἂν ἀνάξιός εἰμι, φιλικῆς καὶ πατρικῆς καὶ κηδεμονικῆς, τὸ μὲν διὰ τὴν σωματικὴν στέρησιν (ὁπόσα γὰρ ἂν εἴποι τις, ἐφίεται καὶ ὁ πνευματικὸς πατὴρ καὶ τὰ πνευματικὰ τέκνα καὶ σαρκὶ ἀλλήλους ὁρᾶν), τὸ δὲ διὰ τὸ σῶσμα ὑμῶν, ἵνα μὴ μόνον ὡς ἀπέλυσα, ἀλλὰ καὶ μειζόνως ἐνοικοδομῆτε καὶ προσθήκη τῶν εἰς ἀρετὴν ἐπιδόσεων.

Δεῦρο δὴ οὖν, τέκνα μου, φυλάσσητε τὰς παρακαταθήκας ὑμῶν, ἃς παρελάβετε δι' ὁμολογίας ὑμῶν ἐν ἐπιθέσει τῶν ἁμαρτωλῶν μου χειρῶν κατενώπιον τοῦ βήματος τοῦ Χριστοῦ, μέχρις ἂν ἐμπνέητε· καὶ δεύτερον, καθὼς ὑμᾶς ἀπέταξα ἐν τοῖς αὐτόθι, γένοισθε τῷ ἡγουμένῳ καὶ ἀδελφῷ μου καὶ τέκνῳ στηριγμὸς καὶ πλουτισμὸς καὶ πλατυσμός, πάντα ποιοῦντες καὶ λέγοντες ἐπὶ συστάσει τῆς οὔσης ἢ καὶ ἐπισυναγομένης ἀδελφότητος· καὶ ὡσὰν φύραμα καλὸν ὅλους εἰς ἑαυτοὺς ἀναζυμώσατε καὶ τῷ πυρὶ τῆς ἀγάπης ἐξοπτήσαντες ἄρτος ἦτε ἡδὺς θεῷ τε καὶ ἐμοὶ καὶ τῷ ἀδελφῷ ὑμῶν τῷ ἡγουμένῳ. καὶ μὴ λάβητε, τέκνα μου ἠγαπημένα, τὸν καιρὸν εἰς ἀνάπαυσιν σωματικὴν καὶ ἐκπλήρωσιν θελη-ματικήν, ἀλλ' εἰς αἴνεσιν θείκὴν καὶ εἰς δόξαν εὐσεβῆ καὶ ἀνάπαυσιν ψυχικήν, καὶ μετὰ τοῦτο, ἐπεὶ εὐθυνεῖται ὁ τόπος εἰς μετρίαν καὶ ἀρκοῦσαν παράκλησιν σωματικήν· τότε γὰρ ἔξει τὸ ἀκατάκριτον ἡ παράκλησις, ἐὰν προηγουμένην ἔχῃ τὴν πνευματικὴν ἀπόλαυσιν. καὶ ἴδοιμί σε λοιπόν, ὦ τέκνον μου πεποθημένον Βαρσανούφιε, καὶ σέ, ὦ φίλτατόν μου τέκνον Γεράσιμε, ὅπως ἔχοιτε περιπατῆσαι ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὑπὸ τῶν λόγων τυπούμενοι τοῦ ἀδελφοῦ ὑμῶν καὶ ἡγουμένου καὶ ὁμοψυχοῦντες αὐτῷ ἐν πᾶσι καὶ τρέχοντες εἰς δόξαν αὐτοῦ πνευματικήν, καὶ εἰρηνεύοντες πρὸς ἀλλήλους καὶ ὑποτασσόμενοι θάτερος θατέρῳ· οὐχ οὕτως γὰρ ἔπεμπεν ὁ δεσπότης ἡμῶν Χριστὸς ὁ θεὸς τοὺς μαθητὰς αὐτοῦ; "καὶ ὁ ἕτερος αὐτῶν", φησίν, "ἠρεῖτο ὑποταγῆναι τῷ μείζονι". δέον λοιπὸν ἐν ἀγάπῃ ὑποτάσσεσθαί σε τῷ Βαρσανουφίῳ καὶ ὑμᾶς τοὺς λοιποὺς φωστῆρας μου, θεὸν ἐν πᾶσιν οἱ πάντες πρὸ ὀφθαλμῶν ἔχοντες, τὸν τῆς δόξης κύριον, ἀναμνημονεύοντες τὸν θάνατον καθ' ἡμέραν καὶ ὡς παρόντας λογιζόμενοι τοὺς ἀγγέλους, καὶ τὴν ἀπόθεσιν τοῦ σκήνους καὶ τὴν ἐκ τοῦ κόσμου ἐκδημίαν, καὶ τὴν εἰς θεὸν ἐνδημίαν, τὸ φοβερώτατον λογοθέσιον, τὸ ἀπαραλόγιστον κριτήριον, τὸν ἀποφατικὸν λόγον τοῦ μονογενοῦς υἱοῦ καὶ θεοῦ ἡμῶν πρὸς τοὺς ἁμαρτωλοὺς μέν, ὧν πρῶτος εἰμί ἐγω, "πορεύεσθε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ"· πρὸς δὲ τοὺς δικαίους, μεθ' ὧν καὶ ὑμεῖς, "δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου". πρὸς ταῦτα οὐδὲν ὁ κόσμος, οὐδὲν ἡ ἐπίγειος χαρά, οὐδαμινὴ ἡ ἀνθρωπίνη δόξα, ὁ καλλωπισμὸς τῶν ἱματίων, ὁ μυρισμὸς τῶν ἀρωμάτων, ὁ χορτασμὸς τῶν βρωμάτων, ὁ ἐμπλησμὸς τῶν ποομάτων, τὰ μαγγανεύματα τῶν μαγειρευμάτων, αἱ κραιπάλαι, αἱ οἰνοποσίαι, αἱ ἀδηφαγίαι, αἱ ὀλλύμεναι ἡδοναὶ πᾶσαι καὶ ἄχρηστοι.

Ὑμεῖς οὖν, τέκνα μου, χορτάσατε τὸν θεὸν καὶ τὰ θεῖα καὶ οὐράνια· μεθύσατε τὰ τοῦ πνεύματος ὑπὲρ κόρον, ἀπολαύσατε τὰ

21 κῶδ. *ἐνοικοδομεῖτε*. 24 κῶδ. *ἡμῶν*. 36 κῶδ. *ἡμῶν*.

26/28 Ματθ. κε', 41. 30/32 Ματθ. κε', 34. 39 ὀλλύμεναι ἡδοναὶ] Διονύσιος Ἀρεοπαγίτης ἐν τῷ Θησαυρῷ τοῦ Ἑρ. Στεφάνου, ἐκδ. Didot, τ. V. σ. 1895 || κῶδ. *ὀλυμέναι*.

ὄντως ἡδέα καὶ γλυκερὰ ὑπὲρ μέλι καὶ κηρίον, τὰ λόγια τῆς χάριτος· καλλωπίσασθε τῇ ἁγνείᾳ, διακοσμήθητε τῇ ἐγκρατείᾳ, πλουτήσατε τῇ εὐπραξίᾳ, δοξάσθητε τῇ ταπεινοφροσύνῃ, ἀνέλθετε εἰς οὐρανοὺς τῇ ἀπαθείᾳ, μεγαλύνατε τὸν κύριον σὺν τοῖς ἀγγέλοις, τοξεύσατε τὸν ἀντίπαλον τῇ θεοφοβίᾳ, ἀριστεύσατε μετὰ τοῦ ἁγίου Δαυίδ, τῇ τριαδικῇ ἐπικλήσει ὡς τρίλιθον πέμποντες κατὰ τοῦ νοητοῦ Γολιὰθ τὴν ἁγίαν προσευχὴν ὑμῶν, πάντοτε φωτιζόμενοι, πάντοτε καθαιρόμενοι, πάντοτε οὐρανιούμενοι, ἵνα εἴρηται καὶ πρὸς ὑμᾶς ὡς ἀπὸ στόματος κυρίου, "ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου", προσευχόμενοι καὶ ὑπὲρ τῆς ἐμῆς ἀναξιότητος, ἵνα μὴ καταπίῃ με τέλεον ὁ πειράζων, ἵνα λάβω ὅπλα δικαιοσύνης, ἵνα περιφράξωμαι ἔργοις εὐσεβείας, ἵνα προπορεύωμαι ὑμῶν, εἰ καὶ τολμηρὸν εἰπεῖν, μωσαϊκῶς, ἵν' ἐπάρω ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ ἀπὸ προσώπου τῶν Ἀμαληκιτῶν δαιμόνων, ἵν' εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τῆς ἐπαγγελίας τῶν ἀγαθῶν ἐπιτηδευμάτων. ἀλλὰ πολὺ καὶ ὑπὲρ ἐμὲ τὸν ἄσωτον καὶ ἀπεγνωσμένον τὸ αἴτημα· πλὴν οὐ κακὸν ἐπεθύμησα, οὐδ' ἵνα εἰς κακὸν εὔχησθε ᾐτησάμην. σώσαι ὑμᾶς Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ σώσαι κἀμὲ καὶ πάντας τοὺς ὧδε κἀκεῖσε καθεζομένους ἀδελφοὺς ἡμῶν τῇ προσευχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, καὶ σώσαι εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΞΕ'.

Περὶ ἀγάπης καὶ ἐξόδου ψυχῆς· πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες. εὐαποδέκτως ἔχων πρὸς τὰ τίμια ὑμῶν γράμματα πάνυ, ἀδελφοί μου τιμιώτατοι, ἀπολογίαν πρέπουσαν ἔχοντα διὰ συντετριμμένης καρδίας καὶ πνεύματος ταπεινώσεως, καὶ ἐν τῷ λυπηθῆναι ὑμᾶς ὄντως εὐφράνθην, διότι πίστεως καὶ ἀγάπης σημεῖον τὸ τοιοῦτον οὐκ ἐφ' ὑμῖν μόνον, ἀλλὰ καὶ ἐπ' ἐμοὶ τῷ ἀθλίῳ πατρί. "ὃν γὰρ ἀγαπᾷ", φησί, "κύριος, καὶ παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται". συγχωρήσαι ὑμῖν ὁ θεὸς καὶ πάλιν λέγω καὶ ἀλύπως πρὸς τὸ ἑξῆς ἔχειν ἐχομένους τῆς φροντίδος καὶ ἐπιμελείας ὑμῶν. ἀλλὰ δεῦρο ἔλθωμεν καὶ ἐπὶ καθολικῆς κατηχήσεως.

Γινώσκετε τοίνυν ἀληθῶς, ὦ τέκνα μου ἠγαπημένα, ὅτι οὐκ ἐν ἡμέρᾳ, οὐκ ἐν νυκτί, οὐκ ἐν ὡρισμένῃ ὥρᾳ ἄλλη τις εὐχή μοι ὑπάρχει προαρχομένη καὶ ἀπολήγουσα, ἢ τὸ ὑμᾶς σῴζεσθαι, διατηρουμένους, τῇ σκέπῃ τοῦ θεοῦ καὶ τῇ εὐχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ἀσινεῖς καὶ ἀπροσκόπους ἐν ἅπασι πράγμασιν. ἐν τούτῳ καὶ ὁ πόνος μου καὶ ἡ ἀδολεσχία, μᾶλλον δὲ ἡ ζωὴ καὶ ὁ θάνατος, προσθήσω δὲ ὅτι καὶ ὁ πλοῦτος καὶ ἡ δόξα καὶ ἡ χαρὰ καὶ ἡ λύπη· καὶ οὐδὲν ἄλλο μοι περισπούδαστον, τέκνα μου, καὶ ἐπιθυμητόν, ἢ τὸ ὑμᾶς κερδῆσαι καὶ ὑμᾶς τελειῶσαι καὶ ὑμᾶς παραστῆσαι θεῷ ζῶντι θυσίαν καθαρὰν καὶ ἄμωμον. ἀλλ' οὔπω ἠξίωμαι, οὔπω πέφθακα εἰς τηλικοῦτον μέτρον, πλὴν ὅτι ἐφίεμαι καὶ ἀγωνιῶ καὶ στέργω, δυναμοῦντος θεοῦ καὶ συνευδοκούντων ὑμῶν καὶ συνερχομένων καὶ συνεπομένων μοι. ἀμήτωρ ἐγὼ καὶ ἀπάτωρ καὶ ἀγενεαλόγητος· ὡς παραφρονῶν λέγω. εἰ δέ τις ἐρωτᾷ με, πόθεν ἤργμαι, ἀποκρινοῦμαι ἐξ ὑμῶν γενεαλογεῖσθαι· καὶ γὰρ αὐτοί μου πατὴρ καὶ μήτηρ καὶ ἀδελφοί μου καὶ τέκνα· πρὸ δὲ ὑμῶν πατήρ μου καὶ πατὴρ ὑμῶν ὁ γεννήσας με πνεύματι, ἐπεὶ πρό γε τούτου, εἰ καὶ τολμηρὸν εἰπεῖν, ὁ θεὸς ὁ πατὴρ πάντων καὶ δεσπότης. μιμητὴς ὀφείλω τοίνυν γενέσθαι θεοῦ, ἀλλὰ καὶ ὑμεῖς τῶν ἀποστόλων. ἠγάπησε καὶ ἠγαπήθη, καὶ τοσοῦτον, ὥστε τὸ οἰκεῖον αἷμα κενῶσαι τοὺς ἁγίους μαθητάς, κατὰ ἀφομοίωσιν ἐκείνου, ὑπὲρ τῆς ὁμολογίας τοῦ ὀνόματος αὐτοῦ· τὰ γὰρ σωματικὰ τοῖς σωματικοῖς παρωμοίωται.

Ἀγαπήσατέ με, τέκνα μου, καὶ ὑμεῖς,

---

1 γλυκερὰ - - κηρίον] Ψαλμ. ιθ', 11. 14 πρβλ. Ἰωάνν. ιε', 19. 17 ὅπλα δικαιοσύνης] Ῥωμ. ς', 13. 18 ἵνα προπορεύωμαι - - μωσαϊκῶς] Ἐξόδ. λδ', 1.

4/5 Παροιμ. γ', 12. 6 κῶδ. *συγχωρήσει*.

καθὼς κἀγὼ ἠγάπησα ὑμᾶς, κἂν ἁμαρτωλός εἰμι, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ ὑμῶν· καὶ γὰρ ὁ ἔρως μου ὑμεῖς ἐστε καὶ γλυκασμὸς καὶ ἡ ἐπιθυμία. μὴ νομίσητε εἰκαιολογίαν εἶναί τινα ῥημάτων ταῦτα, ἀλλὰ πιστεύσατε κατὰ τὸν λόγον εἶναι καὶ τὴν ῥυπαρὰν καὶ ἀκάθαρτόν μου καρδίαν. καὶ εἰ δοκιμὴν ζητεῖτε, οὐχ εὑρήσετε· κἂν ἄρα εὑρήσητε, ἐξεστηκώς εἰμι καὶ ἠλλοιωμένος, ἀλλ' οὐ τὴν καλὴν ἀλλοίωσιν. σκέπτεσθε δὲ ὑμεῖς τὰ γινόμενα καὶ ὡς οἴδατε συμβιβάζετε αὐτὰ ἐν ταῖς καρδίαις ὑμῶν, καὶ τὸ λοιπὸν ἀγωνίζεσθε, τέκνα μου, καὶ τρέχετε τῷ πνευματικῷ δρόμῳ, ἄνω ἐπαίροντες τὰ ὄμματα τῶν διανοιῶν ὑμῶν, ἀνασκοποῦντες τὰ οὐράνια, ἀναθεωροῦντες τὰ αἰώνια, ἀναζητοῦντες ἑκάστοτε πῶς καὶ πότε· ἆρα ἐν χειμῶνι, ἐν θέρει, ἐν ἡμέρᾳ ἢ ἐν νυκτί, ἐν γήρει ἢ ἐν νεότητι, ἐν τῷ χρόνῳ τούτῳ ἢ ἐν τῷ μέλλοντι, ἐν ταύτῃ τῇ ἡμέρᾳ ἢ τῇ ὥρᾳ; καί γε μᾶλλον ὑπὲρ πάντα τὸ ἔσχατον καὶ ἀληθινὸν ἥκει, ὁ θάνατος. ἔρχονται οἱ μεριστὰι τῆς ψυχῆς, παραγίνεται ὁ ἀντίδικος ἐχθρός. λογοθετεῖτε τὰ πρακτέα καὶ ῥητέα· τελεῖται νίκη ἢ ἧττα. καὶ τούτοις ἑαυτοὺς κατασφαλιζόμενοι οὐ μὴ ἔσησθε εὔκολοι πρὸς ἁμαρτίαν, οὐ μὴ ἐμπέσητε εἰς τὸν βόθρον τῆς κακίας, ἀλλὰ ἴδοιτε τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς αἰωνίου ζωῆς ὑμῶν.

Ἔχεσθε τοίνυν καὶ τῶν σωματικῶν ἔργων· διασπουδάζετε ἐν ἀμφοτέροις· στόματι ὑμνεῖτε θεόν· γλώσσῃ λαλεῖτε ἀλήθειαν· χερσὶν ἐργάζεσθε τὸ κατὰ δύναμιν· ποσὶ περιπατεῖτε εἰς ὁδὸν εἰρήνης· ὅλον ὑμῶν τὸ σῶμα ἅγιον καὶ τὰ μέλη μέλη Χριστοῦ. "ἆρας οὖν τὰ μέλη τοῦ Χριστοῦ", φησί, "ποιήσω πόρνης μέλη; μὴ γένοιτο". διὰ τοῦτο φεύγετε τὴν παῤῥησίαν· μή τις πληγῇ, μή τις μωμηθῇ, μὴ συγκοιτάσῃ νέος νέῳ· εἰδ' οὖν ἀλλὰ μηδὲ γέρων γέροντι, καὶ μάλιστα ἄρτι ἐν τῷ καλοκαιρίῳ, μὴ ἐν στιβάσι χόρτων, μὴ ἐν ὑποσκίῳ δένδρῳ, μὴ ἐν ἀποκρύφῳ τόπῳ. "οἱ ὀφθαλμοὶ κυρίου μυριοπλασίως ἡλίου φωτεινώτεροι", ὡς γέγραπται, "ἐπιβλέποντες ἐπὶ πάσας ὁδοὺς ἀνθρώπων καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη". μὴ γελοιάζετε ἄσεμνα· μὴ συνεγγίζετε ὁμιλοῦντες ἢ καθεζόμενοι· μὴ ἐκθερμαίνετε τῇ συνεχείᾳ σάρκες σάρκας· μὴ λαμβάνετε χορτασμοὺς κοιλίας· μὴ πίνετε οἶνον (συμβουλευτικῶς λέγω) οἱ ὑγιαίνοντες· καὶ γὰρ τοῦτο αἰτησαμένων ἀδελφῶν γέγονεν· οὐκ οἶδα εἰ μὴ κατὰ ἀδυναμίαν ἔργου, ἢ κατὰ ἀσθένειαν. ἀρκοῦσι τὰ ἔσωθεν κύματα· ἀρκεῖ τὸ φυσικὸν πῦρ· ἀρκεῖ ἡ φλὸξ τῆς κινήσεως. εἰ δὲ βάλλοις τὸ οἰνικὸν πῦρ, ἐκκαυθήσῃ καὶ ἐμπρησθήσῃ ἐμπρησμὸν τὸν ὀλέθριον· οὐ φέρει γὰρ ἡ σάρξ· κινεῖται, ἀναβράζει, ζητεῖ τὰ οἰκεῖα· ἀναγκαζομένη χωρεῖ κατὰ σκότους. διὰ τοῦτο "ἄρσενες ἐν ἄρσεσι", φησὶν ὁ ἀπόστολος, "τὴν ἀσχημοσύνην τελοῦντες"· διὰ τοῦτο ἕκαστος ἐκκαίεται ἐν τῇ ὀρέξει τοῦ πλησίον· "τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν", πάλιν φησίν, "αἰσχρόν ἐστι καὶ λέγειν"· φθάζει γὰρ καὶ εἰς ἀλογωτέρας ὁρμὰς καὶ παρασυμβλήσκεται τοῖς κτήνεσι τοῖς ἀνοήτοις ὁ ἀλούς, καὶ οὕπω λέγοιμι τὸ χαλεπώτατον πάθος, καὶ ἐν ἡμῖν αὐτοῖς ὂν καὶ μονομερῶς πορνεῦον ἐκτὸς ἑτέρου σώματος.

Βλέπετε, τέκνα μου, ἀναγγέλλω ὑμῖν καὶ προασφαλίζομαι, προκηρύττω καὶ προφητεύω. ἔστησεν ὁ θεὸς ἡμέραν ἐτάσεως· κρινεῖ καὶ παραδώσει εἰς τὰ ἀνήκεστα βασανιστήρια μετὰ δαιμόνων τὰ αὐτὰ ἐργαζομένους. προφθάσατε τῷ κυρίῳ ἐν ἐξομολογήσει, φανεροῦντες τὰ ὑποβαλλόμενα ὑπὸ τοῦ διαβόλου τῷ ἀββᾷ Ἀκακίῳ, πάντα ἐν εὐσχημοσύνῃ ποιοῦντες, μετρίως τοὺς ὕπνους λαμβάνοντες, ἀγρυπνοῦντες αὐτὸν τὸν ὀλίγον κανόνα ὑμῶν καὶ θᾶττον ἐξεγειρόμενοι οἱ πάντες καὶ παριστάμενοι. καὶ μακάριοί ἐστε· ἐὰν εὕρῃ ὑμᾶς ὁ κύριος οὕτως ποιοῦντας, ἀποδώσει ὑμῖν τὴν βασιλείαν τὴν αἰώνιον. ἵνα δὲ καὶ τοῦτο εἰ-

2 κῶδ. *τίθιμι*. 24 κῶδ. *λογοθετεῖται τὰ πρακταῖα*. 25 κῶδ. *ῥηταῖα*. 29 ἄνω Ἱερουσαλὴμ] Γαλάτ. δ', 26. 36/38 Κορνθ. 1, ς', 15.

2/5 Σειρὰχ κγ', 19. 15 κῶδ. *ἐμπρισμόν*. 18/20 Ῥωμ. α', 27. 21/23 Ἐφεσ. ε', 12. 24 παρασ. τ. κτήνεσι τ. ἀνοήτοις] Ψαλμ. μη', 13, 20. 32 κῶδ. *ἀνίκεστα*.

δῆτε, ὅτι ὁ ταπεινὸς Ταράσιος ἀπέδρασεν, ἀλλ' ἐφανέρωσεν ἑαυτὸν καὶ πάλιν ἀνθυποστρέψας διὰ γραμμάτων αὐτοῦ, πολλῆς ταπεινώσεως γέμων. ὁ κύριος καὶ πατήρ μου καὶ πατὴρ ὑμῶν πολλὰ ὑμᾶς προσαγορεύσει, ὁ οἰκονόμος, ὁ παροικονόμος, ὁ πρωτοπρεσβύτερος καὶ πρὸ τούτων ὁ ἀδελφὸς ὑμῶν, ὁ ἡγούμενος τῶν Καθαρά, ἔπειτα πᾶσα ἡ ἀδελφότης. ὁ κύριος φυλάξαι ὑμᾶς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ ἀεί, ἀδελφοὶ τιμιώτατοι, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΞΣ'.

Περὶ τῆς πνευματικῆς ἡμῶν ἀθλήσεως· πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες. χαιρετίζω ὑμᾶς καὶ νῦν διὰ τῆς τῶν γραμμάτων προσκυνήσεως, ἠγαπημένα καὶ περιπόθητά μου τέκνα, καὶ προσαγορεύω, ἕνα ἕκαστον ἀσπαζόμενος καὶ περιπτυσσόμενος. ἐρωτῶ δέ, πῶς τὰ καθ' ὑμᾶς ἔχει; πῶς ἡ εἰρήνη τοῦ θεοῦ φρουρεῖ ὑμᾶς; πῶς ὁ φόβος τοῦ κυρίου ἁγνίζει ὑμᾶς; πῶς τὰ δικαιώματα αὐτοῦ εὐφραίνει τὰς καρδίας ὑμῶν; πῶς ἡ τῆς εὐταξίας ἁρμονία συμβιβάζει ὑμᾶς; πῶς ἡ εἰλικρινὴς πίστις βεβαιοῖ ὑμᾶς; πῶς ἡ θεοκύρωτος ὁμολογία τῆς ὑποταγῆς ὑμῶν συνάπτει ὑμᾶς; πῶς ἡ ἀνυπόκριτος ὑπακοὴ ἀνυψοῖ ὑμᾶς; πῶς ἡ χριστομίμητος ταπεινοφροσύνη, ἡ εἴσοδος καὶ ἡ ἔξοδος ὑμῶν, ἡ τροφὴ καὶ ὁ πότος ὑμῶν, ἡ ὀλιγοσυντυχία καὶ ἀκραυγία ὑμῶν, ἡ ἐξαγόρευσις καὶ ἡ ἀνάστασις ὑμῶν; εἶτα, πῶς καὶ τὰ κατὰ χεῖρα ἔργα ὑμῶν; πῶς ἡ δύναμις τῶν τιμίων ὑμῶν μελῶν; πῶς ὁ θερισμὸς τῶν πολυσπόρων χωρῶν; ἤρξασθε, ἐμεσάσατε, ἐπληρώσατε; ἀπαγγείλατε οὖν, ἐπιφθέγξασθε, δότε ἀπόκρισιν οἱ πρῶτοι, οἱ μέσοι, οἱ τελευταῖοι· εὐφράνατέ με τὸν δείλαιον, τὸν πατέρα μου καὶ πατέρα ὑμῶν· καὶ γὰρ ἐν μερίμνῃ ἐσμέν, περιτρύζουσαν ἔχοντες καὶ τὴν καρδίαν καὶ ἐναγώνιον, ἀδολεσχοῦσαν ἐπὶ τῇ τοιαύτῃ μεταστάσει καὶ ἐπὶ τῇ ἀπολήψει τῆς σωματικῆς ὑμῶν ἀναχωρήσεως. μή πού τις ἀτακτεῖ; μή πού τις ἀφηνιάζει, ἀπογογγύζει, φιλοσαρκεῖ, παῤῥησιάζει; μή πού τινες φιλιάζουσι μετὰ τοῦ διαβόλου, ἐπὶ τὸ αὐτὸ συνεδριάζοντες, οἷον κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ λέγοντες "διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν τῆς ὑποταγῆς ἡμῶν"; ἀλλ' "ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς· ἐγὼ γὰρ κατεστάθην" ἐφ' ὑμᾶς, ἐξ ἐκουσίας ἐπιδόσεως ὑμῶν καὶ ἐθελουσίου δουλώσεως ὑμῶν, διαγγέλλειν ὑμῖν τὸ πρόσταγμα κυρίου. καὶ διὰ τοῦτο ταῦτα λέγω, διὰ τοῦτο ἀσφαλίζομαι, διὰ τοῦτο τὴν ἐρχομένην ῥομφαίαν προαναγγέλλω. οὐδεὶς οὖν φεύξεται τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ· οὐδεὶς οὖν δύναται λῦσαι ἑαυτόν, οὐτ' ὑπ' ἀνθρώπου, οὔτ' ὑπ' ἀγγέλου, ἅπαξ δεθεὶς διὰ τῆς ἀποτακτικῆς ὁμολογίας. τὰ φάρμακα κείσθωσαν διὰ τοὺς νοσοῦντας· εἰ δὲ μή γέ τις νοσηλεύεται, χάρις τῷ ἰατρῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν θεῷ. ἐκοπιάσατε καί γε κοπιᾶτε, ἠθλήσατε καί γε ἀθλεῖτε ὑπομένοντες τὸν κύριον ἐν τῇ ἀσκήσει ὑμῶν, ἐν τῇ ὑποταγῇ ὑμῶν, ἐν τῇ κοπῇ τῶν θελημάτων ὑμῶν, ἐν τῇ συμβαινούσῃ στενώσει τῶν ἐπιθυμιῶν ὑμῶν. μὴ οὖν ἀπολέσητε τὰ προειργασμένα· ἀλλ' ὥσπερ σπείρετε ἐν δάκρυσιν, ἐν στεναγμοῖς, ἐν κατηφείᾳ, ἐν λιμῷ καὶ δίψει, οὕτως θερίσετε ἐν ἀγαλλιάσει τότε, ὅτε ἀποδιδεῖ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ὁ τῶν ὅλων κριτής. "ἄκουε οὐρανέ", φησίν, "καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησε", μὴ ὅτι γε, ἀδελφοί μου, "υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν"; μὴ ὅτι "ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω καὶ ὁ λαός μου οὐ συνῆκεν"; ἀλλ' "οἱ υἱοί σου ὡς νεόφυτα

9 κῶδ. *φυλάξει*. 22/23 δικαιώματα-καρδίας] πρβλ. Ψαλμ. ιη', 9.

5/14 Ψαλμ. β', 3-5. 8 κῶδ. *ἀποῤῥήψωμεν*. 34 ἀποδιδεῖ] ὅρα σ. 193, 17 *διδῷς* καὶ κατήχ. ος' *διδεῖν*. 36/39 Ἡσαΐου α', 2. 38 ἀπόγρ. *ὕψουσα*. 39/40 Ἡσαΐου α', 3.

ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου" (πνευματικῶς λαμβανόμενα) καὶ "ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον".

Ἀκούετε τοίνυν, παρακαλῶ. τὸ αὐτὸ φρονεῖτε, τῷ αὐτῷ στοιχεῖτε, ἐν τῇ τοῦ προηγουμένου ὑμᾶς ὁδηγίᾳ ἑπόμενοι, ὡς καθ' ἡμέραν ἀποθνήσκοντες, μὴ διὰ βρῶμα ἢ πόμα ταρασσόμενοι, ἢ παροξυνόμενοι, ἢ γογγύζοντες. τί λέγει ὁ ἀπόστολος; "εἰ διὰ βρῶμα σκανδαλίζεται ὁ ἀδελφός μου", φησίν, "οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω". μὴ γένησθε υἱοὶ ἀπειθείας, μὴ γένησθε υἱοὶ πορνείας, μὴ γένησθε τέκνα ὀργῆς, τέκνα ἁμαρτίας, κρύπτοντες τὰ πάθη καὶ ἐν τόποις ἐν οἷς οὐκ ἐπισκοπεῖ ὁ κύριος, ὑπὸ τὸ τῆδε ἢ τῆδε δένδρον, ἢ ὑπὸ τὸ δάσος, ἢ τὴν ἄμπελον, ἢ ὑπὸ κτίσμα, τὸν θεὸν παροργίζοντες διὰ τῆς ἀσελγείας καὶ ὥσπερ διὰ τὴν ἁγίαν Σωσάνναν οἱ μωροὶ πρεσβύτεροι κατακρινόμενοι θανάτῳ αἰωνίῳ. ἄνω τὰς καρδίας ὑμῶν, ἄνω τὸν ὀφθαλμὸν ὑμῶν· "θεὸς ἐκδικήσεων κύριος. οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ". τίς οὖν μὴ φρίξῃ; τίς μὴ ἐκσταθῇ; τίς μὴ ἐξαγγείλῃ; τίς μὴ ὑποταγῇ; τίς μὴ ἑαυτὸν μέχρις αἵματος; διὰ τοῦτο σύ, τέκνον παροικονόμε, ἐν συνέσει καὶ εὐλαβείᾳ ἡγοῦ τῶν πάντων· ἔπειτα σύ, τέκνον μου Ἀκάκιε, καὶ οἱ λοιποὶ πρώτιστοι. ἵνα δὲ καὶ τὰ καθ' ἡμᾶς γνῶτε, ὅπως ἔχει, χάριτι Χριστοῦ ὑγιαίνομεν. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ πάντοτε τὸ ἔλεος αὐτοῦ ἐπιδιδοὺς ἡμῖν, φυλάξαι καὶ στηρίξαι καὶ βραβεύσαι τὴν ζωὴν ὑμῶν, τὴν διαγωγὴν ὑμῶν, καὶ ἐν καιρῷ εὐθέτῳ καταξιώσαι ἡμᾶς τῇ εὐχῇ τοῦ πατρός μου ἀπολαυεῖν ὑμᾶς ἅπαντας ὑγιαίνοντας ψυχῇ καὶ σώματι ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1/2 Ψαλμ. ρκζ', 3, 4 4 κῶδ. *τῷ αὐτῷ* 4/5 Φιλιπ. γ', 16. Κορινθ. 2, ιγ', 11. 5 κῶδ. *τὸ αὐτό*. 7 καθ' ἡμ. ἀποθνήσκοντες] πρβλ. Κορινθ. 1, ιε', 31. 9/12 Κορινθ. 1, η', 13. 13 υἱοὶ ἀπειθείας] Ἐφεσ. β', 2. ε', 6 Κολοσ. γ', 6 || υἱοὶ πορνείας] Ὡσηε α', 2. β',4 «τέκνα πορνείας». 14 τέκνα ἀργῆς] Ἐφεσ. β', 3. 22/23 Ψαλμ. ριγ', 1. 23/25 Ἐβρ. δ', 13. 32 κῶδ. *ὑγιαίνημεν*. 34 κῶδ. *φυλάξοι, στηρίξοι, βραβεύσοι*· περὶ τῶν τύπων τούτων ὅρα Hadjidakis, Einleitung, σ. 192. 36 κῶδ. *καταξιώσει*.

ΚΑΤΗΧΗΣΙΣ ΞΖ'.

Περὶ καταστάσεως· πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, γινώσκων γινώσκω, ὅτι ἄρτι ἐν πολλῷ μόχθῳ ἐστὲ καὶ ἀγῶνι, συγκύπτοντες καὶ ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος φλογιζόμενοι καὶ ἱδρῶτι θερμῷ περιῤῥεόμενοι ἐν τῷ θερίζειν ὑμᾶς τὸν σῖτον καὶ ἀναλέγεσθαι τοὺς στάχυας. διὸ ἁρμόζον ἐλογισάμεθα τοῖς οὕτω κοπιῶσι καὶ ὑπὲρ ἡμῶν ἀγωνιζομένοις διὰ τῆς κατηχήσεως προσφθέγξασθαι τὰ δέοντα. εὐλογία οὖν κυρίου ἐφ' ὑμᾶς, τέκνα μου, καὶ κατευλογήσαι ὑμᾶς κύριος ὁ θεὸς ἡμῶν ἐκ τῶν ὑψίστων, νευρῶν καὶ κραταιῶν τὰς ψυχὰς καὶ τὰ σώματα ὑμῶν, ἵνα τὸ μὲν πρὸς τὰς πνευματικὰς λειτουργίας, τὸ δὲ πρὸς τὰς σωματικὰς χρείας ἔχητε ἰσχύειν καὶ ἀκαταπόνητοι διαμένειν.

Ἐγὼ τοίνυν ἐπίσταμαι τὰς θερινὰς ὥρας, ἡλίκαι καὶ καυσώδεις εἰσὶ καὶ ὅσην τὴν ἀχθηδόνα φέρουσιν, ὥστε, εἰ μὴ πολλὴ προθυμία εἴη, οὐκ ἂν δύναιτό τις εὐμαρῶς διεξελθεῖν αὐτάς. παρακαλῶ οὖν ὑμᾶς, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ στῆτε πρὸς τὸν ἀγῶνα τὸν ἑκάτερον, καὶ ἐν εὐσχημοσύνῃ καὶ καταστάσει τὸ πρωῒ παρίστασθε μετὰ τὴν ψαλμικὴν καὶ θείαν παράστασιν τῷ τυχόντι ἔργῳ, καὶ ἀπάρχεσθε ἐν ἐξομολογήσει κυρίου, ἤγουν τῇ στιχολογίᾳ καὶ εὐχῇ. καὶ δέομαι ἵν' ὁμοῦ οἱ πάντες φθέγγησθε τὰ θεῖα λόγια, ἐκτὸς τῶν ἀναγκαζομένων ἐπιλαλεῖν καὶ διεγείρειν. καὐτοὶ δὲ μὴ ἀπολειπέσθωσαν παντάπασι τῆς ἱερολογίας. καὶ οὕτως φθαζούσης τῆς τρίτης παύσασθε τοῦ ἔργου καὶ στῆτε καὶ ψάλατε τῷ κυρίῳ ἐν συνέσει τὴν τρίτην, καὶ ἀνατείνατε τὰς χεῖρας ὑμῶν εἰς τὸν οὐρανόν, πρὸς τὸ παρασχεθῆναι ὑμῖν

9 κῶδ. *συγκίπτοντες*.

τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐπὶ τονώσει τῆς ψυχῆς καὶ τοῦ σώματος ὑμῶν, ἄνευ τοῦ καθίσματος δηλονότι· καὶ ἐν τρισὶ τέσσαρσιν ἢ καὶ πρὸς γονυκλισίαις προσεκτικῶς εὐξάμενοι, εἰς ἐφόδιον δυνάμεως ὑμῶν, καὶ νοερᾶς καὶ αἰσθητῆς, γεύσασθε ὅπερ χορηγεῖ ὁ κύριος, πλὴν Τετραδοπαρασκευῆς, καθὼς ὑμῖν προδεδήλωκα. τοῦτο δὲ παρατηρείσθω, ἵνα μὴ ἐν ταῖς ἑσθιάσεσι θορυβοποιΐαι γίνωνται καὶ ὀχλαγωγίαι, μηδ' αὖ ἐν τοῖς θερισμοῖς ἔριδες καὶ ἐθελοθρησκεῖαι, ὡς ἐντεῦθεν φύεσθαι καὶ ταραχὰς καὶ λύπας, καὶ μέντοι καὶ παρακοὰς καὶ γέλοια καὶ παῤῥησίας ἀσέμνους. μηδαμῶς οὖν, τέκνα μου, τὰ τοιαῦτα γένηται, ἀλλ' εὐλογημένον εἴη τὸ ἔργον ὑμῶν καὶ δεδοξασμένον, ὡς ἐν ἐποψίᾳ θεοῦ πραττόμενον. ἀλλήλοις οὖν κοινωνεῖτε θερίζοντες, καὶ τῷ ἐγγύθεν ὁ πλησίον ἐναπομένοντι ἐξ ἀδυναμίας ἢ ἐκ δυσκολίας τοῦ ἔργου ἐπαμυνέτω καὶ βοηθείτω, ἵνα τῷ συνισασμῷ εὐθερεία γένηται καὶ τῶν πάντων συμπροθυμία καὶ ἁπλῶς κατὰ τὴν τῶν προεχόντων διαταγήν, ἀναπαυομένων ὑμῶν ἐν τῷ μεσέμβρῳ, ἢ καὶ ἐν ταῖς νυξίν, ὑπὸ δένδροις ἢ ὑπὸ στοαῖς. βλέπετε ἀσφαλῶς, μὴ συμπλησιάζωσι καὶ συνεγγίζωσι σάρκες σαρξί, μηδὲ ἐναπομένωσι δύο δύο ὁμοῦ ἐν ἀποκρύφοις τόποις, μηδὲ παῤῥησιαζέσθω μιλάκιον μετὰ μιλακίου. γρηγορεῖτε οἱ ἐπιτηροῦντες, προσέχετε οἱ ἐπιστημοναρχοῦντες· ὁ σπορεὺς τῶν ζιζανίων ἀοράτως πάρεστι, μήπως συνεισέλθῃ λανθανόντως καὶ ὑποσπείρῃ τὸ φάρμακον τῆς ἀπωλείας καὶ ἐν τούτῳ παροργίσωμεν τὸν δεσπότην ἡμῶν θεόν. διὰ τοῦτο γρηγορεῖτε.

Ἐν τῷ κανόνι τοίνυν, ἐπειδὴ εἰς ὀλίγον ἐστὶν ἡ ψαλμῳδία, μήτι γε καὶ αὐτὴ συγκεχυμένη ἔστω, ἀλλὰ νηφάλεος, καταρτίζουσα ὑμᾶς πρὸς πᾶν ἔργον ἀγαθόν. εὑρίσκεσθε δὲ οἱ πάντες καὶ μηδεὶς ἐναπομενέτω καὶ εὑρεθῇ ἀκάνονος καὶ ἄψαλτος, ἐὰν ἦν ὑπὲρ δέκα χειρῶν ἐργασάμενος, ἐπεὶ οὐκ ἔστιν ἄξιος ὁ τοιοῦτος οὐδὲ ἑσθιάσεως τῇ τοιαύτῃ ἡμέρᾳ. λέγομεν δὲ ταῦτα οὐχ ὡς ἔτυχεν ἀπονητί, ἀλλ' ὡς ἔοικε φροντίζοντες τὸ τῆς σωτηρίας ὑμῶν καὶ συγκαιόμενοι ταῖς προθυμίαις ὑμῶν παρυπομνήσκομεν, εἰς τὸ μὴ ἐκκλίνειν ὑμᾶς τὴν ὁδὸν τοῦ θεοῦ. ἐάν τίς τι ἔχῃ λυπηρόν, μὴ κρυπτέτω αὐτό, ἀλλ' ἀναφερέτω εἰς τοὺς τὰ πρῶτα ἔχοντας καὶ δι' αὐτῶν ἀναγγελλέσθω, καὶ οὕτως τὰ καλὰ βεβαιούσθω καὶ τὰ ἐστραμμένα διορθούσθω καὶ τὰ ἐπιμελείας χρῄζοντα θεραπευέσθω. μή τις ἀργείτω, μηδὲ ὁ τυχών· ὁ γὰρ τοιοῦτος οὐ τῆς μερίδος τῶν ἀδελφῶν, οὐδὲ τῶν ζητούντων τὸν κύριον. τέμνειν οὐκ ἰσχύεις, ἀδελφέ, ἢ οὐκ εὖ φυεὶς εἶ; αἶρε τὰ δράγματα. αἴρειν τὰ δράγματα οὐ δύνῃ; ἔκλεγε τοὺς στάχυας, κόμιζε ὕδωρ ἢ ἄλλο τι τῶν παρισταμένων, ἢ ἐν τῷ ὑπαίθρῳ ἢ ἐν τῷ οἴκῳ, καὶ ὁ θεὸς δέχεται καὶ τὰ δύο λεπτὰ τῆς χήρας, ὡς τὰ τῶν πολλὰ καταβαλλομένων ἐν τῷ γαζοφυλακίῳ. ὁ Χριστὸς μεθ' ὑμῶν νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

9 ἑσθιάσεσι=ἑστιάσεσι. 10 κῶδ. *γίνονται*. 11 κῶδ. *ἐθελοθρησκίαι*. 17 κῶδ. *ἀλλήλους*. 21 κῶδ. *εὐθερία*. 24 μεσέμβρῳ=μεσημβρία. 29 κῶδ. *μηλάκιον μ. μηλακίου*.

1 ἑσθιάσεως· ὅρα καὶ σ. 207, 9. 15 οὖ φυεὶς εἶ] κῶδ. *εὐφυεῖσε*. 19/21 πρβλ. Μάρκου ιβ', 42, 43. 31 ἡμῖν] κῶδ. *ἡμῶν*. 32 κῶδ. *ἀκούωμεν*.

ΚΑΤΗΧΗΣΙΣ ΞΗ'.

Περὶ τοῦ καλῶς ποιμαίνειν τὰ λογικὰ πρόβατα τοῦ Χριστοῦ· πρὸς τοὺς εἰς Τὰ Καθαρὰ ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, τὰ καθ' ὑμᾶς εἰσελθόντες οἱ ἀδελφοὶ ἀπήγγειλαν ἡμῖν, καὶ ἐπὶ τῇ ἀγαθῇ ἀπαγγελίᾳ αὐτῶν ἐχαροποίησαν ἡμᾶς τῷ ὄντι· καὶ γὰρ χαρὰ ἡμῖν ἐστιν οὐκ ὀλίγη, ἡνίκα ἀκούομεν ὅτι περισῴζοισθε χάριτι Χριστοῦ οἱ πάντες. διακρατοῦντες τὴν κατάστασιν ὑμῶν καὶ ἐργαζόμενοι τὰ θεῖα ἐντάλματα, ἐν οἷς φωτιζόμενοι υἱοὶ φωτὸς χρηματίζετε καὶ κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν ὑποδείκνυσθε. καὶ τοιγαροῦν, τέκνα μου ἠγαπημένα, οὕτως φρονεῖτε καὶ οὕτως φρουρεῖσθε, καὶ οὕτως ὑπεξάγεσθε ἡμέραν καθ' ἡμέραν, ἀναζωπυρούμενοι τῷ θείῳ ἔρωτι καὶ ἀνακαινιζόμενοι

τῷ ἐνοικοῦντι ἐν ὑμῖν ἁγίῳ πνεύματι, καταργοῦντες μὲν πᾶσαν ἡδονὴν καὶ πᾶσαν ἐπιθυμίαν τῆς φθειρομένης σαρκός, ἀναβλαστάνοντες δὲ καὶ ἀναφύοντες ὡς παράδεισος θεοῦ τὰς ἀειζώους ἀρετάς, πάντα στέγοντες, πάντα ὑπομένοντες ὑποτακτικῶς, ὑπηκόως, ἐξαγγελτικῶς, εὐεργετικῶς, ἀγαπητικῶς, συμπαθητικῶς, ἐν ἀλλήλοις χρηστευόμενοι, ἐν ἀλλήλοις χωρούμενοι, τὰ βάρη ἀλλήλων βαστάζοντες.

Καὶ γοῦν πρῶτος σύ, τέκνον Βαρσανούφιε, βλέπε ἵνα τὴν διακονίαν, ἣν παρέδωκά σοι, ἄμωμον διατηρήσῃς ἐνώπιον τοῦ ζωογονοῦντος τὰ πάντα θεοῦ· μὴ κατὰ πρόσκλησιν, μηδὲ κατὰ καταφρόνησιν, μηδὲ κατὰ ἀγανάκτησιν, μηδὲ κατὰ ἄλογον ταπείνωσιν, μηδὲ κατὰ ἔπαρσιν φρονήματος, ἀλλ' οὕτως καὶ οὕτως, συμβουλευτικῶς, οἰκτιρμονικῶς, "ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα". οὕτως ἱμειρόμενος εὐδόκει καὶ τὴν ψυχὴν αὐτὴν τιθέναι ὑπὲρ τῶν καλῶν σου ἀδελφῶν καὶ τέκνων μου. μέγα τὸ ποιμαίνειν τὰ πρόβατα τοῦ Χριστοῦ. "εἰ ἀγαπᾷς με"— τί εἴρηκεν ὁ Χριστὸς πρὸς τὸν ἅγιον Πέτρον;—, "ποίμαινε τὰ πρόβατά μου". καὶ σύ, τέκνον, εἰ ἀγαπᾷς τὸν Χριστὸν καὶ ἐμὲ τὸν ἁμαρτωλόν, ποίμαινε καλῶς τὰ τέκνα μου, μᾶλλον δὲ τὰ ἀρνία τοῦ Χριστοῦ. ἐὰν δέ τινες ὡς ἐρίφια σκιρτῶσιν — ἀκούω γὰρ καί τι τοιοῦτον—, κατάστειλον τὰ θράση αὐτῶν, δίδαξον αὐτούς, ὡς "τὰ ἐρίφια ἐξ εὐωνύμων" τοῦ Χριστοῦ σταθήσονται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἐν τῷ μέρει τῶν ἀπολλυμένων, ἐν τῇ μερίδι τοῦ Σατανᾶ. ἐν τούτῳ φόβησον τὰς καρδίας καὶ πάταξον αὐτοὺς τῷ λόγῳ τῆς ἀπειλῆς, ἵνα γένωνται κἀκεῖνοι ὡς ἀρνία. τὰ γὰρ ἀρνία ἥμερά εἰσιν, ἄκακα, πραϋπρόσωπα, εὔνομα, εὐποίμαντα, ἀκραύγαστα, τὰ δὲ ἐρίφια πολύστριγγα, δυσκατεξάνυστα, δύσνομα, κακότροπα. οὐαὶ τοῖς τοιούτοις, ὅτι πυρὸς αἰωνίου δίκη αὐτοὺς ἀναμένει. μὴ οὖν τις γένηται, τέκνα μου, τοιοῦτος· μή, παρακαλῶ, ἐπεὶ ἀνάγκη τὸν ποιμένα λιμαγχονῆσαι καὶ ἄγξαι αὐτὰ καὶ ἀφορίσαι· ἀλλὰ συνίετε ἃ λέγω καὶ τὸ θέλημα τοῦ θεοῦ ἐργάζεσθε.

Βλέπε καὶ σύ, τέκνον μου Δανιήλ, πῶς ἐφίστασαι, πῶς ἀναστρέφῃ ἐν μέσῳ τῶν ἀδελφῶν σου. φώτιζε αὐτούς, ἅλιζε αὐτούς, συνέτιζε αὐτούς· μὴ καταδέχου τὰς ἀταξίας καὶ τὰς νεωτερικὰς παιδιάς, μηδὲ τὰς πολυκραυγοσύνας. ἀγάπα τοὺς εὐκαταστάτους, τοὺς εὐλαβοπροσώπους, τοὺς ἀπαῤῥησιάστους, τοὺς καταστηματικούς, τοὺς φιλεργούς, τοὺς εὐηκόους, τοὺς ταπεινόφρονας, τοὺς ἀγογγύστους, τοὺς ἀγελοιάστους· τοὺς δὲ ἐναντίους μίσει ἀμίσως καὶ διόρθου καὶ ὑποδειγμάτιζε τὰ κράτιστα, ἵνα μηδεὶς ἐστι θεῷ ἐναντιούμενος καὶ ἀλλοτριούμενος· ἐναντιοῦται δὲ καὶ ἀλλοτριοῦται ὁ ἄτακτος, ὁ ψίθυρος, ὁ γογγυστής, ὁ γελωτοποιός, ὁ παῤῥησιαστής, ὁ λαθροφάγος. ἀλλὰ μὴ εἴη τις τοιοῦτος ἐν ὑμῖν, πάντες δὲ θεοπρεπέστατοι καὶ θεοκίνητοι καὶ θεόδρομοι. ὁ κύριος φυλάξαι ὑμᾶς, τέκνα ἠγαπημένα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΞΘ'.

Περὶ ὑπομονῆς πρὸς τοὺς ἐν τοῖς Τριπυλιανοῖς ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, χάρις ὑμῖν καὶ εἰρήνη ἐπὶ πάσῃ τῇ ἀγαθῇ ὑμῶν καταστάσει, ἐπὶ τῇ ὑπακοῇ, ἐπὶ τῇ ταπεινοφροσύνῃ, ἐπὶ τῇ εὐλαβείᾳ, ἐπὶ τῇ χρηστότητι, ἐπὶ ταῖς νυκτεριναῖς καὶ ἡμεριναῖς ὑμνολογίαις καὶ στιχολογίαις ὑμῶν. βλέπετε, τέκνα, ἵνα πάντα ἀπαραλείπτως γίνηται. τοῦτο δὲ οὐκ ἂν ἄλλως, εἰ μὴ ἐκ τοῦ ἔχειν ὑμᾶς τὸν φόβον τοῦ θεοῦ καὶ μὴ ἀπολῆξαι τὸ πῦρ τῆς ἀγάπης αὐτοῦ ἐκ τῶν καρδιῶν ὑμῶν· ἐπὰν γὰρ ἐκεῖνο ἀποσβεσθῇ ἀπὸ ψυχῆς τῆς οἰασοῦν, ἐκεῖθεν ἀνατέλλουσιν ἀθυμίαι καὶ ῥᾳθυμίαι, τρίβολοι καὶ ἄκανθαι τῶν παθῶν, χαυνώσεις καὶ ἐκλύσεις σωματικαί, ὄκνοι

9/10 τὰ βάρη - βαστάζοντες] Γαλάτ. ς', 2. 19/20 Θεσσαλ. 1, β', 7. 23 κῶδ. *ποιμένειν*. 23/25 Ἰωάνν. κα', 16. 25 κῶδ. *ποίμενε*· οὕτω καὶ κατόπι. 31 Ματθ. κε', 33.

3 κῶδ. *λιμαγχονεῖσαι*. 11 κῶδ. *κραυγωσύνας*. 24 κῶδ. *φυλάξει*.

καὶ ἀκηδίαι, ὕπνοι ἄμετροι καὶ τροφαὶ ἀχόρταστοι καὶ εἶτι ἄλλο εἶδος τῆς κακίας· πάρειμι γὰρ λέγειν τὰς πυριφλέκτους ἡδονὰς καὶ τοὺς σκοτομηνεῖς λογισμοὺς καὶ τὰς σχέσεις καὶ ἐφέσεις τῆς ἐπικήρου ζωῆς. γνώρισμα δὲ τοῦ μὴ ἀποσβεσθῆναι τὸ πῦρ ἐκεῖνο τὸ ἅγιον καὶ ἄυλον, τὸ τὴν ψυχὴν ἀεὶ προθυμεῖσθαι περὶ τὰ καλὰ ἀτόνως, κἂν ἀτονῇ, καὶ ἀνολιγώρως, εἰ καὶ ὀλιγωρεῖ ἐκτελοῦσα τὰ καθήκοντα, τὰς ὑπακοάς, τὰς ἐργασίας, τὰς στιχολογίας, τὰς ἐξαγορεύσεις, τὰς τῶν χειρῶν ὑπουργίας, τὰς προσευχάς, τὰς ἐννόμους ἐγκρατείας, τὰς κατὰ πᾶν ἄλλο τι οὖν ἐν τῇ μακαρίᾳ ὑποταγῇ ἐπιθεωρουμένας ἐνεργείας. ὁ τοιοῦτος τρισμακάριστος, ὁ τοιοῦτος θεοπόθητος, ὁ τοιοῦτος πᾶσιν ἐπέραστος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας οἷον χρώματά τινα ἀναπέμπων τὰ θεῖα χαρίσματα ἐν τῇ προσωπικῇ εἰδέᾳ καὶ ἐπίχαρις καὶ περικαλλὴς θεοπρεπῶς τοῖς ὁρῶσι δεικνύμενος. εἰκόνα γὰρ τῆς ψυχῆς αὐτοῦ πως διὰ τῶν ἔξω αἰσθήσεων ὑποχαρακτηρίζει· οἱ γὰρ λογισμοῖς ἀτόποις ἐνεχόμενοι καὶ μὴ προαναγγείλαντες εἰς τὸ βοηθηθῆναι, κατὰ μικρὸν ἐκπεπτώκασι τῆς θείας αὐτῶν ὁμολογίας, θήραμα τῷ διαβόλῳ γενόμενοι. ἀλλ' εὐχόμεθα, ἵνα ὁ ἀνακαλούμενος καθ' ἑκάστην ἡμέραν πάντας τοὺς ἀπωσμένους ἐπιστρέψῃ κἀκείνους εἰς τὴν ἰδίαν αὐτῶν ποίμνην, εἰς τὸ μὴ ἐκδαπανηθῆναι αὐτοὺς τελείως ὑπὸ τῆς ἁμαρτίας. πλὴν τὴν δέουσαν ἔρευναν μὴ ἀμελήσητε καὶ αὐτοὶ ποιήσασθαι· εἰ γὰρ οἱ θρέμματα ἄλογα ἀπολωλεκότες οὐκ ἀνεκτῶς φέρουσι τὴν ζημίαν, πόσῳ γε οἱ λογικὰ ἐμπεπιστευμένοι ὀφείλουσιν ἐπιζητεῖν τὰ ἀπολλύμενα; ἐπεὶ δὲ οὗτοι πεπόνθασι τὸ πτῶμα, οἱ λοιποὶ ἀσφαλίσασθε· γέγραπται γάρ· "ἀσεβῶν καταπιπτόντων, οἱ δίκαιοι ἔμφοβοι ἔσονται". ἔμφοβοι τοίνυν ἔσεσθε καὶ ἀσφαλῶς διαβαίνετε· κρημνοὶ γὰρ ἑκατέρωθεν, ὑπὸ τοῦ διαβόλου κατασκευαζόμενοι. διὰ τοῦτο μηδεὶς ἀνεξαγόρευτος μενέτω, μηδὲ ἰδιοθελὴς ὑπαρχέτω, μήτε φιλήδονος, μήτε φίλαυτος· ἐν γὰρ τοῖς τοιούτοις ἐνισχηθέντες οἱ προειρημένοι καὶ πονηρὰ συνέδρια βουλευόμενοι, προκαταλαβούσης ἀδηφαγίας, μᾶλλον δὲ κλεψοφαγίας, φιλοσαρκίας τε καὶ φιλαμαρτίας, ὠλίσθησαν εἰς τὸν βόθρον τῆς ἀποδράσεως, ἐλεεινὰ ἄρτι βαδίζοντες καὶ οἰκτιστα, περιερχόμενοι ὧδε κἀκεῖσε ὡς πρόβατα πλανώμενα· ἐρωτώμενοι ψεύδονται· μὴ ψευδόμενοι αἰσχύνονται, ἐξ αὐτῆς τῆς ἀποκρίσεως καὶ τῆς ὁράσεως τὴν δήλωσιν τῆς ἁμαρτίας αὐτῶν ἐπιφερόμενοι ἔντρομοι, ἔμφοβοι, κατηφεῖς, ὀδυνηροί, εἰς γῆν ἀληθῶς τὸ πρόσωπον νεύοντες. εὐχὴ ἀπ' αὐτῶν ἀπελήλαται· πρὸς τίνα γὰρ τὰς χεῖρας ἀροῦσιν, ἐξότε ἀπὸ θεοῦ ἀποδιδράσκουσι; ψαλμῳδία καὶ ᾠδὴ ἐκ τοῦ στόματος αὐτῶν ἐξῆρται· τίνι γὰρ ψαλοῦσιν "ὑπομένων ὑπέμεινα τὸν κύριον", ἡνίκα διὰ τῆς ὀλιγωρίας ἀπεθανατώθησαν; ὕπνος ἐν αὐτοῖς βαθὺς καὶ ῥᾳθυμία, δυσελπιστία, μᾶλλον δὲ ἀνελπιστία. διὰ τοῦτο προσεύχεσθε μὲν ὑπὲρ αὐτῶν τὰ εἰς ἐπιστροφήν, προσεύχεσθε δὲ τὰ ὑπὲρ ὑμῶν εἰς στηριγμόν, λέγοντες καὶ κράζοντες· "ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω", καὶ τὸ "πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι", καὶ "αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν", ἵνα ὡς στρατιῶται Χριστοῦ πολεμοῦντες καὶ μὴ καταπίπτοντες τὸν τῆς δικαιοσύνης στέφανον διὰ τῆς ὑπομονῆς ἀπολαύοιτε.

Ναί, ναί, τέκνα μου, παρακαλῶ ὑμᾶς, δέομαι πρὸ τῶν ποδῶν ὑμῶν· μὴ κατολιγωρήσητε, μὴ δέξησθε τὸν διάβολον σύμβουλον, μὴ ἀτονήσητε ἀπὸ τῆς ἀθλητικῆς ὑμῶν ἐνστάσεως· μικρὸν γὰρ ὅσον ὅσον καὶ ὁ χρόνος παρατρέχει, οἵ τε στέφανοι καταπλέκονται καὶ "μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος εὑρήσει ποιήσαντα οὕτως", καθὼς προσέταξεν. περὶ τῶν ἀτακτησάντων ἄλλων, καθὼς ἀκήκοα, οὐκ ἐγράψατέ με· πλὴν εἰ-

9 κῶδ. *ἀνωλιγώρως - - ὀλιγορεῖ.* 28/29 κῶδ. *ἐπιστρέψει.* 38 κῶδ. *καταπιπτώντων.*

4 κῶδ. *ἀδιφαγίας.* 14 κῶδ. *ἀπελήλατε.* 17 Ψαλμ. λθ', 1. 24 Ψαλμ. κς', 3. 25/27 Ψαλμ. ρκή', 2. 27/29 Ψαλμ. ρλα', 14. 39/40 Ματθ. κδ', 46. 42 με] οὕτως ἐν τῷ κώδικι.

σίτωσαν ἐνταῦθα· οὐκ οἶδα, ἐάν τι ἄλλο δοκιμάζητε μετὰ συμβουλῆς γενέσθαι, πάντως δὲ τὰ ὀφειλόμενα ἐπιτίμια δεδώκατε. ὁ κύριος ὑμᾶς διαφυλάξαι εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ο'.

Περὶ τοῦ ἐγκαρτερεῖν ἐν τῇ ὁμολογίᾳ ἡμῶν· πρὸς τοὺς ἐν τῷ Ἁγίῳ Χριστοφόρῳ ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, μεμαθηκὼς καὶ νῦν διὰ τοῦ οἰκονόμου τὰ καθ' ὑμᾶς ἐχαροποιήθην καὶ ἐλυπήθην, τὸ μὲν διὰ τὴν ὑμῶν τῶν προηγουμένων ἐν κυρίῳ εὐζωΐαν καὶ ὑγείαν τῶν τε ὀρθοποδούντων ἀδελφῶν καὶ ὀρθοποδησάντων ἐπὶ τῇ ὑποταγῇ τῆς εὐσεβείας ἐν ὑπομονῇ ἀγαθῇ καὶ θεαρέστῳ διαγωγῇ, τὸ δὲ διὰ τὴν γνώμην τῶν πάλιν σκολιασάντων καὶ ἀποδρασάντων, εἰ καὶ πάλιν ἀνεκλήθησαν. ἀλλ' ὑμᾶς μὲν ἐπὶ τὸ πλεῖον κύριος φυλάττων φυλάξει καὶ ἑδραιῶν ἑδραιώσει, εἰς τὸ ἀποτελέσαι τὸν δρόμον τῆς ἀθλητικῆς ὑμῶν διατριβῆς· πρὸς δὲ τοὺς σκολιοὺς ἐκεῖνο προσφθέγξομαι· "υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος", ἐκζητοῦντες τὰ θελήματα τῶν διανοιῶν ὑμῶν ἐν ἐριθείᾳ τῶν παθῶν ὑμῶν, οὐ πρὸ ὀφθαλμῶν τιθέμενοι φόβον θεοῦ καὶ κρίσιν ἀνταποδόσεως, πῦρ ἀτελεύτητον, σκότος ἐξώτερον, βρυγμὸν ὀδόντων καὶ τάρταρον ἀσυνείκαστον, ἀλλ' οὕτως ἀδεῶς καὶ αὐθαδῶς, ψευδῶς τε καὶ παικτῶς τὸν θεὸν λογιζόμενοι, διὰ τῆς ἐκτροπῆς τῶν ἐπιτηδευμάτων ὑμῶν; ἕως πότε ἐπιλανθάνεσθε τῶν κριμάτων αὐτοῦ; ἕως πότε οὐ λαμβάνετε αἴσθησιν μεταμελείας; ἕως τίνος τίθεσθε βουλὰς πονηρὰς ἐν ταῖς ψυχαῖς ὑμῶν, προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, ἐξερευνῶντες ἐξερευνήσεις ματαίας; οὐκ ἀνακαλεῖσθε οὖν ἑαυτοὺς ἐκ τοῦ πτώματος ὑμῶν; οὐκ ἀναφέρεσθε ἐκ τῆς σκοτώσεως ὑμῶν; οὐκ ἀναλαμβάνετε ἐκ τῆς ὁρμῆς ὑμῶν; τίνος δοκεῖτε ἀποδιίστασθαι; τίνα δοκεῖτε ἀρνεῖσθαι; ἀλλ' οὐχὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἐλάβετε εἰς ἡμέραν ἀπολυτρώσεως διὰ τοῦ ἁγίου σχήματος; οὐχὶ πῦρ ἐκκέκαυται κατὰ τῆς κεφαλῆς ὑμῶν; ἀρκείτω ὧδε. μηκέτι προσθῆτε, μηκέτι ὁ διάβολος χαίρῃ ἐν ὑμῖν, μηκέτι θεραπεύητε τὸν ἀντίδικον. ἀγαπήσατε τὸν ἀγαπήσαντα ὑμᾶς κύριον· εἰσοικίσασθε τὸν ἀγαθὸν δεσπότην. καὶ περὶ τῶν προτέρων αὐτὸς ἀγαθός ἐστιν, εὐπαράκλητος, εὐμενής· συγχωρήσει ὑμῖν διὰ τῆς ταπεινώσεώς μου.

Τοῦτο παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ· ὀρθώσατε τὰ χαυνώματα τῶν ψυχῶν ὑμῶν· στηρίξατε τὰς βάσεις τῶν καρδιῶν ὑμῶν· συνάξατε τὰ συντρίμματα τῶν διανοιῶν ὑμῶν. ταῦτά εἰσιν, ἃ συντάσσεσθέ μοι, ἃ καθομολογεῖτε. οὐδὲ ἂν πῦρ καὶ μάχαιρα ἠπειλεῖτο, οὐδὲ ἐὰν βάσανοι καὶ ποιναὶ ἀνετείνοντο, ὅλως ἐχρῆν ὑμᾶς ἐκκλῖναι. ἀλλὰ νῦν ὑπὲρ μικροῦ πράγματος, ὑπὲρ πονηροῦ θελήματος, πᾶσαν καταπατήσαντες θείαν συνθήκην, ἱερὰν ὁμολογίαν, ἀπεπηδήσατε ὡς δαμάλεις οἰστρῶσαι· ἐπορεύθητε ἐν τόπῳ ἀνύδρῳ καὶ ἀβάτῳ θεοσεβείας· ηὐλίσθητε, τὸ δὴ λεγόμενον, εἰς κώμας· συνανεστράφητε ἀνδράσι καὶ γυναιξὶ κοσμικοῖς· ἐφάγετε, ἐπίετε, ὡς ἐν ἡμέρᾳ σφαγῆς, καθάπερ τινὲς σῦες. ἐκ δὴ τοιούτων σπερμάτων, οἷα ἄρα ἀνίσχουσι γεώργια; φεῦ τῆς ταλαιπωρίας μου! ἵνα με ἡ γῆ κατέπιεν! καιρὸς ὄντως μοι εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο· "πέσετε ἐπ' ἐμὲ τὰ ὄρη καὶ οἱ βουνοὶ κατακαλύψατέ με τὸν ἄνομον, τὸν ἁμαρτωλόν, διότι οὓς ἐγέννησα, ἠθέτησαν νόμους θεοῦ· ἐμόλυναν σάρκα, προέδωκαν παρθενίαν, ἀπεμπολήσαντο τὴν ὑποταγήν, γεγόνασι παίγνιον δαιμόνων"! μὴ γὰρ οὐχὶ ὧδε κἀκεῖ ἄγει τοὺς πειθομένους αὐτῷ, ἀνασπῶν αὐτοὺς ὡς ἐκ μάνδρας καὶ λαμβάνων κατάβρωμα νοητῶς ἐπὶ στόματος ἁμαρτίας ὁ Σατανᾶς; ἀλλὰ δεῦρο κἂν ἀπὸ τοῦ παρόντος ἐκνήψωμεν, ἀνανήψωμεν, ἀναβλε-

---

4 κῶδ. *διαφυλάξοι.* 22/24 Ψαλμ. δ', 3. 36/37 προφ. προφάσεις ἐν ἁμαρτίαις] Ψαλμ. ρμ', 4.

7 κῶδ. *θεραπεύετε.* 8 κῶδ. *ἡμᾶς κ. εἰσοικήσασθε.* 28 ἐν ἡμ. σφαγῆς] πρβλ. Ἱερεμ. ιβ', 3. 32 προφητικὸν] πρβλ. Ὡσηὲ ι', 8.

ψώμεθα, ἐπισκεψώμεθα τὴν πλάνην, τὴν ἀβουλίαν· καταμεμψώμεθα ἑαυτούς, ταπεινωθῶμεν, συντριβῶμεν, ὑποπέσωμεν, ἐξαγορεύσωμεν, ἐρασθῶμεν, ἐπιλαβώμεθα ἐκ μικροῦ τῆς προτέρας καλλίστης ἡμῶν διαγωγῆς.

Ναί, δέομαι πάντων ὑμῶν· "οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν", στῆτε γενναίως, πορεύεσθε ἀκλινῶς, πείθεσθε τῷ προεστῶτι. χαίροις, Κάνδιδε· χαίροις, Πολύβιε· χαίροις, Κοσμᾶ· χαίροις, Παῦλε· χαίροις, Θεωνᾶ· χαίροις, Ἰσχυρίων· ἄρα καὶ ὑπερέχεις, ὡς σὺ οἶδας· ἕκαστος γὰρ ἐκ τῆς οἰκείας καταστάσεως τὰ ἐγκώμια καὶ τὰς κωμῳδίας κέκτηται· ἂν καλῶς, καλά, ἂν κακῶς, κακά, καὶ ἀκούει καὶ ἐπίσταται καὶ μακαρίζεται. ἐγὼ δὲ ἐλπίζω μηδένα ἀπολέσθαι, ἀλλ' εἰ καὶ ὠλίσθησάν τινες, πάλιν ἐπὶ τῆς αὐτῆς καταστάσεως γεγενῆσθαι. σὺ δέ, τέκνον Δομετιανέ, σύμψυχος ἔσο τῷ πρώτῳ σου ἀδελφῷ Λουκιανῷ. βλέπε τὴν παρακαταθήκην, βλέπε τὰς ἐντολάς. "ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται", καὶ οὐκ ἐμὲ τὸν ἁμαρτωλόν, ἀλλὰ τὸν θεόν, δι' ὃν ἐσμεν καί ἐστε. σπουδάσατε, γρηγορήσατε· πάντα ὑμῶν κατὰ λόγον ἔστωσαν, ἐν μηδενὶ κατολιγωρούντων ὑμῶν κατὰ πάντα τὰ ὀφειλόμενα, καὶ εἴη κύριος ὁ θεὸς ἡμῶν ἀποπληρῶν ὑμᾶς καὶ χάριτος καὶ εὐλογίας, στηρίζων, δυναμῶν, κραταιῶν δι' εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ὅτι αὐτῷ πρέπει δόξα καὶ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΤΗΧΗΣΙΣ ΟΑ'.

Περὶ ταπεινοφροσύνης καὶ εὐταξίας, πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες, πρὸς τοὺς ἀναπτομένους ἡμῖν πολέμους ἐντεῦθεν καὶ ἐντεῦθεν ἐκεῖνο ἔχω λέγειν· "ἐδόθη ἡμῖν ὄντως σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, ἵνα μὴ ὑπεραιρώμεθα", ἵνα μὴ φυσιώμεθα, ἵνα μὴ ἀλαζονευώμεθα, ἀλλὰ μᾶλλον παιδευόμενοι ταπεινώμεθα καὶ ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ καταφεύγωμεν, ὡς οὐκ ἐνόντας ἄλλως διασῴζεσθαι· ὅταν δὲ διὰ πάσης σπουδῆς ὑποτάξωμεν τὸ ἀνυπότακτον φρόνημα καὶ γνῶμεν ἑαυτούς, ὅτι ὅλως διόλου ἐσμὲν ταλαίπωροι, μηδὲν κατορθοῦν δυνάμενοι δίχα βοηθείας θεοῦ, μεσιτείᾳ τοῦ καθοδηγοῦντος, ὅστις ἂν εἴη, τότε συγκαταβήσεται περὶ τὴν κάμινον τῶν παθῶν ἡμῶν ἄγγελος, ὥσπερ τοῖς περὶ τὸν Ἀζαρίαν, καὶ ἐκτινάξει τὴν φλόγα τῆς ἐπιθυμίας ἐκ τῆς καρδίας, καὶ ἐμποιήσει ἐν ταῖς ψυχαῖς ἡμῶν "ὡς πνεῦμα δρόσου διασυρίζον" τὸ τῆς ἀγνείας δῶρον. διά τοι τοῦτο ταπεινώμεθα· κάτω τὸ φρόνημα ἡμῶν, κάτω τὰ ὄμματα· ὑποπιπτέτω ὁ λόγος, ἡττάσθω ἡ διάλεξις καὶ ἐγγὺς τὸ ἔλεος τοῦ φιλανθρώπου θεοῦ. μηδεὶς ἄπιστος, μηδεὶς δόλιος, μηδεὶς σκολιός, μηδεὶς τοῖς χείλεσιν εὐλογείτω, "τῇ δὲ καρδίᾳ αὐτοῦ πόρρω ἀπέχει ἀπ' ἐμοῦ", ὥσπερ ἐστὶν ὁ ἰδιόρρυθμος καὶ ὁ αὐτοσύνετος· "μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος", κατὰ τὸν ἀπόστολον· μηδεὶς περιπαρήτω τῷ τῆς παῤῥησίας πτώματι καὶ ἐμπέσῃ εἰς βάθη κακῶν, καὶ ἀποτίσῃ ποινὰς αἰωνίας. ὅλως φωτεινοὶ γένοισθε, ὅλως εἰλικρινεῖς, ὅλως γνήσιοι υἱοί. ὡς τέκνα, ὡς ἀδελφοί, ὡς συγκληρονόμοι περιπατήσωμεν, μὴ καταδεχόμενοι τὰς εἰς ἀλλήλους βλάβας, μηδὲ τὰς νεωτερικὰς ἀταξίας, ἀλλ' ὡς ἐπὶ πᾶσι καὶ νῦν. ἐπεὶ πάρεστι τὸ γενέθλιον τοῦ δεσπότου ἡμῶν καὶ προστάτου, τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ μέλλουσιν ἤδη ἀπὸ ἑσπέρας οἱ κληθέντες πατέρες καὶ ἀδελφοὶ παραγίνεσθαι, εὕρωσιν ὑμᾶς εὐκαταστάτους, ἴδωσιν ἡγιασμένους, γνώσωσιν ὑμᾶς ἀπροσκόπους. καὶ τοῦτο πῶς; ἵνα ἕκαστος, καθὼς διετά-

---

7/9 Ψαλμ. ρλγ', 1. ρλδ', 1. 20 κῶδ. ἔσω. 22/24 Λουκᾶ ι', 16. Ματθ. ι', 40. 35 Mai Novae patrum biblioth. t. IX, pars II. σ. 37. 40 πρβλ. Κορινθ. 2, ιβ', 7.

2 κῶδ. *φυσιούμεθα*. 4 κῶδ. *ταπεινούμεθα*. οὕτω καὶ κατόπιν. 16 προσευχῆς Ἀζαρίου στίχ 26. 22/23 Ἡσαΐου κθ', 13. 25/26 Κορινθ. 1, ι', 24. 28 ἀποτίσει V. 40 *γνώσκουσιν* V.

χθη, ἐν τῇ διακονίᾳ αὐτοῦ παραμένων χρησιμεύσῃ, ῥυθμίζων ἑαυτὸν ἐν πάσῃ ἀγαθῇ πράξει καὶ λαλῶν προσηκόντως, καὶ σιωπῶν εὐστόχως, καὶ ψάλλων προθύμως, καὶ ὑπουργῶν ἐνδυναμούμενος· βλέπετε γάρ, ἵνα ἐν τῇ ψαλμῳδίᾳ συναθροιζόμενοι πάντες ἀνελλιπῶς καλῶς χοροστατήσωμεν καὶ συμφωνήσωμεν καὶ ἀνακρουσώμεθα τὰ θεοτερπῆ ἄσματα τοῦ Προδρόμου, καὶ ἁπλῶς κατά τε τὴν λειτουργίαν τῆς ἐκκλησίας, κατά τε τὴν ὑπουργίαν τῆς τραπέζης. ταύτην τὴν μίαν ἡμέραν, παρακαλῶ καὶ δέομαι, ὑπὲρ τὰς λοιπὰς χαρίσασθέ μοι εὐκατάστατον, εὐαπόδεκτον, ἵνα δοξασθῇ ὁ θεὸς διὰ τοῦ ἔργου ὑμῶν ἐν τῇ ὠφελείᾳ τῶν ὁρώντων, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΟΒ'.

Εὐχαριστήριος πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, ἐν τῇ πόλει ταύτῃ οἰκούντων ἡμῶν ἐπιγίνεται μανθάνειν ἡμᾶς τὰ συμβατικὰ τῶν ἀνθρώπων τοῦ παρόντος βίου, οἷον τῶν μὲν τὰς προβολάς, τῶν δὲ τὰς διαδοχάς, καὶ τῶν μὲν τὰς ἐξορίας, τῶν δὲ τὰς δημεύσεις καὶ ἄλλων τὰς ἀμέτρους χαράς, ἑτέρων δὲ τὰς θανασίμους λύπας, ἢ ἐκ πλούτου, ἢ ἐκ πενίας, ἢ ἐκ χηρείας, ἢ ἐξ ἀπαιδίας, ἢ ἐκ συκοφαντίας, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ πλεονεξίας· καὶ γάρ, ὡς ἔπος εἰπεῖν, πᾶς ἄνθρωπος δολίως πορεύεται πρὸς τὸν πλησίον αὐτοῦ "καὶ πτέρνῃ πτερνιεῖ" τὸν ἀδελφὸν αὐτοῦ, καὶ πολλοῖς τοῖς κακοῖς ἐμπέπλησται ἡ ζωὴ τῶν ἀνθρώπων. ἡμεῖς οὖν ἄρτι, ὅτι χάριτι τοῦ καλέσαντος ἡμᾶς θεοῦ εἰς τὸ ἱερὸν καὶ ἄσυλον σχῆμα τοῦτο ἠξιώθημεν φυγεῖν τὰς κοσμικὰς ἀπάτας καὶ τὴν ἐπάλληλον φορὰν τῶν ματαίων πραγμάτων, ὡς ἐν λιμένι καθορμημένοι ἐν τῷ ταπεινῷ μοναστηρίῳ, μηδὲ τὴν τυχοῦσαν ἔχοντες μέριμναν πρὸς τὸ πρᾶξαι ἀνθρωπίνως, ἢ πλουτῆσαι, ἢ ὑψωθῆναι, ἢ ἀμύνασθαι, ἢ ἀντιλυπῆσαι, ἢ ἐγγαμίσαι, ἢ στρατευθῆναι, ἢ πολεμῆσαι, ἢ κατακοπῆναι καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι, τί ἀνταποδώσωμεν αὐτῷ περὶ πάντων τούτων, ὧν ἀνταπέδωκεν ἡμῖν; τί προσοίσωμεν ἐπάξιον; τί φθεγξώμεθα; τί καὶ ἐννοήσωμεν πρὸς τούτοις, ὅτι καὶ ἐλπίζομεν βασιλείας οὐρανῶν ἐπιτυχεῖν καὶ τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν κληρονομῆσαι; ὄντως δίκαιον ἡμῖν ἐστιν ἑκάστοτε λέγειν ἐκεῖνο τὸ προφητικόν, τὸ "τίς εἰμι ἐγώ, κύριε, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου, ὅτι ἠγάπησάς με τοσοῦτον";

Οὐκ ἔστιν οὖν ἡμῖν χαρά, ὅτι οὐ φροντίζομεν τοῦ κόσμου τούτου; οὐκ ἔστιν ἀγαλλίασις, ὅτι τὸ περιθρύλλητον πρᾶγμα τοῦτο τῆς βασιλείας πρὸς τὸ καθ' ἡμᾶς ἀξίωμα εἰς οὐδὲν λογιζόμεθα; οὐκ ἔστι δόξα, ὅτι ἅπαντας τοὺς θησαυροὺς τῶν βασιλέων καὶ τοὺς πολυτιμήτους λίθους καὶ μαργαρίτας πρὸς τὸν τῶν ἀρετῶν πλοῦτον ὡς χοῦν ἡγούμεθα; τί κάλλιον ἡμῖν καὶ τί μεῖζον, καὶ τί τερπνότερον καὶ τί μακαριώτερον, εἴπερ φρονοῦμεν καὶ εἴπερ αἰσθανόμεθα, λογικοὶ ὄντες, οἷα τὰ ὁρώμενα πρὸς τὰ νοούμενα; ἐμοὶ μὴ γένοιτο, εἰ καὶ ταπεινὸς ὤν, ἐπιθυμῆσαι οὐχὶ τόδε ἢ τόδε τῶν ἐραστῶν καὶ περισπουδάστων ἀνθρώποις, ἀλλ' οὐδὲ πάσας τὰς βασιλείας τοῦ κόσμου τούτου διδομένας μοι, ἐπειδὴ κληρονόμος θεοῦ καὶ συγκληρονόμος Χριστοῦ ἐφίεμαι γενέσθαι, τοῦ δεσπόζοντος οὐρανοῦ καὶ γῆς καὶ τῶν ἁπάντων, ὥσπερ καὶ ὑμεῖς. ἀλλ' ἐγὼ μὲν οὐκ ἐπιτεύξομαι, μὴ πράττων κατὰ τὸν πόθον· ὑμεῖς δὲ εὖ οἶδ' ὅτι ἐπιτεύξεσθε, τέκνα μου, ἐάν περ βεβαίαν καὶ ἀκλινῆ τὴν πίστιν ὑμῶν κατέχητε καὶ τὸ ἀσάλευτον τῆς μακαρίας ὑμῶν ὑποταγῆς, τῶν ἐν αἰῶσιν ἀπείροις ἀποκειμένων ἀγαθῶν, ὧν τὸ ὑπερβάλλον μέγεθος καὶ τὸ τῆς λαμπρότητος ἀξίω-

---

1 *παραμένον* P. 6/7 *ἀναλλειπῶς* P. 13 χαρίσασθαι V. 35 Ἱερεμ. ϑ', 4.

14/16 Βασιλ. 2, ζ', 18. 24 κῶδ. *πλούτων*. 42/43 κῶδ. *ὑπερβάλλων*.

μα οὐδὲ εἰκάσαι ἐστὶ πρὸς τὰ ἐνταῦθα μεγαλαυχούμενα κατὰ ἀμυδράν τινα εἰκόνα.

Παρακαλῶ οὖν ὑμᾶς ὁ τάλας διὰ τὰ τοιαῦτα καὶ τηλικαῦτα ἀποκείμενα ὑμῖν ἀγαθὰ μηδέ, εἰ παραδώσωμεν τὸ σῶμα, ἵνα καυθῇ, νομίσωμέν τι μέγα πεποιηκέναι, οὐχ ὅτι μικρόν τι νηστεύομεν, ἢ ἀγρυπνοῦμεν, ἢ γονυκλιτοῦμεν, ἢ ἀστατοῦμεν, ἢ κολαφιζόμεθα ἐν ταῖς ὑπαλλαγαῖς τῶν ἱματίων, ἢ τῶν ὑποδημάτων, ἢ τῶν φθειρῶν, ἢ τῶν ἄλλων ὁποιωνοῦν εἴποιέν τις κόπων, ὅτι σκιὰ καὶ ὄναρ εἰσίν. καὶ μακάριος ἄνθρωπος, ὃς ταῦτα συμβάλλει καὶ συμβιβάζει ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ προστίθησιν ἡμέραν ἐξ ἡμέρας εἰς εὐχάς, εἰς δάκρυα, εἰς ταπείνωσιν, εἰς ὑπακοήν, εἰς κατάνυξιν, εἰς πραότητα, εἰς ἐλεημοσύνην, εἰς ἀπάθειαν. ὄντως ὁ τοιοῦτος τῶν φρονίμων ὁ φρόνιμος καὶ τῶν σοφῶν ὁ σοφός. εἴην δ' ἂν ἐγὼ ὁ ἀνάξιος τῆς μοίρας τῶν τοιούτων, καὶ εἴ τις ἐμοὶ πείθοιτο, καὶ διὰ τοῦτο καὶ ἐμπαιζέσθω καὶ χλευαζέσθω, ἄφρων καὶ ἄνους λεγόμενος καὶ πᾶσιν ὑποπίπτων καὶ ὑπὸ πάντων εὐτελιζόμενος.

Οὗτός μοι τῆς παρούσης κατηχήσεως ὁ λόγος· εὔχεσθε δέ μοι, ἀδελφοί, ἵνα καὶ εἰς τὸ ἑξῆς ἡ παιδεία κυρίου ἀνοίγῃ μου τὰ ὦτα πρὸς τὸ ἀκοῦσαι ἢ εἰπεῖν τι τῶν λυσιτελούντων ὑμῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΟΓ'.

Περὶ τοῦ μὴ ἰδιογνωμονεῖν, πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἐν τῷ τὴν ἀδελφότητα διαμερισθῆναι ὧδε κἀκεῖσε, ἐπὶ τῇ τοῦ θέρους χρείᾳ, συνδιαμεμέρισταί μου καὶ ἡ ταπεινὴ ψυχή, καὶ νοητῶς μεταβαίνω ἐκ τοῦδε εἰς τόνδε τὸν τόπον, περιβλεπόμενος καὶ κατασκοπούμενος. τίς ἄρα καὶ ποταπὴ ἡ κατάστασις αὐτῶν, εἰ σῳζόμενοί εἰσιν ὑπὸ κυρίου, εἰ πορευόμενοί εἰσιν ἐν ὁδῷ ἀμώμῳ; οἴδατε γάρ, ὅτι ἄφεσιν μικρὰν λαβοῦσα ἡ εὐόλισθος ἡμῶν φύσις, ἀγριοῦται καὶ θηριοῦται καὶ ἀποκύει θάνατον ἁμαρτίας. διὰ τοῦτο καρδιάζομαι ὁ ἐλεεινὸς καὶ συμπιάζομαι καὶ συνθλίβομαι τῇ μερίμνῃ καὶ τῇ φροντίδι, τῇ ἀδολεσχίᾳ κατατηκόμενος, κἂν οὐδὲν ὑμῖν συνοίσω εἰς ὠφέλειαν· εὐχὴν γὰρ οὔπω ἔχω, ἵνα συνεπαμύνωμαι ὑμῖν ἢ ἐκείνοις. κύριος δὲ ὁ θεὸς τοῦ πατρός μου ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει· κύριος εὐλογήσει ὑμᾶς τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ, καὶ συμβιβάσει καὶ συμφράξει τῇ εἰς ἀλλήλους ἀπαρρήσιάστῳ ἀγάπῃ, καὶ συνενώσει τῇ ὁμοψύχῳ βουλήσει καὶ προαιρέσει, "ἵνα μὴ ᾖ ἐν ὑμῖν σχίσματα", κατὰ τὸν ἀπόστολον, μηδὲ γνωμικὰ θελήματα, μηδὲ ἰδικὰ ἐπιθυμήματα, ἅτινά εἰσι πονηρὰ ἐπιτηδεύματα, ἀλλὰ τὸ αὐτὸ ὑπάρχῃ κοινῶς καὶ καθολικῶς, ἓν θέλημα καὶ ἓν ἐπιθύμημα, ὡς ἐξ ἑνὸς καὶ ἐν ἑνὶ σώματι ἐνεργούμενον· τοῦτο γὰρ τὸ κοινόβιον καὶ τοῦτο ἡ ἐκκλησία, καὶ ἐν τούτῳ τὸν Χριστὸν κεφαλὴν ἔχοντες ἐπιδεικνύμεθα. ἕως πότε λοιπὸν αἱρετιεῖ ὁ αἱρετιῶν καὶ ἰδιογνωμεῖ ὁ ἰδιογνωμῶν; "οὐαί", φησίν, "οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες". ἀρκεῖ αὐτῷ ἡ τηλικαύτη ἀρὰ τοῦ προφήτου. "πάντα πρόιντο ἄν", ὡς φησί που ὁ θεολόγος Γρηγόριος, "ἢ τοὺς οἰκοθεν λογισμούς, μεθ' οὓς ἔρχονται, καὶ τὴν συνήθειαν, ἢ συνανεστράφησαν". ἀλλ' οὐ χρὴ ταῦτα εἶναι ἔν τισιν· ἢ οὐκ οἴδατε, τί λέγει πάλιν ὁ θεῖος καὶ μέγας Βασίλειος; ὅτι "ὁ ὑπὲρ τοὺς ἄλλους ἐπιζητῶν τι πλέον, ἐκείνης ἐστὶ τῆς φωνῆς ἄξιος, ἧς φησι· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ". διὰ τοῦτο συντριβόμεθα τοῖς λογισμοῖς, διὰ τοῦτο ταλαιπωροῦμεν μὴ προκόπτοντες, διὰ τοῦτο ἀναβαίνουσι διαλογισμοὶ πονηροὶ ἐν ταῖς καρδίαις ἡμῶν, διὰ τοῦτο γινόμεθα υἱοὶ παραπικραίνοντες καὶ διαγογγύζοντες.

---

18 κῶδ. *φρονήμων ὁ φρόνημος.*

1/2 πορ. ἐν ὁδῷ ἀμώμῳ] Ψαλμ. ρ', 6. 13 κῶδ. *συμφράξοι.* 16 Κορινθ. 1, α', 10. 19 κῶδ. *ὑπάρχει.* 26/27 Ἡσαΐου ε', 21. 36/37 Γεν. δ', 7.

Ἀλλ' οὖν δι' ἐπιγνωμοσύνης ἀφέμενοι τὰ οἰκεῖα θελήματα στοιχήσωμεν τῷ κανόνι τῆς εὐθύτητος, κατὰ πάντα τὰ προστεταγμένα ἡμῖν ἐνθέως καὶ νομίμως πορευόμενοι. μή μοι λεγέτω τις ἀφρονεύων, "ὤφειλον τὸ καὶ τὸ πράσσειν παρὰ τοὺς πολλούς, καὶ ἐπάξιός εἰμι τοῦ καὶ τοῦ ἀπολαύειν, διὰ τὸ ὁρμεῖσθαί με ἐκ τοῦ τοιούτου καὶ τηλικούτου". σαρκικὰ τὰ ῥήματα, μᾶλλον δὲ σατανικὰ τὰ κινήματα· ἐν τούτῳ γὰρ ἀλλοτρίους ἑαυτοὺς τῆς τοῦ θεοῦ ἐκκλησίας οἱ τοιοῦτοι καθιστάνουσιν. εἰ γὰρ τέκνα ἐστέ, οἱ πάντες ἕν ἐστε καὶ ἐκ τοῦ ἑνὸς γεγεννημένοι· καὶ γὰρ ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου "ἐγὼ ὑμᾶς ἐγέννησα", ὡς φησιν ὁ θεῖος ἀπόστολος· εἰ δὲ ἕν ἐστε, πῶς τὸ ἓν οὐ στέργετε, ἀλλὰ τοῖς μὲν χείλεσί με πατέρα ὀνομάζετε, τῇ δὲ καρδίᾳ πόρρω ἀπέχετε ἀπ' ἐμοῦ; ὤ, πῶς οὐκ αἰσχύνεσθε; πῶς οὐκ αἰδεῖσθε; ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς "καταβέβηκα", φησίν, "ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός". ὑμεῖς δὲ τὸ ἐναντίον τοῖς ἔργοις ἀντιφθέγγεσθε ἐλθόντες ἐνταῦθα, οὐχ ἵνα ποιῆτε τὸ θέλημα τοῦ θεοῦ δι' ἐμοῦ τοῦ ταπεινοῦ, ἀλλὰ τὸ θέλημα τῆς σαρκὸς καὶ τῶν διανοιῶν ὑμῶν, ὡς οἷα τέκνα ὀργῆς καὶ ἀπειθείας. "ὄντως", ὡς εἶπεν ὁ τῆς ἁγίας Κλίμακος ὑφηγητής, "οὐ μὴ τοῦ Φαραὼ ἐλευθερωθῇς, οὐδὲ τὸ ἄνω πάσχα θεάσῃ, εἰ μὴ πικρίδας καὶ ἄζυμα φάγῃς διὰ παντός· οὐ μὴ φωτισθῇς, οὐδ' οὐ μὴ σοφισθῇς, εἰ μὴ ὡς ἐν μαχαίρᾳ ἐκτέμῃς ῥιζόθεν ἐκ τῆς καρδίας τὸ οἰκεῖόν σου θέλημα καὶ προσοίσῃς ἑαυτὸν ὁλοτελῶς δι' ὑπακοῆς τῷ καθηγεμόνι σου".

Καὶ ταῦτα μὲν περὶ τοῦ χαλκοῦ θελήματος· μετὰ τοῦτο δὲ καὶ περὶ τῶν ἄλλων ὑπομνήσκω, ἵνα νηφόντως καὶ γρηγορότως ὑπαντῶμεν εἰς τὰς νυκτερινὰς καὶ ἡμερινὰς ψαλμῳδίας, πρὸς τὰς τοῦ ὕπνου ἐξεγέρσεις, πρὸς τὰς τῶν ἔργων κλήσεις, πρὸς τὰς τῶν λογισμῶν ἐξαγγέλσεις, ἑτοιμαζόμενοι ἑαυτοὺς πρὸς τὴν τοῦ θανάτου ὥραν, πρὸς τὴν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς ἔξοδον, πρὸς τὴν ἀπὸ γῆς εἰς οὐρανὸν μετὰ τῶν ἀγγέλων ἄνοδον, πρὸς τὴν τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος παράστασιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΟΔ'.

Περὶ τῆς χαροποιοῦ ἡμῶν ὑποταγῆς· πρὸς τοὺς ἐν τῷ Σακκουδίωνι ἀδελφούς.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, πῶς ὑμῖν τανῦν προσφθέγξομαι; ἀλλ' εἰ καὶ τολμηρόν, ἀποστολικῶς. "χαίρετε ἐν κυρίῳ πάντοτε· πάλιν ἐρῶ χαίρετε". διατί; ὅτι τὸ ἔργον τοῦ θεοῦ διανύετε, ὅτι τὸ μοναδικὸν σχῆμα περιβέβλησθε, ὅτι τὸν τῆς ὑποταγῆς κανόνα ὑπεξέρχεσθε, καθ' ἑκάστην ἡμέραν θλιβόμενοι, στενοχωρούμενοι, ταλαιπωρούμενοι, συλλυπούμενοι, τοῦτο μὲν ἐν νηστείαις καὶ ἀγρυπνίαις καὶ ξηροκοιτείαις, τοῦτο δὲ ἐν κόποις καὶ μόχθοις καὶ ἔργοις τῶν διακονιῶν ὑμῶν, ἐν κοπαῖς τῶν θελημάτων, ἐν ἐπαγωγαῖς τῶν προσταγμάτων, ἐν ἀλουσίᾳ τῆς σαρκὸς ὑμῶν, ἐν ῥακκοδυσίᾳ καὶ ῥυπαροφορησίᾳ τῶν ἐνδυμάτων καὶ ὑποδημάτων ὑμῶν· προσθήσω τούτοις, ἐν ἐπιτιμίοις καὶ ἀφορισμοῖς τῶν ἐλλειμμάτων, τὸ μεῖζον ἔτι, ἐν ἀκαταπαύστοις προσβολαῖς, κρούμασί τε καὶ κεντήμασι καὶ οἷόν τι τοξεύμασι καὶ λογχεύμασι τῶν ὁρατῶς καὶ ἀοράτως πολεμούντων ὑμᾶς. ἔνθεν ὁ οἰκονόμος ἕλκει, ἐκεῖθεν ὁ παροικονόμος ἀνθέλκει· ὁ ἐσθιάτωρ ἑτέρωθεν, ὁ ἀρτοποιὸς ἄλλοθεν, τοῦτος κἀκεῖνος, ἵνα μὴ τοὺς πάντας λέγω. εἶτα καὶ ἐπὶ τῶν δαιμόνων ἔνθεν ὁ τῆς πορνείας, ἐκεῖθεν ὁ τῆς ἀκηδίας, ἄλλοθεν ὁ τῆς λαιμαργίας, ἑτέρωθεν ὁ τῆς ἀστασίας. καὶ πόσα καὶ πηλίκα τὰ πάθη; ἀνεξαρίθμητα. οὐκ εἰκότως οὖν εἴρηκα ὑμῖν τὸ "χαίρετε ἐν κυρίῳ πάντοτε". ναί, ὄντως, ἀδελφοί μου ἠγαπημένοι, καὶ

---

4 κῶδ. *ὑμῖν*. 15 Κορινθ. 1, δ', 15. 18 Ἡσαΐου κθ', 13. 21/23 Ἰωάνν. ς', 38. 29 κῶδ. *κλήμακος*.

14/15 Φιλιπ. δ', 4. 28 κῶδ. *ἐλλιμάτων*. 33 ἐσθιάτωρ=ἑστιάτωρ.

μακάριοί ἐστε καὶ τρισμακάριοι ταῦτα διὰ θεὸν ὑπομένοντες καὶ ταῦτα αἱρούμενοι καὶ ταῦτα ἀσπαζόμενοι. καὶ τί ἐκ τούτων; ἀνατελεῖ ἐν ταῖς καρδίαις ὑμῶν ἐν τῷ μέλλοντι αἰῶνι δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ζωὴ καὶ εὐφροσύνη καὶ ἀνάπαυσις αἰώνιος, υἱοθεσία καὶ κληρονομία Χριστοῦ καὶ τῆς βασιλείας αὐτοῦ, ἀνθ' ὧν οὕτως ἐφρονήσατε καὶ οὕτως εἵλεσθε, καλῶς καὶ θεομακαρίστως καὶ παντεπαινέτως κόσμον μισήσαντες καὶ τὰ περὶ κόσμον, γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων καὶ ἰδίων χωρισθέντες, πατρίδων καὶ πόλεων καὶ χωρῶν καὶ ἀγρῶν καὶ οἴκων διαστάντες καὶ πρὸς μόνον θεὸν καταφυγόντες τὸν κύριον καὶ βασιλέα τῆς δόξης, τὸν ἀγαθὸν καὶ ὑπεράγαθον δεσπότην, καὶ τούτῳ δουλεύοντες, τούτῳ παριστάμενοι, τούτῳ λατρεύοντες, τούτῳ ᾄδοντες ἀεννάως, τούτου τὰς ἐντολὰς καὶ τὰ δικαιώματα ἐκζητοῦντες, τούτου τὰ ἀρεστὰ καὶ φιλητὰ πράττοντες. καὶ γὰρ ἐν ὑμῖν οὐ περὶ πατρὸς καὶ μητρὸς λόγος, οὐ περὶ γυναικὸς καὶ παίδων φροντίς, οὐ περὶ δούλων καὶ δουλίδων μέριμνα, οὐ περὶ κτήσεων καὶ ὑπάρξεων ἀδολεσχία, οὐ περὶ τιμῶν καὶ ἀξιωμάτων διαγωνία, οὐ περὶ ἀρχόντων καὶ βασιλέων ἐπιθυμία, οὐ περὶ κραιπάλης καὶ οἴνων διϋλισμένων καὶ τῶν ἄλλων τρυφῶν διασπουδασία, οὐ περὶ μικρῶν, οὐ περὶ μεγάλων, οὐ περὶ οὐδενὸς ἄλλου τῶν ἀπολλυμένων, ἀλλὰ περὶ μόνου τοῦ κατ' εὐαρέστησιν θεοῦ διαζῆν ὑμᾶς, περὶ μόνων τῶν ἀποκειμένων ἐν οὐρανοῖς ἀγαθῶν. ἆρα οὐκ ἀξίως ἀνταγαπήσει ὑμᾶς ὁ δεσπότης; ἆρα οὐκ ἀξίως καλέσει ὑμᾶς τέκνα; ἆρα οὐκ ὀφειλόντως ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ πρὸς ὑμᾶς "δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου";

Τοιαῦτα οὖν ὑμῶν τὰ ἀγωνίσματα, τοιαῦτα τὰ διασπουδάσματα, τηλικαῦτα τὰ ἐλπιζόμενα. διὰ τοῦτο καὶ πάλιν ἐρῶ· χαίρετε ἀκαταλήκτως· χαίρετε δὲ κατὰ τὸ φθάσαν, ὅτι καὶ ἀδελφὸν κάλλιστον ἀπεστείλαμεν πρὸς τὸν μέλλοντα αἰῶνα, τὸν κύριον ἀββᾶν Ἱερεμίαν, καλῶς πολιτευσάμενον καὶ ὁσίως ἐκβιώσαντα καὶ προστεθέντα τοῖς λοιποῖς ἡμῶν ἀδελφοῖς εἰς ζωὴν ἀτελεύτητον. καὶ μακάριος ὅστις μετὰ τοιούτου τέλους ὑπαναχωρήσει τῶν ἐνθένδε. ἔτι χαίρετε, ὅτι τοὺς δύο ἀδελφοὺς ἡμῶν, τόν τε ἀββᾶν Εὐστάθιον καὶ τὸν ἀββᾶν Ἐπιφάνιον, ἠξιώθημεν ἀπολαβεῖν ὑγιαίνοντας καὶ σεσωσμένως ἐπαναλύσαντας ἐκ τῆς Ῥώμης, οὐκ ἐπαινετοὺς μὲν κατὰ τὸ προφανές, διὰ τὴν ἰδιογνώμονα αὐτῶν ἐν τοῖς ἐκεῖσε ἀπέλευσιν, ἐπαινετοὺς δὲ λίαν διὰ τὴν κρυπτὴν αὐτῶν ἐργασίαν· ἔργον γὰρ ἀποστολικὸν ἐπλήρωσαν, εἰ καὶ τολμηρὸν εἰπεῖν, ἀνάθεμα ἀπὸ Χριστοῦ καὶ ἀφ' ἡμῶν ἑλόμενοι ὑπὲρ τῆς ἡμετέρας τῶν ταπεινῶν δόξης καὶ θελήσεως. τοῦτο ἀπέδειξεν ἄρτι θεὸς διὰ τῆς εὐαγοῦς αὐτῶν πολινστροφίας, οὐκ ἀποδοκιμάσας τὴν σπουδὴν αὐτῶν, οὐδὲ ἀνόνητον τὸν κόπον αὐτῶν ἀποδείξας. ἡγεῖσθε αὐτοὺς ὡς ἀδελφοὺς ὑμῶν τιμίους· οὐκέτι δὲ αὐτοῖς εἴτε ἑτέροις τοιαύτης ἀφορμῆς ἔξοδος· μή τις βουλεύσηται, μή τις διανοήσηται καὶ ὀλωθρευθείη ἀπὸ θεοῦ· ἅπαξ γὰρ ἔφθασε τοιαύτη ὑπόθεσις καὶ ἅπαξ γέγονεν, ὃ γέγονεν, τὸ δὲ δεύτερον θάνατος αἰώνιος. ἀσφαλίσασθε οἱ πάντες. ἐλπίζομεν δὲ καὶ τὸν ἀββᾶν Νικόλαον ἀπολαβεῖν, καθὼς ἤκουσται ἡμῖν, καὶ εὔξασθε καὶ ὑπὲρ ἐκείνου καὶ ὑπὲρ τῶν ἐξ ἀβουλίας ἄλλων ἀποδρασάντων, ἵνα ὁ κύριος ἀνακαλέσηται καὶ ἐπισυναγάγῃ τοὺς πάντας εἰς τὴν μάνδραν αὐτῶν καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΟΕ'.

Ὅτι χρὴ τὸν καθηγούμενον τὴν ψυχὴν τιθέναι ὑπὲρ τοῦ οἰκείου ποιμνίου· καὶ περὶ σπουδῆς καὶ ἐπιμελείας τοῦ κατὰ θεὸν βίου ἡμῶν, καὶ τοῦ προσέχειν ἑαυτοῖς ἀπὸ τῶν παγίδων τοῦ διαβόλου.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, μικρὸν ἀπολιμπανόμενος ὑμῖν χρόνον ἐν ταῖς

36/38 Ματθ. κε', 34.

9 κῶδ. τὰς ἐκ. 14 ἀνάθεμα κέ] Ῥωμ. θ', 3.

συμβαινούσαις ἀναγκαίαις ἀποδημίαις, ὡς πολὺν ἤδη πεποιηκὼς κατεπείγομαι τῇ ἐπιθυμίᾳ εἰς ὑποστροφήν, τὸ μὲν ἀγωνιῶν διὰ τὸ μή τινα συμβῆναι ἐκ τῶν ἁμαρτιῶν μου ἀταξίαν (οἶδα γὰρ τὸν διάβολον ὠρυόμενον λέοντος δίκην καὶ ζητοῦντα τίνα ψυχὴν ἁρπάξας καταπιεῖν), τὸ δὲ ἐπιθυμῶν συνεῖναι ὑμῖν κατὰ πάντα καιρὸν καὶ τόπον· οὐδὲ γὰρ τέρπει με ἡ ἀπουσία, οὐδὲ μεταιωρίζει με, κἂν ἁμαρτωλός εἰμι, ἡ ἐκ τόπου εἰς τόπον μετάβασις, ὡς ἂν τρυφῶν διατελοίην τὰς ἡμέρας, ἐπιγαννύμενος ταῖς ὁδοιπορίαις καὶ τοῖς θεάμασι τῶν ἐν τῷ βίῳ γινομένων πραγμάτων καὶ ὑμᾶς ἐῶν ἐπιταλαιπωρεῖν ταῖς ἀσκητικαῖς διαγωγαῖς. μὴ διὰ τοῦτο ὑπολαμβάνητε, τέκνα καὶ ἀδελφοί, ἀλλ' εὖ ἴστε, ὅτι ὅπου περ ἂν ἀπίω, πάντας ὑμᾶς ἐν τῇ ταπεινῇ μου καρδίᾳ ἔχω καὶ μεθ' ὑμῶν εἰμι τῇ διανοίᾳ ἐποδυνώμενος τοῖς ὀδυνωμένοις, συναγωνιῶν τοῖς ἀγωνιῶσι, συνευφραινόμενος τοῖς εὐδρομοῦσι, κλαίων τε καὶ μεριμνῶν περὶ ἑνὸς ἑκάστου ὑμῶν, ὅπως διασῴζοισθε. εἰς τί γὰρ ἄλλο κεκλήκατέ με εἰς κεφαλὴν ὑμῶν, καὶ εἰς ὅ τι ἄλλο ὀφείλω ζῆν, χαίρειν τε καὶ εὐφραίνεσθαι; ἀλλ' οὐχὶ δι' ὑμᾶς τὰ τοῦ θεοῦ τέκνα; οὐχὶ διὰ τὴν ἐν κυρίῳ προκοπὴν ὑμῶν; οὐχὶ διὰ τὸν ἔνθεον ζῆλον ὑμῶν; οὐχὶ διὰ τὴν μαρτυρικὴν ὑμῶν πολιτείαν; ἐν τούτοις γὰρ καὶ ἐκζητηθήσομαι ὑπὸ τοῦ δεσπότου θεοῦ, ὅπως ὑμᾶς ἑτοιμάναμεν καὶ ὡδηγήσαμεν, εἰ ἁπλανῶς τὴν ὁδὸν τῶν ἐντολῶν αὐτοῦ ὑπέδειξα ὑμῖν, εἰ ὡς ποιμὴν συνεφλέχθην ὑμῖν τῷ καύσωνι τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτός, κατὰ τὸν μέγαν ἐκεῖνον Ἰακώβ, εἰ τὸ ἀπολωλὸς ἐξεζήτησα καὶ τὸ πεπλανημένον ὑπέστρεψα, εἰ τὸ ἠσθενηκὸς ἰάτρευσα, καθὼς πάλιν ἄλλος προφήτης, ἀλλὰ μὴ εἰς οἰκείας ἡδονὰς τὴν προστασίαν ἐνοσφισάμην, τῇ ἀμελείᾳ προδοὺς τὰ πρόβατα τοῖς ἅρπαξι τῶν ψυχῶν λύκοις, ἀπεμπολῶν οἷον καὶ σφάττων καὶ ἀπολλὺς αὐτὰ διὰ κακίας. διὰ τοῦτο, ὦ ἀδελφοί μου, οὐκ ἄλογον τὸ ἐν ἐμοὶ πάθος, ἀλλ' ὡς ὁρᾶτε καὶ πάνυ δικαιότατον, καὶ οὐκ ἀρκεσθήσομαι, ὁσάκις ἂν καὶ τὰ αὐτὰ φθέγξωμαι, ἀποδυρόμενος τὴν ἐμαυτοῦ ταλαιπωρίαν καὶ εἰς οἷόν εἰμι κρῖμα. δότε μοι οὖν, δέομαι ὑμῶν, δεξιὰς καὶ αὐτοὶ οἵ γε καὶ δυνάμενοι μάλιστα διὰ τῆς καμνούσης ἀρετῆς ὑμῶν. ὀρέξατε χεῖρα βοηθείας· συνασπίζοισθε, συναντιλαμβάνοισθε, συνανορθοῦντες καὶ συμβιβάζοντες τὰ εἰς εἰρήνην καὶ εὐστάθειαν, καὶ ὁ δικαιοκρίτης εἰκότως διανεμεῖ ὑμῖν τὰς ὀφειλομένας μισθαποδοσίας.

Ἐγὼ τοίνυν ὁ ἁμαρτωλὸς χαίρω ἐπὶ τῇ εἰσοδοχῇ τῶν εἰσερχομένων προσώπων καθ' ἑκάστην (θεόπεμπτοι γάρ εἰσι), καὶ ἐπὶ τῷ πληθυσμῷ τῆς ἐλαχίστης ἡμῶν μονῆς ἐνήδομαι, ἐπειδὴ θέλημα κυρίου ἐστὶν τὸ ἐπὶ τὸ αὐτὸ εἶναι τοὺς πλείονας, καὶ δεῖγμά ἐστι τῶν ἀποστολικῶν ἡμερῶν ἐκείνων, ἐν αἷς ἐπὶ τὸ αὐτὸ χιλιάδες συνῳκίζοντο καὶ συνέζων· πῶς γὰρ ἂν καὶ τοὺς ἀγγέλους μιμήσαιντο ἄνθρωποι, εἰ μὴ διὰ τῆς τηλικαύτης συναγωγῆς καὶ εὐζωΐας; ἀλλ' ὅσον τὸ χαίρειν, τοσοῦτο καὶ μᾶλλον τὸ φοβεῖσθαι πρόσεστί μοι ἐν συντριμμῷ τῆς καρδίας μου, οὐχ ἕνεκεν ἐπιλείψεως σωματικῶν χρειῶν (οἶδα γάρ μου τοῦ δεσπότου τὰς ἀψευδεῖς ἐπαγγελίας), ἀλλὰ χάριν τῆς ἐνούσης μοι ψυχικῆς ἀδυναμίας, ἰλιγγιῶν καὶ θαμβούμενος ὅπως ὑμᾶς διεξάξοιμι, μηδὲν ἐλλελοιπὼς τῶν δεόντων καὶ προστεταγμένων μοι πράττειν τε καὶ λέγειν ἐν μέσῳ ὑμῶν. καὶ τότε μόνον εὑρίσκω ἄνεσιν, ἡνίκα παραπέμψωμεν ἀδελφὸν πρὸς τὸν μέλλοντα αἰῶνα, ὡς ἤδη θησαυρὸν ἐναποτιθέμενοι εἰς ἄσυλον χωρίον. πρὸς γὰρ τοὺς ἐπιβιοῦντας, εἰ καὶ καλοὶ καὶ σπουδαῖοι εἶεν, καὶ χαρὰ καὶ ἀγωνία πρόσεστι, τὸ μὲν διὰ τὴν προσδοκίαν τῆς ἀγαθῆς ἀποπερατώσεως, τὸ δὲ διὰ τὸ ἐπίμηκες τοῦ δρόμου καὶ τὸ τῆς ἀρετῆς πρόσαντες· πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου καὶ οὐκ οἶδα τί τέξεται ἡ ἐπιοῦσα· ἔτυχε

5/7 πρβλ. Πέτρου 1, ε', 8. 11/12 κῶδ. *διατελοίειν*. 19/20 κῶδ. *ἐποδυνόμενος τ. ὀδυνομένοις*. 33/35 Γενέσ. λα', 40. 36/37 ἀπολωλὸς κέ] Ἰεζεκ. λδ', 4-5.

9 κῶδ. *συνασποίζοισθε*. 12 κῶδ. *διανέμει*. 17 κῶδ. *ἐλαχήστης*. 31 κῶδ. *ἐλελειπὰς*.

γὰρ καὶ Ἑωσφόρον ἐκ τοῦ οὐρανοῦ κατενεχθῆναι, ἄγγελον ὄντα πρωτοστάτην. συνέβη καὶ μαθητὴν γνήσιον προδότην τοῦ διδασκάλου γενέσθαι, ἀπὸ τῆς ἀποστολικῆς καθέδρας καταποθέντα εἰς κλῆρον ἀνόμων. ἀλλ' ὁ μὲν διὰ τὴν ἔπαρσιν, ὁ δὲ διὰ τὴν φιλαργυρίαν, ἀμφότεροι δὲ διὰ τὴν ἀθέτησιν· ὧν μή τις ὑμῶν εἴη τῆς μερίδος, ἀλλὰ καὶ τοὺς ἤδη ὑπηνεχθέντας καὶ ἰουδαΐσαντας παλινδρομῆσαι αὖθις ποιήσαι κύριος καὶ ἐλθεῖν εἰς ἐπίγνωσιν ἀληθείας. ἵνα τί γὰρ πλανῶνται ὡς πρόβατα ἄνευ ποιμένος ἔξω τῆς μάνδρας αὐτῶν, εἰς ἐρήμους τόπους ἐπιβοσκόμενα, πάντως δήγματα λαμβάνοντες καθ' ἑκάστην ὑπὸ τοῦ δάκνοντος πολυμόρφου ὄφεως, τῶν ἡδονῶν, τὰς πτέρνας τῶν ἀνθρώπων; καὶ τίς ὠφέλεια ἐν τῷ αἵματι τῆς πολυσαρκίας αὐτῶν, ἐν τῷ καταβαίνειν αὐτοὺς μικρὸν ὕστερον εἰς διαφθοράν; μὴ ἐξομολογήσωνται ἐκεῖ τῷ κυρίῳ χοῦς ὄντες; οὐδαμῶς.

Διὸ προσέχετε πάντες ἀπὸ τῶν κριμάτων αὐτοῦ, καὶ οἱ ἑστῶτες βλέπετε πῶς στήκετε. ἀποστολικὸν τὸ παράγγελμα· συνεισέρχεται γάρ πως ἡ οἴησις λέγουσα ἐκεῖνο τὸ τοῦ Δαβίδ, "ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα". δι' οὗτινος φρονήματος συνεχωρήθη αὐτῷ ἡ πτῶσις, οἱ κοπιῶντες τοῖς λογισμοῖς μὴ ἐνδώσητε ἀπὸ τοῦ πολεμεῖν ὑμᾶς τὸν διάβολον· φεύξεται γὰρ οἶδ' ὅτι, ἐπιμενόντων ὑμῶν διὰ τῆς καρτερίας. οἱ ἀπομωρανθέντες ἐξ ἀναλγησίας, εἴπερ τινὲς ἦτε, ἀναζωπυρήθητε δι' εὐαισθησίας, μήπως ὡς συκῆ ἐξηραμμένη ἐκτμηθῆτε ὑπὸ τοῦ γεωργοῦ τῶν ψυχῶν διὰ τὴν ἀκαρπίαν. οἱ τὰς ἐπισυναγωγὰς καὶ ἐπισυστάσεις ἐπιχειροῦντες μηκέτι ταῦτα πράξητε, ἵνα μὴ ὡς Δαθὰν καὶ Ἀβειρὼν οἱ ὑπερήφανοι καὶ ἀντινομοθέται καὶ ἀντιτακτῖται τοῦ Μωσέως χάνασα ὑμᾶς καταπίῃ ἡ γῆ τῆς ἁμαρτίας. οἱ ὀλιγόψυχοι καὶ ἀψίκοροι καὶ ταραχοποιοὶ παύσασθε τῆς ἐξ ἀφροσύνης καὶ ἐξ ὑψηλοφροσύνης ὑμῶν πραττομένης κακίας, ἵνα μὴ ταράσσοντες καὶ ταρασσόμενοι καταποντισθῆτε ἐν τῇ θαλάσσῃ τῆς ἀνομίας. πάντες τὰ πάντα ἀσφαλίσασθε, κατορθώσατε, εὖ πράξατε. οἱ φλύαροι καὶ γογγυσταὶ μὴ πολλούς μοι κόπους ἀκαίρως παρέχετε, μήπως ἐν ῥάβδῳ τῶν ἐπιτιμίων ἐπιστραφῶ ὑμῖν· ὁ δὲ κύριος τῆς ἀγάπης καὶ θεὸς πάσης παρακλήσεως, ὁ καταλλάξας καὶ εἰρηνοποιήσας τὰ πάντα ἐν τῇ σαρκὶ αὐτοῦ, εἰρηνεύσειε, βραβεύσειε, συμβιβάσειε πάντας ὑμᾶς ἐν ὁμονοίᾳ, ἔτι καὶ ἔτι ἀγωνιζομένους καὶ βελτιουμένους, ἕως ἂν φθάσωμεν εἰς μέτρον ἡλικίας τοῦ πληρώματος αὐτοῦ, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ος'.

"Οτι χρὴ ἐναγωνίους καὶ ἐμμερίμνους ἡμᾶς εἶναι ἐν τῷ πνευματικῷ σταδίῳ μέχρι θανάτου, ὡς ἂν καταστεφθείημεν τοῖς τῆς δικαιοσύνης στεφάνοις παρὰ τοῦ παμβασιλέως θεοῦ.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, ὥσπερ τοῖς ἐν τῷ σταδίῳ τρέχουσιν ὠφέλιμον τὸ ἐκ τῶν παιδοτρίβων παραθαῤῥύνεσθαι καὶ ἐπαλείφεσθαι, οὕτως λυσιτελοῦν ἐμὲ τὸν ἁμαρτωλὸν τὸ συμπροθυμεῖσθαι ὑμῖν περὶ τὰς χρηστοτέρας ἐλπίδας, ὑμᾶς λέγω τοὺς ὡς ἀληθῶς δρομεῖς τοῦ κυρίου καὶ τρέχοντας οὐκ ἐν μικρῷ διαστήματι τόπου καὶ πρὸς μίαν ὥραν, ἀλλ' ἐν τῷ μεγάλῳ διαύλῳ τοῦ ἀπὸ γῆς εἰς οὐρανὸν ἀφικνουμένου διαστήματος παντὸς τῆς ζωῆς ἡμῶν τέλους τὸ ἐναγώνιον ἔχοντας, ἔνθα καὶ Παῦλος ὁ μέγας κῆρυξ τῆς οἰκουμένης δεδραμηκὼς σὺν πᾶσι τοῖς ἁγίοις τὸν τῆς δικαιοσύνης, καθὼς αὐτός φησιν, ἀπελήψατο παρὰ κυρίου στέφανον.

Ἐπεὶ οὖν τοιοῦτος καὶ τηλικοῦτος ὁ ἀγών,

---

6 κῶδ. *φυλαργυρίαν*. 9 ὑπηνεχθέντας = ὑπενεχθέντας. 14 κῶδ. *δείγματα*. 25/26 Ψαλμ. κθ', 7. 33 συκῆ ἐξηραμμένη] Ματθ. κα', 19-21. Μάρκ. ια', 13-14. 20-21 || κῶδ. *ἐξηραμένη*. 37/40 Ἀριθ. ις', 12-33. Δευτερ. ια', 6. Ψαλμ. ρε', 17. 38 κῶδ. *ὑπερίφανοι*.

7 ἐν ῥάβδῳ - - ἐπιστρ. ὑμῖν] πρβλ. Ψαλμ. πη', 33 «ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν» κέ. 9 καταλλάξας καὶ εἰρηνοποιήσας] Κολοσ. α', 20. 13/14 ἕως - - πληρώματος αὐτοῦ] Ἐφεσ. δ', 13. 25 κῶδ. *ὠφέλημον*. 34/36 Τιμοθ. 2, δ', 7-8.

τὸ στάδιόν τε καὶ ὁ δρόμος, θεατὰς μὲν ἔχων τὰς ἄνω μυριάδας τε καὶ χιλιάδας τῶν ἁγίων ἀγγέλων, ἀγωνοθέτην τε αὐτὸν τὸν τῶν ὅλων δεσπότην ἐν τῷ ἀπροσίτῳ θρόνῳ τῆς οἰκείας δόξης κεκαθικότα, καὶ μὴν καὶ τοὺς τῆς ἐναντίας μερίδος συμπράκτορας, τοὺς ποικίλους φημὶ καὶ πολυμεθόδους δαίμονας, καταβαλεῖν ἡμᾶς καὶ συμποδίσαι καὶ ἀπολέσαι παντὶ τρόπῳ πειρωμένους, πόσον, παρακαλῶ, δέον ὑμᾶς προσεχεῖς εἶναι, ἐμφόβους τε καὶ περιμερίμνους, ἠσκημένους τε καὶ ἐναγωνίους, ὥστε μὴ μόνον καλῶς ἐνάρξασθαι τοῦ δρόμου; ὠφελήσειε γὰρ εἰς οὐδέν, εἰ μὴ καὶ πρὸς τὸ ἐξῆς νεανικώτερόν τε καὶ ἀνδρικώτερον ἐπειχθῶμεν· καὶ οὐδὲ οὕτως ἡ τῆς νίκης ἐπιτυχία, εἰ μὴ μέχρι θανάτου, κἂν παραταθείη πολὺ τὸ τῆς ζωῆς ἡμῶν μέτρον, ἐνστησώμεθα. σκοπήσωμεν δέ, εἰ δοκεῖ, ἐνταῦθα κατὰ σύγκρισιν ἡμῶν τε καὶ τῶν κατὰ κόσμον τρεχόντων, κἀν τούτῳ ἐπιγνωσόμεθα, ὅσον τὸ διάφορον. ἐκείνοις οὖν λειφεῖσι καὶ ἡττηθεῖσιν, ἴσασιν οἱ πεπειραμένοι, οἷα πρόσωπα κατηφῆ γίνονται· ὀφθαλμοὶ κάτω νενευκότες, δάκρυα προχεόμενα· καὶ γὰρ καὶ ἑαυτοὺς τύπτουσι καὶ τὰς οἰκείας τρίχας τίλλουσι, στένοντες καὶ ποτνιῶντες, ὀδυνηρῶς τε καὶ ἠσχυμμένως παριστάμενοι ἐπὶ προσώπου τοῦ βασιλεύοντος κατὰ μέσου τοῦ σταδίου, συνδεδεμένοι τε τὰς χεῖρας, καὶ ταῦτα τῶν ἐπάθλων διανεμομένων κατ' ὀφθαλμοὺς αὐτῶν μετὰ εὐφημιῶν πολλῶν καὶ ἀνακηρύξεων πρὸς τοῦ λαοῦ παντὸς τοῖς ἐκνικήσασι καὶ στεφανωθεῖσι. τοιγαροῦν καὶ ἐφ' ἡμῖν ὡς ἐν εἰκόνι τοιοῦτόν τι ἔξει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· οἱ γὰρ καλῶς τὸν ἀγῶνα ἀγωνισάμενοι, κατὰ τὸ λόγιον, καὶ τὴν πίστιν τηρήσαντες, παραστάθήσονται τῷ παμβασιλεῖ θεῷ ἐν τοῖς οὐρανοῖς φαιδροί τινες καὶ γεγηθότες, καταστεφόμενοι τοῖς ἀκηράτοις καὶ ἀμαράντοις τῆς δικαιοσύνης διαδήμασι, χιτῶνάς τε λευκούς, ὑπὲρ χιόνα στίλβοντας, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον ὑπενδυόμενοι καὶ ὅσοις ἄλλοις ὡραίοις τε καὶ ποικίλοις πρὸς αὐτοῦ διακοσμούμενοι. ἡ δὲ ἀνάῤῥησις φοβερά τις καὶ πολύηχος· ὑπὸ γὰρ πάσης τῆς τῶν οὐρανίων δυνάμεων ἀγγελικῆς πλυθύος εὐφημηθήσονται καὶ ἐπαινεθήσονται, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλ' εἰς ἀεὶ καὶ διηνεκῶς· οὐ γάρ ἐστι πέρας πώποτε οὔτε τῆς χαρᾶς καὶ εὐφροσύνης, οὔτε μὴν τῆς στεφανώσεως καὶ ἀπολαύσεως, οὐδ' αὖ τῆς εὐφημίας καὶ ἀνακηρύξεως.

Τί οὖν λοιπόν, ἀδελφοὶ καὶ πατέρες; οὐ δραμούμεθα μᾶλλον καὶ μᾶλλον; οὐκ ἐπειχθησόμεθα ἔτι καὶ ἔτι; οὐ προσπαρακαλέσομεν λαβεῖν ἡμᾶς δύναμιν καὶ ἰσχὺν παρά τε τοῦ φιλανθρώπου θεοῦ καὶ παρὰ τῶν καθηγουμένων, τὴν εἰς τὸ καλῶς τρέχειν καὶ ἀνεμποδίστως ἐμπειρίαν; ναί, δέομαι καὶ παρακαλῶ καὶ ἀντιβολῶ, φοβερώτατον ἀγῶνα ὑπέδειξεν ὁ λόγος, ἀνεκλάλητον μὲν εἰς χαρὰν καὶ δόξαν τοῖς ἀνδρείως τρέχουσι καὶ νικῶσιν, ὀλεθριώτατόν τε καὶ ἐπικινδυνώτατον τοῖς ἀτημελῶς καὶ ῥᾳθύμως ἢ ἐναπομένουσιν, ἢ συμποδιζομένοις, ἢ ἀποῤῥηγνυμένοις τοῦ σταδίου. "ὁ ἔχων ὦτα", φησὶν ὁ κύριος, "ἀκούειν ἀκουέτω". ἀκούσατε τοίνυν, τέκνα, καὶ προσέχετε φρικτῶς, καὶ τρέχετε νηφαλέως καὶ ἐπιστημόνως, γνωρίζοντες τοὺς ἐπιτρέχοντας καὶ ὑποσκελιστὰς ἡμῶν δαίμονας. οὐδεὶς οὖν δύναται τρέχειν, εἰ μὴ γυμνωθῇ παντὸς περιβολαίου, μόνον τὴν ἐπιστηθίδα φορῶν τῆς πίστεως. λέγομεν δὲ οὐ μόνον κατὰ πᾶσαν τὴν ἔξωθεν ὕπαρξιν, ἀλλὰ καὶ κατὰ τὴν ἔνδον ποικιλοφόρον τῶν ἰδίων θελημάτων ἀποποίησιν. οὐδεὶς οὖν εὐδρομεῖ ἐν τῷ σταδίῳ, εἰ μὴ ἐξησκημένος ἐστὶ τὸ σῶμα συμμεμετρημένῃ τινὶ καὶ αὐτάρκει διαίτῃ βρώσεώς τε καὶ πίστεως. εἰ δὲ καὶ ἀλείψασθαι δέοι ἀντὶ ἐλαίου τὴν καρτερίαν καὶ τὴν ἀκαταπόνητον ὑπομονήν, εἰ δὲ καὶ προγυμνασθῆναι καὶ προδιασκέψασθαι, τοῦτο οἱ ἔτι δοκιμαζόμενοι καὶ πρὸς τὸ σχῆμα ἀποβλέποντες ἔξουσιν· εἰ δὲ καὶ ἐκ τῆς ὁποιασοῦν ἀφετηρίας ἐκπεπηδηκέναι δέοι, ἐκ τῆς καλλίστης καὶ συντομωτάτης ὑπακοῆς ἐξε-

5 κῶδ. *κεκαθηκότα*. 15 κῶδ. *ἐπιχθᾶμεν*. 22 λειφεῖσι=λειφθεῖσι. 35/37 Τιμοθ. 2, δ', 7-8.

1 κῶδ. *πικίλοις*. 21 κῶδ. *ἀτιμελῶς*. 23/24 Ματθ. ια', 15. ιγ', 9, 43. Λουκᾶ η', 8. ιδ', 35.

λευσόμεθα. οὐδεὶς οὖν ἐπ' αὐτοῦ τοῦ δρόμου ὢν οὔτε διαμάχεται τοῖς συναμιλλωμένοις, οὐδὲ φθονεῖ, οὔτε ἐνδεικτιᾷ οὔτε πρὸς αὐτούς, οὔτε πρὸς ἄλλους, τοὺς ὁρῶντας· συντεταμένῳ δὲ νοῖ καὶ ὀφθαλμοῖς αὐτοῖς συνευκόσι καὶ μηδ' ἑτέρωθε βλέπουσιν ἴεται καὶ ἐπείγεται κάτω βαλεῖν τοὺς ὑπεναντίους, ἕως φθάσῃ ἐν τῷ πέρατι· ὅπερ ἡμῖν μᾶλλον ἀναγκαῖον.

Διὰ τοῦτο, παρακαλῶ ὑμᾶς, καὶ καλῶς τρέχετε, καὶ ἀβασκάνως πορεύεσθε, καὶ ἀταράχως ἴτε, καὶ ἀγαπητῶς καὶ ἑτεροβοηθῶς συναμίλλασθε, τόνον ἐπὶ τόνῳ προστιθέντες, προθυμίαν ἐπὶ προθυμίᾳ, εὐψυχίαν ἐπὶ εὐψυχίᾳ, ἄνω βλέποντες, ἄνω σκοποῦντες, μὴ περιβλεπόμενοι τοὺς ἐπαίνους καὶ τὰς κενοδοξίας, μηδὲ ὑπενδιδόντες τὸ καθόλου, μηδὲ ὀλιγωροῦντες ἐν τῇ ὀχληρίᾳ τῆς ἀσκήσεως ἢ τῶν προσκρουμάτων, ἢ τῶν προσπλήξεων, ἢ τῶν ἐπιτιμήσεων, ἀλλ', εἰ καὶ τύχῃ, εὐθὺς διανιστάμενοι, πρὸς τὸ μὴ καταφθασθῆναι ὑμᾶς καὶ καταληφθῆναι ὑπὸ τοῦ δράκοντος, καὶ ἵνα οὕτως πάντα καλῶς καὶ ὁσίως διαπραττόμενοι, ὑπηκόως τε καὶ ταπεινοφρόνως, εἰλικρινῶς τε καὶ εὐεξαγορεύτως, φιλαδέλφως τε καὶ θεοβραβεύτως, ἀξιωθησώμεθα καὶ ἡμεῖς τῇ τοῦ δρόμου ἡμῶν ἀποπεραιώσει τὰς ἀμοιβὰς ὑπὸ τοῦ κυρίου δέξασθαι, τοὺς στεφάνους καὶ τὰ ἔπαθλα τῆς μακαρίας καὶ ἀθανάτου λήξεως, ἀπολυτρούμενοι ἐκ πάσης τιμωρίας καὶ κολαστηρίων τῶν αἰωνίων, τῆς τε πικρᾶς καὶ πολυθρυλήτου αἰσχύνης ἐκείνης. διὰ τῶν πρεσβειῶν τῆς παναγίας δεσποίνης ἡμῶν Θεοτόκου, αὐτῶν τε τῶν ἁγίων ἀγγέλων, τοῦ δεσπότου ἡμῶν, τοῦ Προδρόμου, τοῦ Θεολόγου, πάντων συλλήβδην ὁμοῦ τῶν μαρτύρων καὶ δικαίων καὶ ὁσίων, τοῦ τε πατρός μου καὶ πατρὸς ὑμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

2 κῶδ. *συναμιλλομένοις.* 5 κῶδ. *νωΐ.* 12 κῶδ. *ἴστε.* 16 κῶδ. *ἐπένους.* 20 κῶδ. *τύχει.*

ΚΑΤΗΧΗΣΙΣ ΟΖ'.

Ὅτι δεῖ κατὰ λόγον ποιμαίνειν τὰ λογικὰ πρόβατα τοῦ Χριστοῦ, καὶ διδασκαλία παραινετικὴ περὶ τοῦ εὐτόνως καὶ ἐπιμελῶς καταρτίζειν ἑαυτοὺς πρὸς πᾶσαν ἀσκητικὴν εὐθύτητα, ῥηθεῖσα μετὰ μίαν ἡμέραν τῶν Φώτων.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἐπεὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν τῷ πνεύματι, τελέσαντες τὰς ἱερὰς τῶν ἑορτῶν ἡμέρας, ἀναγκαῖόν ἐστιν, ὥσπερ ὑμᾶς ἐν ταῖς καθηκούσαις διακονίαις, οὕτως καμὲ τὸν ἁμαρτωλὸν ἐν τῇ οἰκείᾳ φροντίδι γενόμενον ἀνοῖξαι τὸ ταπεινὸν στόμα εἰς τὸν τῆς ὑπομνήσεως λόγον· δέον γὰρ τοῦτο ἐνεργεῖν ἡμᾶς, ἐφ' ὅσον ἐσμὲν εἰς κεφαλὴν ὑμῶν, εἰς προστασίαν τε καὶ ὁδηγίαν τοῦ κρείττονος, ἐφ' ὅσον λόγον ἀπαιτηθησόμεθα ἐν ἡμέρᾳ κρίσεως παρὰ τοῦ δεσπότου τῶν ὅλων θεοῦ περὶ ἑνὸς ἑκάστου ὑμῶν, ὅπως καὶ ἡλίκως διεξάγομεν καὶ εἰ κατὰ τὸ εὐάρεστον αὐτῷ ἐν οὐδενὶ παραλείψαντες τὰ δέοντα, πάντα δὲ συνεισενεγκόντες δι' ἔργου καὶ λόγου τὰ πρέποντα· ὅπερ ἐμοὶ φοβερὸν ἄγαν καὶ ἔντρομον, δεδιότι τὴν ἀπολογίαν ἐν τῷ συνεῖναι λόγον μετὰ τοῦ κριτοῦ τῶν ἁπάντων. τίς γὰρ καὶ ποταπὸς εἴη ὁ δουλικὸς πρὸς τὸν δεσπότην, ὁ ῥυπαρὸς πρὸς τὸν καθαρόν, ὁ ὑλικὸς πρὸς τὸν ἄυλον, ὁ ὑπεύθυνος πρὸς τὸν ἀνεύθυνον, ὁ κάκιστος πρὸς τὸν ἀγαθόν, ὁ ὑπαίτιος πρὸς τὸν ἀναίτιον, ὁ ἀγνωμονικὸς πρὸς τὸν εὐεργετικόν; καὶ εἰ ἕκαστος περὶ ἑαυτοῦ ὀφείλων δοῦναι λόγον, δεδοικώς ἐστι καὶ οὐκ ἀρκῶν ἑαυτῷ εἰς σύστασιν, ἀλλὰ πανταχόθεν περιστατούμενος καὶ περιελκόμενος, καὶ ταῦτα ἴσως ἀγαθὰ πράττων, πόσον ἐγὼ ὁ τάλας περιστατηθήσομαι καὶ ἐξαπορηθήσομαι καὶ ἀλλοιωθήσομαι, καὶ οἷον τῷ δέει ἀποτεθνήξομαι, ἔτι ἐμπνέων τῶν περὶ ἐμαυτοῦ τε ἀναριθμήτων σφαλμάτων καὶ ὑμῶν ἑνὸς ἑκάστου τῆς ὁδηγίας λόγον κατανοούμενος; διὰ τοῦτο, ὡς ἔφθην εἰπών, ἔντρομός εἰμι καὶ ἐκστατικός, καὶ μάλισθ' ὅταν ἐν ἐπαισθήσει γένωμαι τῆς περὶ τῶν

---

44 κῶδ. *ἐπαισθήσῃ.*

τοιούτων ἐννοίας, κλαίων καὶ ὀδυρόμενος, στένων καὶ περιοδυνώμενος, βοῶν ἐν τῇ καρδίᾳ μου καὶ αἴρων τοὺς ὀφθαλμοὺς εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, τὴν ἐκεῖθεν ἐπιζητῶν ἐπικουρίαν συνεργίᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν· τῷ ὄντι γάρ, τέκνα μου καὶ ἀδελφοί, ἐπικίνδυνόν ἐστι τὸ τῆς προστασίας ἀξίωμα καὶ φοβερὰ τὰ ἐπὶ τοῦτο ἐπιτίμια, αἱ ἀραὶ καὶ ἀπειλαί, αἳ διὰ στόματος τῶν προφητῶν ἐκ τῶν ἄνωθεν χρόνων ἀνεφωνήθησαν τοῖς μὴ ποιμάνασι κατὰ λόγον τὰ λογικὰ πρόβατα.

Δεῦτε λοιπὸν πρὸς τὸ κοινῇ συμφέρον πάντες συγκινούμενοι, θερμοτέραν τὴν ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν πρόθεσιν ἀναλαμβανόμενοι, πράξωμεν τὰ καθήκοντα, θελήσωμεν τὰ δέοντα, ἐνεργήσωμεν τὰ συμφέροντα· μικροὶ καὶ μεγάλοι καὶ γέροντες καθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καταρτίσωμεν ἑαυτοὺς σκεύη ἐκλογῆς, ἁγιωσύνην ἐπιτελοῦντες ἐν πνεύματι, φεύγοντες τὴν τῶν κακῶν ἐπιτήδευσιν, τὴν ὑπερηφανίαν, τὴν παρακοήν, τὴν φιληδονίαν, τὴν φιλοσαρκίαν, ἐπιδιώκοντες τὴν τῶν ἀρετῶν ἀνάληψιν, τὴν ταπεινοφροσύνην, τὴν ὑπακοήν, τὴν ἁγνείαν καὶ φιλαδελφίαν· ἀπορρίψωμεν πόρρω ἀπὸ καρδίας τὰς σαρκικὰς καὶ φιληδόνους σχέσεις, οὐ λέγω ἀπὸ τῶν ἔξω μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔνδοθεν καὶ ἐν ἡμῖν αὐτοῖς, ἤγουν τοῦ μὴ ἔχειν πρὸς τὸν ἕτερον παρὰ τὸν ἄλλον ἀδελφὸν πλείονα τὴν ἀγάπην· πονηρὰ γάρ ἐστι καὶ μισόθεος, κλέπτρια καὶ δουλοπρεπής, λανθανόντως μὲν ἐπεισιοῦσα δῆθεν ὡς ἐξ ἀγάπης ἀδελφικῆς, εὑρισκομένη δὲ ὡς ἐκ πορνείας σατανικῆς. σκέψασθε τὸ πάθος, φείσασθε τὸν ὅλεθρον, μὴ ἐμπαρῆτε εἰς τὸ βάραθρον, ἵνα μὴ ἀποτίνυτε κἀντεῦθεν καταδίκας, ἐν δὲ τῷ μέλλοντι αἰῶνι κρίσιν ἀτελεύτητον. οἴδατε, ὡς πολλὰ τὰ ἔνεδρα τοῦ διαβόλου καὶ πολλαὶ αἱ μεθοδεῖαι αὐτοῦ, ποικίλως καθ' ἡμῶν ἐξευρισκόμεναι· καὶ οὐκ ἄν τις ῥυσθείη τούτων, εἰ μὴ δι' ἐξαγορεύσεως καὶ τῆς πρὸς τὸν καθηγούμενον πίστεως, τῷ λόγῳ τῆς ταπεινοφροσύνης καὶ ὑπακοῆς καθοδηγούμενος. καὶ οἱ παρὰ τήνδε τὴν ὁδὸν μὴ πορευσόμενοι ἐκπεπτώκασι καὶ πίπτουσιν, ὥσπερ ἀναγινώσκομεν· οἱ δὲ τῷ παρόντι συστοιχοῦντες κανόνι ἀπεφάνθησαν φωστῆρες ἐν κόσμῳ λάμψαντες, τὸν ζόφον τῆς ἁμαρτίας ἀποφυγόντες καὶ τὸν διάβολον καταπατήσαντες τῇ ἀπονεκρώσει τῶν οἰκείων θελημάτων.

Παρακαλῶ οὖν ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμφρονας καθιστάναι τῆς οἰκείας σωτηρίας καὶ πρὸς πᾶσαν εὐθύτητα καταρτίζειν ἑαυτούς· πρὸς ὃ δὲ ἕκαστος, καθὼς ἐνοχλεῖται, κατὰ τούτου καὶ τὸν ἀγῶνα ὀφείλει ἀναλαμβάνειν, πρὸς τὸν φθόνον τὰ κατὰ τοῦ φθόνου, τοῦ μισεῖν τὴν παραυτίκα δόξαν· ἐκ γὰρ τοῦ ἐρᾶν κρειττων τοῦ πέλας φαίνεσθαι κατά τε ἀγχίνοιαν, κατά τε μελουργίαν, κατά τε ψαλμῳδίαν, κατά τε ἀνάγνωσιν, κατά τε ἄλλην τινὰ εὐφυΐαν, ἢ πνευματικὴν ἢ σωματικήν, ὑποσμύχεται τὸ πάθος καὶ ἐκδαπανᾷ καὶ τήκει τὸν ἔχοντα. ἀλλήλων οὖν μέλη ὄντες, καθὼς ἐσμεν ἓν σῶμα οἱ πάντες, ἀλλήλοις συγχαίρωμεν, ἀλλήλοις συναγαλλώμεθα, ἀλλήλων τὰ κατορθώματα ἡγώμεθα. ὃ μὲν τυχὸν εὐμελεῖ, σὺ δὲ μεγαλοφωνεῖς, ὃ δὲ εὐαναγνωστεῖ, σὺ δὲ νοηματικώτερος τῶν ἀναγινωσκομένων· ἄλλος ἀγχίνους, σὺ δὲ ἀπολογητικώτερος· πρὸς διαταγὴν ἔργων χρησιμεύων ὁ δεῖνα, ἀλλὰ καὶ σὺ πρὸς ὑπακοὴν εὐθύτερος, καὶ πολλῷ γε κρεῖττον τὸ δεύτερον τοῦ προτέρου· καὶ γὰρ τὰ δοκοῦντα εἶναί τι, πρὸς τὰ ἀληθῶς ὄντα οὐδέν εἰσι. τί γὰρ μελουργία ἢ εὐφωνία, ἢ ἀνάγνωσις, ἢ εὐνοησία, ἢ μεγαλοφωνία, ἢ καλλιγραφία, ἢ μουσουργία, πρὸς τὴν μακαρίαν καὶ ἐπέραστον ταπείνωσιν καὶ ὑπακοήν, πρὸς τὴν χρηστότητα καὶ ἁπλότητα, πρὸς τὴν πραΰτητα καὶ γαληνότητα, πρὸς τὴν ἀνεξικακίαν καὶ ἀγογγυσίαν, πρὸς τὴν φιλοθείαν καὶ πολυευχίαν, πρὸς τὰς ἄλλας ἱερὰς ἀρετάς, ὧν ἡ κτῆσις τοῦ θέλοντος, κἂν κακόφωνός ἐστι, κἂν ἄψαλτος, κἂν δυσανάγνωστος, κἂν ἀφυέ-

2 κῶδ. *περιδυνούμενος* πρβλ. σ. 225, 19/20. 19 κῶδ. *μολισμοῦ*. 41 κῶδ. *μεθοδίαι*.

26 κῶδ. *ἡγούμεθα*.

στατος, κἂν ἀδιάρθρωτος τὴν γλῶσσαν, κἂν βραχὺς τὴν ἡλικίαν, κἂν ἐνδιάστροφος τοὺς ὀφθαλμούς, κἂν δυσειδὴς τὴν ὄψιν, κἂν σκάζων τὰ μέλη; οὕτω γὰρ εὐπόριστον ὁ ἀγαθὸς ἡμῶν θεὸς καὶ πᾶσιν εὐπρόσιτον τὸ τῆς ἀρετῆς ἀγαθὸν προύθηκεν ἡμῖν, οὐ διὰ σωματικῶν προτερημάτων, ἀλλὰ διὰ ψυχικῶν διαθέσεων κατασπειρόμενον καὶ αὐξούμενον καὶ τελειούμενον.

Λοιπὸν ταῦτα ἐννοοῦντες μένωμεν οἷς ἐσμεν, χαιρόμενοι τὰ εἰς ἀλλήλους, συμβιβαζόμενοί τε καὶ συναρμολογούμενοι διὰ πάσης εὐταξίας εἰς τὴν κατὰ θεὸν ζωὴν ἡμῶν· βλέπετε γάρ, ἀδελφοί μου, ὅτι πληθύνομεν καὶ ὀφείλει πάντα κατὰ τάξιν γίνεσθαι, καὶ ἐπὰν μικρόν τι ἀτακτήσῃ, τὸ ὅλον τῆς ἀδελφότητος ἡμῶν σύστημα κινεῖται καὶ συγκλονεῖται, ἀπόλλον τὸν οἰκεῖον κόσμον τῆς ἀρετῆς, ὥσπερ ἔχει ἐπὶ παντὸς ἄλλου τῶν ἔξω συνταγμάτων· καὶ γάρ, εἰ μὴ καθηκόντως διεξάγηται καὶ βασιλεία [καὶ οἰκία], ἑκάστου ἀξιώματος τὰ οἰκεῖα παντὶ καιρῷ καὶ τρόπῳ ἐπιδεικνυμένου, οὕπω βασιλεία καὶ οἰκία. ὡσαύτως [ἐπὶ] χοροῦ τε καὶ δήμου καὶ παντὸς ἄλλου. οὕτω πολὺ μᾶλλον ἡμῖν δέον καὶ ὠφέλιμον, τοῖς συναθροισθεῖσιν ἐν ὀνόματι κυρίου ἐπὶ τὸ αὐτὸ καὶ οὖσιν ἐν τῷ καταλόγῳ τοῦ ἀγγελικοῦ στρατεύματος, τὸ τῆς εὐταξίας καλόν, λέγω δὴ τὸ ἀθορύβως καὶ ἀταράχως καὶ ψάλλειν καὶ προσεύχεσθαι ὑμᾶς, ἵστασθαι καὶ μεθίστασθαι, καθέζεσθαι καὶ ἐγείρεσθαι, ὑπνοῦν καὶ ἀνίστασθαι, καταβαίνειν καὶ ἀναβαίνειν, ἡσυχάζειν καὶ λαλεῖν, ἐσθίειν καὶ πίνειν, εἰσέρχεσθαι καὶ ἐξέρχεσθαι, ἐρωτᾶν καὶ ἀποκρίνεσθαι, ὁμαδεύεσθαι καὶ διαλύεσθαι, ζητεῖν καὶ διδεῖν καὶ λαμβάνειν καὶ εἰσδέχεσθαι, δουλεύειν καὶ δουλεύεσθαι, τιθεῖν καὶ κρατεῖν, ἐνδύεσθαι καὶ ἐκδύεσθαι, ὑποδύεσθαι καὶ ἐξυποδύεσθαι· ἅπαντα γὰρ ταῦτα καθ' ἑκάστην ἡμέραν φαίνεται ἐν ὑμῖν. καὶ εὐταξίας μὲν οὔσης, θείῳ φόβῳ κεκραμμένης, οἷόν τις θάλασσα ἡ πᾶσα ἀδελφότης γαληνιῶσα καταφαίνεται, κινουμένη μὲν καὶ φερομένη, ἀλλὰ πραΰτατα κύματα ὑποφρίσσουσα, τῆς κινήσεως ὡς ὑπὸ πνεύματος ἁγίου ἐπαιρομένη, ἀταξίας δὲ ἐξ ἀπροσεξίας παρεισαγομένης, ὡς ἐκ σφοδρῶν τινων πνευμάτων καὶ καταιγίδων τῶν εἰσπνευσάντων ταράσσεται καὶ ἀναβράσσεται, μισητὰς καὶ εἰδεχθεῖς καὶ ὑποβρυχίους τοῦ σκάφους τῆς ψυχῆς τὰς τρικυμίας ἀνεγείρουσα καὶ ἀποπέμπουσα. μὴ γὰρ οὐχὶ τοιοῦτόν ἐστιν ἰδεῖν, ὅτε ἀπὸ κραυγῶν καὶ θορύβων, ἀπὸ γελοίων καὶ στρηνιασμάτων, ἀπὸ προσκρουσμάτων καὶ συμπιασμάτων, ἀπὸ ὠθισμάτων καὶ ἀντωθισμάτων καὶ ἐξανατρεπόμεθα καὶ ἀναλλοιούμεθα; καὶ ἵνα ἐγγύθεν λάβωμεν τὸ ὑπόδειγμα, τί γέγονεν ἐπὶ τῆς μεταδόσεως τῆς εὐλογίας τῶν ἁγιασμάτων καὶ ἐπὶ τῆς ἐξόδου τῆς τραπέζης; οὐχὶ ἔμελλε συμπατεῖσθαι ὁ παῖς μικροῦ δεῖν καὶ τελευτᾶν; καὶ οὐχὶ ἐπὶ τὸ αὐτὸ οἱ τέσσαρες ταξιάρχαι ὁλοχειρὶ μετὰ πολλῆς ἀντιβάσεως καὶ ἀντιστάσεως μόλις ἠδυνήθησαν ἐνεγκεῖν τὴν ἄτακτον ῥύμην ὑμῶν, καθάπερ ἐπὶ τῶν κοσμικῶν; μὴ γὰρ ἐξέλιπε τὸ ἁγίασμα; μὴ γὰρ οὐκ ἤμην ἐγὼ ὁ τάλας ἑνὶ ἑκάστῳ μεταδιδούς; μὴ ἦν τὸν προεισδεξάμενον μειζόνως εὐλογηθῆναι καὶ καθαγιασθῆναι; οὐδαμῶς, ἀλλ' ἦ μᾶλλον ὀφείλετο οὕτως πράξας τὸν ἁγιασμὸν ἐξ αὐτοῦ, οὐ τιμήσας τὸ δῶρον· εἰρήνης γὰρ ἦν τὸ δῶρον καὶ ἡ εὐλογία εὐταξίας, καὶ ὁ ἁγιασμὸς εἰρηνοποιοῦ καταστάσεως. καὶ ἐπὶ τῆς τραπέζης, μὴ ὅτι οὐ πάντες ἔχομεν ἐξελθεῖν, ἢ ὁ προεξελθὼν ἡγίασται ἐν τῇ ταχυτῆτι αὐτοῦ; οὐδαμῶς, ἐκαρπώσατο δὲ μᾶλλον ἀντὶ ὠφελείας βλάβην διὰ τῶν ἀγανακτησάντων ἀδελφῶν.

Ἀλλὰ μὴ οὕτως, τέκνα καὶ ἀδελφοί. δέομαι ὑμῶν καὶ παρακαλῶ, συνίετε τί τὸ θέλημα τοῦ θεοῦ, ὅτι οὐ μόνον ἀγαθὸν ὀφείλει εἶναι, ἀλλὰ καὶ τέλειον καὶ εὐάρεστον, πρὸς τὸν καταρτισμὸν τῶν πολλῶν γινόμενον. ταῦτα μὲν ὑμῖν οὐκ ὀνειδιστικῶς, ἀλλ' ὑπομνηστικῶς εἴρηταί τε καὶ λέλεκται, ἵνα πρὸς τὸ

---

8 *αὐξούμενον* ἐκ τοῦ τύπου *αὐξέω*. 17/18 κῶδ. *συνκλονεῖται*. 21 προσέθηκα τὸ *καὶ οἰκία* καὶ κατόπι τὸ *ἐπὶ*.

2 κῶδ. *ὑποσφρίσουσα*. 3 κῶδ. *ἐπαιρουμένη*. 12 προσκρουσμάτων] ἀλλαχοῦ (231, 19) *προσκρουμάτων*. 21 κῶδ. *μόλης ἠδ. ἐνεγκὴν*. 32 κῶδ. *ἔχωμεν*.

ἐξῆς ἀσφαλῶς βιοτεύωμεν, καὶ διὰ τοῦτο μόνον μεμνημένοι τῶν παλαιῶν καὶ ἤδη παρελθόντων, ἵνα φύγωμεν τὴν τῶν ὁμοίων διάπραξιν· ὁ δὲ κύριος τῆς εἰρήνης καὶ θεὸς πάσης παρακλήσεως, ὁ συνέχων τάξει τὰ οὐράνια καὶ τὰ ἐπίγεια, ὁ καὶ δεῆσαν ὀφθῆναι αὐτὸν ἐπὶ τῆς γῆς, πρὸς τὸ ἀνασώσασθαι τὸ ἀνθρώπινον, μὴ ὅλον εὐθὺς φανῆναι εἰς ἀνδρὸς τελείου σχῆμα, ἀλλὰ τάξεως ἀκολουθίᾳ καὶ νόμῳ τῷ καθ' ἡμᾶς ἀπὸ βρέφους ἐλθεῖν εἰς τὰς μεθηλικιώσεις, ὡς καὶ ὀκταήμερος περιτμηθῆναι καὶ ἐν τεσσαράκοντα ἡμέραις ὑπὸ τοῦ δικαίου Συμεὼν ἁγκαλισθῆναι, κατὰ τὸ εἰθισμένον ἐν νόμῳ· ἔπειτα, δωδεκαέτη γενόμενον συγκαθίσαι τοῖς ἱερεῦσι καὶ γραμματεῦσιν, ἡνίκα ἀναγνοὺς τὸ βιβλίον, πτύξας, τῷ ὑπηρέτῃ ἔδωκεν· ἔπειτα ἐπὶ τοῦ τριακοστοῦ ἔτους βαπτισθῆναι καταξιώσας, ἀναγέννησιν ἡμῖν υἱοθεσίας χαριζόμενος—, αὐτὸς δῴη ὑμῖν δύναμιν καὶ κραταίωσιν πρὸς πᾶσαν πρᾶξιν ἀγαθὴν καὶ κίνησιν, πρὸς πᾶσαν εὐταξίαν καὶ ὁμόνοιαν, πρὸς πᾶσαν εἰρήνην καὶ πραύτητα, ἐν εἰλικρινείᾳ τῆς μετ' ἀλλήλων ἀγάπης, ὡς ἂν εὑρεθείημεν ἅπαντες ἐν τῇ ἡμέρᾳ τῆς ἀποκαλύψεως αὐτοῦ χορὸς ἐπὶ τὸ αὐτὸ ἅγιος καὶ δῆμος ἡγιασμένος, σκηνὴ πεφωτισμένη μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος αὐτῷ εὐαρεστησάντων, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΟΗ'.

Περὶ τοῦ φυλάττειν ἑαυτοὺς ἀπὸ τῆς πονηρᾶς συνδυάσεως καὶ τῆς ἀνωφελοῦς καὶ ἀκαίρου παῤῥησίας, καὶ τοῦ μεθ' ὑπομονῆς ὑποίσειν ἡμᾶς τὰς ἀσκητικὰς στενοχωρίας, ἐπ' ἐλπίδι τῆς εὐρυχωρίας καὶ ἀπολαύσεως τῶν αἰωνίων ἀγαθῶν.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ὡς γλυκεῖά μοι ἡ πρὸς ὑμᾶς ὁμιλία τε καὶ θεωρία, ἡνίκα μάλιστα ἡμέρα ἐπισταίη κατηχήσεως, ὁρῶντι ὁμοῦ πάντας συνηγμένους ἐπ' ὀφθαλμοὺς τῆς ταπεινώσεώς μου. εἰ γὰρ καὶ ἀμοιρῶ λόγου τοῦ καθήκοντος—ὀλίγος γάρ εἰμι ἀμφοτέρωθεν—, ἀλλ' οὖν ὅτι ἀποπληροῦμεν τὸ τῶν ἁγίων πατέρων ἡμῶν σύνηθες, χαίρομεν καὶ εὐφραινόμεθα ἀνθομολογούμενοι τῷ κυρίῳ ὑπὲρ ὧν πεποίηκε δι' ὑμᾶς εἰς τὴν ταπείνωσιν ἡμῶν. ὅτι δὲ καὶ τῶν κατηχήσεων οὕτως ἐπιμελῶς γινομένων ἐπισυμβαίνουσιν ἀταξίαι, ὥσπερ καὶ πρὸ μικροῦ, οὐ θαυμαστόν, ἐπεὶ καὶ ἐν τοῖς πατράσιν ἡμῶν, ἔνθα ηὔγει τὸ φῶς τῆς ἀρετῆς ὑπὲρ τὰς ἡλιακὰς ἀκτῖνας μετὰ τῆς τοῦ λόγου βρύσεως, ἔστιν ὅτε συνέπιπτε τὰ ὅμοια, καὶ ἴστε οἱ πεπειραμένοι τὰ κατ' αὐτοὺς ἀναγνώσματα. τί λοιπόν ἐστι τὸ ζητούμενον; ἵνα ἀνολιγώρητον ἔχων τὴν περὶ ὑμᾶς φροντίδα ἐν τῇ ταπεινῇ μου ψυχῇ ἐπιδείκνυμι τὰ δέοντα ἔργῳ καὶ λόγῳ, νουθετῶν, παρακαλῶν, ὑπομνήσκων, διαβεβαιούμενος, ἐπιτιμῶν, χρηστευόμενος, ἀπειλῶν, ὑπισχνούμενος ἰδίᾳ τε ἑνὶ ἑκάστῳ καὶ δημοσίᾳ κοινῇ πᾶσιν, ὡς ἂν τῷ συνεχεῖ τῆς ὑπομνήσεως ἔλξειν ὑμᾶς εἰς τὸ εὐθὲς καὶ σωτήριον ἐπικουρίᾳ θεοῦ καὶ συνεργίᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν.

Τοῦτο οὖν τὸ ἔργον μου καὶ ἡ σπουδή μου, τοῦτο ἡ ζωή μου καὶ ἡ φροντίς μου, καὶ διὰ τοῦτο ταῖς προλαβούσαις ἡμέραις ἡ πρὸς ὑμᾶς ἀγανάκτησις (συγχωρήσατε) γέγονεν οὐκ ἐκ μισητῆς διαθέσεως, οὐδὲ ἐκ θυμικῆς ὁρμῆς, οὐδὲ ἐξ αὐθεντικῆς ἐξουσίας—ἄπαγε—, ἀλλ' ἐξ ἄγαν περιπονήσεως καὶ ἐκ φιλοστόργου καὶ πατρικῆς ἀγαπήσεώς μου, εἰ καὶ ὑπὲρ ἐμὲ τὸ λεγόμενον· ἰδὼν γὰρ ὅτι σύνδεσμος γέγονεν ἔν τισι πονηρὸς καὶ ἐπισύστασις κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ, διεξανέστην, ἔδραμον, ἔσπευσα σβέσαι τὸ ἐνσπαρὲν πῦρ ὑπὸ τοῦ πολυμόρφου ὄφεως, ἵνα μὴ ἐκ μικροῦ σατανικοῦ σπινθῆρος ἀνακαυθῇ μεγάλη φλὸξ ἀταξίας, κατεσθίουσα ἅπαντας ἐν μιᾷ καιροῦ ροπῇ· τοῦτο γὰρ ἦν τὸ γενηθέν. εἶτα ἐπετίμησα καὶ ἐπέπληξα αὐτούς τε τοὺς ἁλόντας καὶ τοὺς μὴ ἁλόντας, ἵνα τοὺς μὲν τῇ στύψει τῶν ἐλέγχων καὶ ὀνειδισμῶν ἀπαλλάξω τῆς χαυνώσεως καὶ τῆς οἰήσεως, καθιστῶν αὐτοὺς εἰς με-

1 κῶδ. *βιωτεύωμεν*. 26 κῶδ. *ἐπεὶ*. 37 κῶδ. *ὑμᾶς*.

τριοφροσύνης στερρότητα, τοὺς δὲ τῷ κακῷ ὑποδείγματι φοβήσας ἀσφαλίσωμαι, μὴ εἰς τὰ ὅμοια ἐμπεσεῖν ἀπειρίᾳ τῆς ἐμπτώσεως. καὶ γοῦν φυλάξασθε ἀπὸ τοῦ παρόντος, παρακαλῶ καὶ δέομαι, ἐκ πάσης πονηρᾶς συνδυάσεως καὶ οἰηματικῆς ἰδιορρυθμίας, ἐπιβλαβοῦς τε ἀναζητήσεως καὶ παρεκτροπῆς νομοθεσιῶν, στοιχοῦντες τῷ κανόνι τῆς παραδεδομένης ἡμῖν παρὰ τῶν ἁγίων πατέρων ἡμῶν διδασκαλίας καὶ νομοθεσίας, ὅτι οὐχ ὡς ἔτυχεν οὐδὲ ἀκανονίστως, ἀλλ' ἐν βασάνῳ πολλῷ μετὰ πόνων καὶ ἱδρώτων ἐκ τῶν ἄνωθεν χρόνων, ὃ ὡρίσθη ἐν ὑμῖν, ὥρισται, καὶ ὃ διατυποῦται ἐν ὑμῖν, διατετύπωται, εἰς ἔνδειξιν ἀληθείας τοῦ καθ' ἡμᾶς ἀγγελικοῦ βίου καὶ εἰς ἔλεγχον τῶν ἑτεροφρονούντων πρὸς τὰς εὐθείας ἐντολὰς τοῦ κυρίου.

Ἐμπορεύεσθε οὖν λοιπὸν τὴν ἀγαθὴν ἐμπορίαν ὑμῶν, καὶ διανύετε τὸν ἐν κυρίῳ δρόμον ὑμῶν, ὑπαλείφοντες ἑαυτοὺς τῷ ἐλαίῳ τῆς καρτερίας καὶ ὑπομονῆς, καὶ ὑποφέροντες τὰς ἀσκητικὰς στενοχωρίας, δι' ὧν ἑτοιμάζεται ὑμῖν ἡ εὐρυχωρία τῆς ἀπολαύσεως τῶν αἰωνίων ἀγαθῶν. τίνες δέ εἰσιν αἱ στενοχωρίαι; ἤ πάντως, ἃς καθ' ἑκάστην ἐνεργεῖτε, τὰς ἀγρυπνίας καὶ ψαλμῳδίας, τὰς ἐκ χειρῶν ἐργασίας, τὰς ὀλιγοδείας, τὰς ὀλιγοποσίας, τὰς ἐπαλλήλους μεταφορὰς καὶ μεταγωγὰς τῶν διακονημάτων, ὅσον ἐν στάσει, ἐν εὐταξίᾳ, ἐν βαδίσματι, ἐν ἐνδύματι, ἐν ὑποδήματι, ἐν σκεπάσματι, ἐν συνθλίψει, ἐν ἀποστερήσει, ἐν προτιμήσει, ἐν παραθεωρήσει, ἐν ἄλλῳ δηποτοῦν πράγματι· καθ' ἕκαστον γὰρ εἶδος ἀθλεῖτε κοπιῶντες ἡμέρας καὶ νυκτός. καὶ ὅτι ἀληθές, μαρτυροῦσι πολλοὶ τῶν ἁγίων, μαρτυρεῖ δὲ πρὸ πάντων καὶ μετὰ πάντων ὁ μέγας καὶ θεῖος Βασίλειος, μαρτυρικὴν ἔνστασιν ὁρίζων τὴν ὑποταγήν. τί δὲ ἆρα ὑπὲρ τούτων ὀνησόμεθα; ἢ τί ὑμῖν τὸ ἀνταπόδομα; ἀλλ' οἱ ἀμάραντοι τῆς δικαιοσύνης στέφανοι, ἡ κληρονομία τῆς βασιλείας τῶν οὐρανῶν, ἡ υἱοθεσία καὶ ἡ ἀφθαρσία καὶ ἡ ἀθανασία, καὶ πᾶσα εἴτις ἄλλη ἐπινενόηται μακαριότης. τοιαύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀδελφοί μου, ἐνέγκοιτε, παρακαλῶ, ἔτι καὶ ἔτι τὸν προκείμενον ἡμῖν ἀγῶνα τῆς ἀσκήσεως, μὴ πτυρόμενοι ταῖς ἐπισυμβαινούσαις ὑποσκελίσεσι τῶν τινῶν (πίπτουσι γὰρ ὥσπερ φύλλα οἱ ἑαυτοῖς στοιχοῦντες) καὶ μὴ ἐπερειδόμενοι τῷ φόβῳ τοῦ θεοῦ, μηδὲ ἀκηδιῶντες ἀπὸ τῶν ἐπισυμβαινουσῶν ὀχληρῶν καὶ λυπηρῶν, ἕνεκεν τῆς κατὰ θεὸν ὑμῶν ζωῆς. εἰ γὰρ μὴ λυπώμεθα, οὐδὲ χαριούμεθα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ εἰ μὴ στενοχωρώμεθα καὶ στενώμεθα, οὐκ εὐφρανθησόμεθα οὐδὲ εὐπαθήσομεν ἐν τῷ αἰῶνι τῷ μέλλοντι. ἀλλ' ὅτι λυπούμεθα καὶ θλιβόμεθα, ταλαιπωροῦμεν καὶ κατακαμπτόμεθα. ἐν τούτῳ μᾶλλον ἀγαλλιασώμεθα· δεῖγμα γὰρ πάντως, ὅτι ἐν τῷ μέλλοντι αἰῶνι ἀντὶ τῶν λυπηρῶν τὰ χρηστὰ ἡμῖν ἀνατελεῖ, ἀντὶ τῆς πτωχείας ὁ πλοῦτος, ἀντὶ τῆς ὀλιγοκτησίας ἡ πολυκτημοσύνη τῶν οὐρανίων θησαυρῶν, ἀντὶ τῆς σαρκικῆς κατατήξεως ἡ ψυχικὴ εὐπάθεια, ἀντὶ τῆς ἀπομονώσεως παντὸς τοῦ κόσμου ἡ ὑπὸ κυρίου ἐν ἡμέρᾳ ἀνταποδόσεως ἀνάρρησις. οἷον γὰρ καὶ ἡλίκον, ἐπὰν ἀκούσωμεν τῆς μακαρίας ἐκείνης φωνῆς, καλούσης καὶ λεγούσης ἡμῖν "δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου"! διὰ τοῦτο, εἰ δέοι ὑμᾶς καὶ καθ' ἡμέραν ἀποθνήσκειν ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ, εὐπροθετήσωμεν καὶ ἑαυτοὺς ἀπεκδώσωμεν τέμνεσθαι, καίεσθαι, ξέεσθαι, πάντα τὰ ἆθλα ὑπομένειν, καθάπερ οἱ ἅγιοι μάρτυρες· οὐ γάρ τι ξένον ἐκεῖνοι πεποιήκασιν, οὐδὲ ἄλλο πρέπον ἐκείνοις, ἡμῖν δὲ ἕτερον ἀγαπᾶν καὶ ἀσπάζεσθαι, ἀλλὰ τὸν αὐτὸν ἀγῶνα καὶ τὴν αὐτὴν ἐπιθυμίαν, ὅτι καὶ πάντες ἓν ἐσμεν τῇ φύσει καὶ θεοῦ πλάσματα καὶ ὑπὲρ ἑνὸς εἰς τὸν κόσμον τοῦτον εἰσήχθημεν, τοῦ δοξάσαι θεὸν διὰ τῆς φυλακῆς τῶν ἁγίων αὐτοῦ ἐντολῶν. εἰ δὲ ὅτι κοπαὶ μελῶν καὶ αἱμάτων ἐκχύσεις καὶ τυράννων κολάσεις οὐ πάντοτε πᾶσίν εἰσιν, ἀλλ' ἡμεῖς, ὡς ἐφθάσαμεν, διὰ τοῦ ὑψηλοῦ βίου τούτου τὸ τῆς

11 κῶδ. *στενούμεθα* 14 κῶδ. *κατακαμπτοίμεθα.*
25/27 Ματθ. κε', 34.

ὑπακοῆς ἡμῶν μαρτύριον ἐπιτελέσωμεν, ἑτεροτρόπως κολαζόμενοι καὶ ἀοράτως κενοῦντες τὸ αἷμα καὶ τὰ μέλη νοητῶς κατακοπτόμενοι, ὡς ἂν τοῖς ἁγίοις μάρτυσι συνα- πολαύσωμεν τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΟΘ'.

Περὶ τοῦ ἀνὰ χεῖρα γενομένου σεισμοῦ καὶ τῆς συντελείας τοῦ αἰῶνος τούτου, καὶ διδασκαλία παραινετικὴ περὶ σπουδῆς καὶ ἐπιμελείας, πρὸς ἐργασίαν τῶν ἐντολῶν τοῦ θεοῦ.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, τοῦ περὶ τὸν σεισμὸν φόβου προσγενομένου ἡμῖν ἐκ τῆς χθὲς ἡμέρας, οὐ χρεία περὶ ἄλλου τινός, ἢ περὶ τούτου δεῖ μόνον διαλεχθῆναι, πόθεν καὶ οὗτινος χάριν γίνεται. καὶ ἄλλοι μὲν τῶν Ἑλλήνων ἄλλα ἔφασαν, ποιότητα γῆς καὶ νηνεμίαν ἀνέμων καὶ ἄλλα τινὰ ἕτερα ἀλόγως φυσιολογοῦντες καὶ μηδαμοῦ τὸ ἀληθὲς ἐξευρίσκοντες· ἡμᾶς δὲ ὁ θεῖος Δαυὶδ πιστοῦται λέγων· "ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται"· οἱονεὶ γὰρ βλέμματί τινι αὐστηρῷ πρὸς δοῦλον δεσπότης χρώμενος ἔντρομον αὐτὸν καθίστησιν. οὕτως ὁ ἀληθινὸς δεσπότης τοῦ παντὸς καὶ ποιητὴς δοῦλα τὰ πάντα ἔχων παριστάμενα, ἐπειδὰν τὴν καθ' ἡμῶν ἐξ ἁμαρτιῶν ἀγανάκτησιν θελήσῃ ἐνδείξασθαι, τὸ παντέφορον ὄμμα τῆς δυνάμεως αὐτοῦ ἐμβριθῶς πρὸς τὴν κτίσιν ὑποβλέψας, ποιεῖ αὐτὴν τρέμειν, ἵν' ἡμεῖς φοβηθέντες καὶ τρομάξαντες ὡς δοῦλοι ὠργισμένοι ἐπαναχθῶμεν πρὸς σωφρονισμὸν καὶ διόρθωσιν τῶν προσταγμάτων αὐτοῦ.

Ἴδε οὖν, ἀδελφοί μου, οἷα αὐτοῦ φοβερὰ ἡ δύναμις, ἡλίκη ἡ ἔνδειξις τῆς ἀγανακτήσεως, ὁ θυμὸς τῆς ὀργῆς αὐτοῦ! καὶ εἰ ὁ παρὼν τοιοῦτος καὶ τηλικοῦτος, ποταπὸς ὀ ἂν εἴη ἐκεῖνος ὁ σεισμὸς τῆς τοῦ παντὸς συντελείας, κατὰ τὸ "ἰδοὺ ἐγὼ ἅπαξ τὸν οὐρανὸν καὶ τὴν γῆν σείω λέγει κύριος"; ποῖος φόβος ἕψεται; ποῖος τρόμος γενήσεται. ὅταν ἀρασσομένη ἡ γῆ ἀναδώσειε πάντας τοὺς ἀπ' αἰῶνος κεκοιμημένους, συμπηγνυμένων ὀστέων πρὸς ὀστέα καὶ φυομένων ἐν αὐτοῖς σαρκῶν καὶ νεύρων, καὶ πάλιν ψυχουμένων καὶ ἀνισταμένων τῶν σωμάτων; ὅταν ὁ οὐρανὸς ὡς βιβλίον εἱλισσόμενος τοὺς ἀστέρας ἀποβάλλεται καὶ τοὺς φωστῆρας ὑπαλλάττεται, ἤχου καὶ βροντῆς ἐξακουομένης διὰ τῆς τοῦ ἀρχαγγέλου σάλπιγγος ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν; ὅταν αὐτὸς ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξῃ, μυρίων μυριάδων καὶ χιλίων χιλιάδων ἀγγέλων καὶ ἀρχαγγέλων καὶ πάντων τῶν ἄνω δυνάμεων προηγουμένων καὶ προπορευομένων ἔμπροσθεν αὐτοῦ; ὅταν θρόνοι τεθῶσι καὶ κριτήριον καθίσῃ ὁ ἀδέκαστος κριτὴς καὶ δεσπότης, πάντα γυμνὰ καὶ τετραχηλισμένα κρίνων καὶ διευθύνων καὶ ἐξετάζων βουλὴν καὶ πρᾶξιν καὶ λόγον τῶν βεβιωμένων ἡμῖν; ὅταν ἐν ῥιπῇ ὀφθαλμοῦ, τούτων πάντων τελουμένων. ἐξενεχθῇ ἡ μεγάλη καὶ φοβερὰ ἀπόφασις, καλοῦσα τοὺς μὲν δικαίους εἰς βασιλείαν οὐρανῶν καὶ ζωὴν αἰώνιον, τοὺς δὲ ἁμαρτωλοὺς ἀποπέμπουσα εἰς πῦρ ἐξώτερον καὶ σκώληκα ἰοβόλον, καὶ εἰς σκότος ἀφεγγὲς καὶ εἰς χάσμα μέγα καταδύσεως ᾅδου καὶ τάρταρα ψύχους ἀνυποστάτου, καὶ εἰς πάσας τὰς ἀπειλουμένας φρικωδεστάτας κολάσεις; τίς οἴσει ταῦτα πάντα, ὦ ἀδελφοί; τίς ἐνέγκει τὰ φρικτὰ καὶ δεινά; τίς ὑποστήσεται τὰ φοβερὰ καὶ ἐκστατικά, ἰδεῖν οὐρανοὺς σχιζομένους. τὴν γῆν ἀναῤῥησσομένην, βλέψαι τὰ πλήθη τῶν ἀγγέλων, αὐτὸν τὸν κύριον καὶ θεὸν ἐρχόμενον ἐπὶ νεφελῶν κρῖναι πᾶσαν τὴν γῆν;

Ἀλλ' οὐκ εἰς μακρὰν ταῦτα καὶ ἐγγὺς τὸ προσδοκώμενον, καὶ κατὰ πόδας καὶ ἐπὶ θύραις ὁ κριτής. "ἰδού", φησίν, "ὁ νυμφίος· ἐξέλθετε δὴ εἰς ἀπάντησιν αὐτοῦ". ἀλλ' εἰ μὲν ἔχωμεν τὰς λαμπάδας φαιδρὰς τῆς

23/25 Ψαλμ. ργ', 32. 31 κῶδ. θελήσει.

1/2 Ἀγγ. β', 6. 10/13 Ματθ. κδ', 29, 30. 19 κῶδ. καθήσῃ. 41/42 Ματθ. κε', 6.

ἀγνοίας καὶ τὸ ἔλαιον τῆς συμπαθείας καὶ ἀγάπης ἐπ' αὐταρκείᾳ, εὖ ἂν ἔχοι· ἀσμενέστατα γὰρ ὑπαντήσωμεν καὶ συνεισέλθωμεν εἰς τὸν νυμφῶνα αὐτοῦ· εἰ δὲ μή γε, ἀποπεμφθησόμεθα, τῆς θείας πόλης ἐκείνης μὴ ἀνοιγομένης ἡμῖν κρούουσι, κακῶς φρονήσασι καὶ νυστάξασι καὶ καθευδήσασι καὶ οὐχ ἑτοίμοις εὑρεθεῖσι.

Διό, ἵνα μὴ ταῦτα συμβῇ ἡμῖν, διεγερθῶμεν οἱ καθεύδοντες ὑπὸ τοῦ ὕπνου τῆς ῥαθυμίας· διαναστῶμεν οἱ ὀλιγωροῦντες ἀπὸ τῆς ἀτόνου ἀκηδίας· νήψωμεν οἱ μεθύοντες ἀπὸ τῆς καρώσεως τῆς λογισμομαχίας· ἀγνεύσωμεν τὰς ψυχὰς οἱ χραίνοντες αὐτὰς ταῖς ἀτόποις ἐπιθυμίαις· στηρίξωμεν τὰς καρδίας κραταιότητι τῆς πίστεως οἱ ἔχοντες αὐτὰς σεσαλευμένας ἀπὸ τῆς διψυχίας καὶ παλιμβουλίας καὶ φιλοσαρκίας· οἱ εὐδρομοῦντες ἔτι δράμωμεν ἀκαταπόνητα, οἱ ὑποσκελισθέντες ἀναστῶμεν διὰ μετανοίας ἐπιπονωτέρας, κινηθῶμεν πρὸς ἐργασίαν ἐντολῶν οἱ λιθώδεις καὶ ναρκώδεις καὶ πεπωρωμένοι· ἐμβλέψωμεν πρὸς οὐρανὸν οἱ κοσμοθεάμονες καὶ φιλοθέατροι καὶ φιλοπαιγνεῖς· ἐκρήξωμεν δάκρυον κατανυκτικὸν ἐκ πεπωρωμένης καρδίας οἱ πετρώδεις καὶ δυσκίνητοι πρὸς τὸ καλόν· οἱ φωτεινοὶ ἔτι φωτισθῶμεν, οἱ καθαροὶ ἔτι καθαρθῶμεν, οἱ διεγερτικοὶ ἔτι διαναστῶμεν, οἱ φιλάρετοι ἔτι ἐρασθῶμεν, οἱ πολυεργοὶ ἔτι ἐργασώμεθα, οἱ σπουδαῖοι ἔτι σπουδαιολογήσωμεν καὶ σπουδεργήσωμεν, οἱ ταπεινόφρονες ἔτι ὑψωθῶμεν διὰ τῆς ἁγίας ταπεινώσεως, οἱ φιλάδελφοι ἔτι ἀνάψωμεν τὸν πνευματικὸν καὶ ἀπαρρήσιαστον εἰς ἀλλήλους ἔρωτα· οἱ προιστάμενοι τῶν ἔργων καὶ τῶν διακονιῶν καὶ τῶν εὐταξιῶν ἔτι ἐχώμεθα τῶν φροντίδων ἡμῶν ἀπαθέστερον καὶ συνετώτερον, ὡς ἐν τάξει φωστήρων καὶ ὀφθαλμῶν καὶ κανόνων· οἱ ὑπακούοντες καὶ ὑποτασσόμενοι ἔτι προσθῶμεν τὴν ἀναντίλογον εὐπείθειαν, τὴν ἀγόγγυστον εὐκινησίαν, τὴν εὐμετάφορον διακονίαν, τὴν ἐπίπονον ἐργασίαν, ὡς υἱοὶ φωτὸς καὶ τέκνα εἰρήνης. οἱ ἱερουργοῦντες καὶ διακονοῦντες ὡς ἀρχάγγελοι καὶ ἄγγελοι καὶ πρὸ τοῦ βήματος καὶ ἐν τῷ βήματι καὶ πρὸ τῶν εὐχῶν καὶ ἐν ταῖς αὐχαῖς φαίνοισθε τῷ παντοκράτορι κυρίῳ· οἱ νέοι τὸ δυσκάθεκτον τῶν ὁρμῶν ἀπορρίψαντες ἀναλάβετε τελειότητα· οἱ φιλοσώματοι καὶ φιλήδονοι ὑποστάλθητε ἀπὸ τῆς παῤῥησίας καὶ ἀλληλοβλεψίας, πρὸς θεῖον ἔρωτα ἀνακαιόμενοι· οἱ δυνατῶς ἔχοντες κατὰ τὸ σῶμα πρός τε νηστείαν καὶ ἀγρυπνίαν τοῦ ἐν ὑμῖν χαρίσματος μὴ ἀμελεῖτε, ὃ ἐδόθη ὑμῖν ὑπὸ κυρίου, εἰς οἰκείαν σωτηρίαν καὶ ἑτέρων ῥαθυμούντων ἐπαναγωγήν· οἱ φιλάρεσκοι καὶ φιλοπόται καὶ φιλοπρόοδοι σύνετε τὸ ἀλυσιτελές, ἐπιθυμίαν ἀσπαζόμενοι τοῦ κατατρυφᾶν κυρίου καὶ τῶν λόγων αὐτοῦ· οἱ προκαμόντες ἐν τῷ ἔργῳ κυρίου μὴ ὡς ἀναπεπτωκότες καὶ ὡς ἤδη τὸ πᾶν ἐργασάμενοι ζητεῖτε ἀνάπαυσιν· ὁ γὰρ ὅλεθρος αἰφνίδιος καὶ οὐδὲ ὁ πᾶς τοῦ βίου δρόμος ἐπαρκεῖ πρὸς τοὺς ἀγῶνας· οἱ μελετῶντες τὸν νόμον κυρίου ἡμέρας καὶ νυκτὸς ἔτι φροντίζετε τῆς θείας ὑμνήσεως καὶ παραστάσεως καὶ ἀνυσταξίας νύκτωρ τε καὶ μεθ' ἡμέραν· οἱ μεμυκότες ὡς ἄλογα ζῶα ἐν καιρῷ λειτουργίας παντοίας ἀνοίξατε τὸ στόμα καὶ ἑλκύσατε πνεῦμα· ψάλατε τῷ κυρίῳ συνετῶς. οἱ πάντες τὰ πάντα εὖ πράξατε, εὖ διάθεσθε, ἀεὶ φροντίζοντες, ἀεὶ τρέχοντες καὶ συντρέχοντες, ἀμιλλώμενοι καὶ συναμιλλώμενοι, προθυμούμενοι καὶ συμπροθυμούμενοι, συμβιβάζοντες καὶ συμβιβαζόμενοι, ἐπαμύνοντες καὶ συνεπαμυνόμενοι, εἰρηνεύοντες καὶ συνειρηνευόμενοι, ὡς πῦρ ἀναπτόμενοι ἐν τῷ θείῳ ζήλῳ, ὡς ξίφος ἀκονούμενοι πρὸς τὸν πολεμοῦντα δράκοντα, ὡς μάχαιρα ἀνατεινόμενοι πρὸς πᾶσαν ἐκδίκησιν ἐντολῆς θεοῦ, ὅπως ἐν τούτοις συντηρούμενοι καὶ περιφρουρούμενοι θεὸν θεραπεύσητε, ἀγγέλους ξενίζητε, ἀνθρώπους ἐκπλήττητε, τὸν ἐφάμιλλον δρόμον τῶν ὁσίων πατέρων ἡμῶν διεξερχόμενοι· οἷοι γὰρ ἐκεῖνοι

23 κῶδ. *κοσμωθεάμονες.*

22 πρβλ Ψαλμ. α', 2. 26 κῶδ. *ἀνίξατε.* 30 κῶδ. *ἀμιλλόμενοι.* 31 κῶδ. *συναμιλλόμενοι.* 34/35 κῶδ *ἀναπτώμενοι.*

τῷ ὄντι φρόνιμοι πραγματευταὶ καὶ κερδαίνοντες τὰ κέρδους ἄξια, ὅτι οὐκ ἐφίλησαν κόσμον, οὐδ' ἠγάπησαν σάρκα, οὐδ' ἐπόθησαν φθοράν, οὐδ' ἐδέθησαν φίλτρῳ τοῦ παρόντος βίου, ἀλλὰ μικρὸν πονήσαντες, μικρὸν ταλαιπωρήσαντες (μικρὸν γάρ ἐστι τῷ ὄντι κατὰ τοὺς ἀπείρους μέλλοντας αἰῶνας καὶ ἡ ἑκατονταέτις ἐνταῦθα διαβίωσις) ἔτυχον ζωῆς αἰωνίου, ἐπέτυχον χαρᾶς ἀνεκλαλήτου, ἀθανασίας καὶ βασιλείας οὐρανῶν, ἧς καὶ ὑμᾶς ἀνολιγώρως ἀποπληροῦντας τὴν ἀθλητικὴν ὑμῶν ὑποταγὴν πιστεύω ἀραρότως μετασχεῖν καὶ ἀπολαῦσαι σὺν πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Β'.

Περὶ ἀγάπης εἰς τὸν καθηγούμενον καὶ ὑπομονῆς καὶ καρτερίας, τοῦ μὴ καταισχῦναί τι τῶν προδιηνυσμένων ἡμῖν ἐν τῷ ἀγγελικῷ ἡμῶν σχήματι.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἐσιώπησα μικρὸν ὅσον τὴν τοῦ καιροῦ δυσκολίαν παραπέμψασθαι· ἐπεὶ δὲ εἰς ἑαυτοὺς ἐγενόμεθα χάριτι Χριστοῦ καὶ τελοῦμεν τὴν ἀσκητικὴν ἡμῶν ζωήν, ἀναγκαῖον πάλιν τὸ σύνηθες ἐνεργεῖν. εἴθε δὲ ἐδυνάμην τοσοῦτον φθέγγεσθαι, ὅσον εἰς παράκλησιν ὑμῶν ἱκανεῖν καὶ ὅσον εἰς τὸ συγκροτῆσαι καὶ συνάψαι ὑμᾶς ἐν πνεύματι ἁγίῳ, καὶ εἰς τὸ πτερῶσαι ὑμῶν τὰς ψυχὰς ἐν ἐπιθυμίᾳ τοῦ ἔρωτος τοῦ ἀγαθοῦ. ὀλιγοστὸς δὲ ὢν ὀλίγα φθέγγομαι, καὶ πενιχρὸς τυγχάνων πενιχρὰ ῥήματα προβάλλομαι. εἴη δὲ διὰ τῆς ὑμῶν εὐηκοίας καὶ εὐαισθησίας φανῆναί τι χρήσιμον πρὸς ἐμοῦ τοῦ ἀχρησίμου, εἰς δόξαν τῆς μεγαλωσύνης αὐτοῦ. τοῦτο δὲ πρῶτον ἔχω λέγειν, ὅτι ἀπέχω καὶ ὑπεραπέχω τὴν πρός με τὸν ἁμαρτωλὸν εἰλικρινῆ ὑμῶν ἀγάπην καὶ ἀληθινὴν καὶ ἀδίστακτον πίστιν, ὅτι ἐν καιρῷ ἀγῶνος οὐκ ὤφθητε ὡς τινες σκαιοὶ καὶ ἐπίπλαστοι καὶ ψευδώνυμοι, ἀλλ' ὡς τέκνα γνήσια κατὰ θεὸν προεθήκατε ἑαυτοὺς πάντα παθεῖν ὑπὲρ ἑνὸς μόνου, τοῦ μὴ παρατραπῆναι τῆς κατὰ θεὸν προαιρέσεως· εἰ δὲ καί τινες ἐξωλίσθησαν καὶ ἐξωστρακίσθησαν, οὐδὲν πρὸς ὑμῶν οὐδὲ θαυμαστόν, ἐπεὶ καὶ διάβολος ἐν ἀγγέλοις καὶ Ἰούδας ἐν ἀποστόλοις, ἵνα μὴ λέγω μετὰ τῶν ἄλλων τὴν ἑξηκοντάδα ἐκείνην, ἥτις ἐπὶ τὸ αὐτὸ συνομονοήσασα κατὰ τοῦ μεγάλου καὶ θείου Σάβα, ὤφθη ἀντίθετος καὶ ἀντίπαλος.

Τί οὖν λοιπὸν ὑμῖν ἐπάξιον προσερήσομαι; τίνα δὲ ἐγκωμίου ὑπόθεσιν προσθήσομαι εἰς εὐφημίαν ὑμῶν; ὅλως ὤφθητε ἐν κόσμῳ ὑπερκόσμιοι, φιλοπάτορες, φιλόθεοι, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν ὑποπτήσσοντες, ἕνα μόνον φόβον φοβούμενοι, τὸ πρὸ θεοῦ φοβηθῆναί τι καὶ διὰ τοῦτο τοὺς τῆς ὁμολογίας ὑμῶν προδοῦναι νόμους. ἀλλὰ τί; ἐθαυμαστώθητε ἐν κόσμῳ, ἐδοξάσθητε ἐν οὐρανῷ, ἐμακαρίσθητε ὑπὸ τῶν εὐσεβῶν. εἶδον ὄντως, ὅσον τὸ ὕψος τοῦ ἀγγελικοῦ καὶ μοναδικοῦ σχήματος· ἐξεπλάγησαν ἐν τῷ ἀθραύστῳ τῆς καρτερίας ὑμῶν, ἐν τῷ συνημμένῳ δεσμῷ τῆς ἀγάπης ὑμῶν· κίνησις τοσαύτη καὶ τηλικαύτη, ὡς πανταχοῦ σχεδὸν γῆς καὶ θαλάσσης ἐξηχηθῆναι τὸν λόγον, καὶ οὐδαμῶς παρετράπητε, ἀλλ' ἔστητε κραταιοί, ἐφ' ᾧ καὶ αὐτοὶ οἱ κρατοῦντες τάχα δοκῶ τεθαυμάκασι· γίνεται γὰρ τοῦτο μετὰ τὴν τῆς ταραχῆς κατάληξιν. καὶ ταῦτα μὲν ἐνταῦθα, ἔσται δὲ μικρὸν ὕστερον πάντως ἡ τελευταία ἡμέρα καὶ τὸ ἀδέκαστον κριτήριον τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἀποδώσει ὑμῖν, καθὼς πεπιστεύκατε καὶ καθὼς ἠγωνίσασθε ἐν πᾶσι τοῖς συμβεβηκόσιν. οὗτος ὁ μικρός μου πρὸς ὑμᾶς λόγος τῆς εὐχαριστίας καὶ ἀπολογίας, καὶ ταῦτα ἐπεσημηνάμην, οὐχ ἵνα κομπάσω τὰ κατ' ἐμαυτόν, ἢ τὰ καθ' ὑμᾶς (ἐγὼ γάρ εἰμι γῆ καὶ σποδός) καὶ ὡς οἵτινες λέγουσιν ἃ λελέχασιν· οὐ γὰρ σχολή μοι λεπτολογεῖν· πλὴν

---

8 κῶδ. *ἑκατονταέτις*. 29/30 ἱκανεῖν=ἱκανοῦν. 33 κῶδ. *ὀλιγωστὸς*. 34 κῶδ. *πενιχρὸς - - πενιχρὰ*.

20/21 κῶδ. *ἐθαυμαστώθητε*

ὅ τι περ ἂν εἴποι τις περὶ ἐμοῦ κακόν, ἀληθεύει, ἐκτὸς ἑνός, τοῦ μὴ αἱρετικόν με εἶναι.

Λοιπὸν χαίρειν ἐῶ τὰ λεγόμενα, πρὸς ἐμαυτὸν δὲ γίνομαι καὶ σκοπῶ ὅ τι καί εἰμι, ἀπευθύνων ἐμαυτὸν πρὸς τὴν ἐντολήν· κἀντεῦθεν γινώσκω ὅ τι δεῖ με πράττειν καὶ ὅσον ἀπῶσμαι ἐξ αὐτῆς· τὸ γὰρ λέγειν οὕτως καὶ ἑτέρως τοὺς ἀνθρώπους οὐδὲν ὀνήσει μοι, ἢ μᾶλλον τὸ ἀσφαλεστέρως ἔχεσθαι τῆς ἑαυτοῦ καταστάσεως, καθὼς οἱ ἅγιοι ἡμῶν πατέρες διδάσκουσιν. δεύτερος δὲ λόγος, ἵνα μὴ καταισχύνωμέν τι τῶν προηγωνισμένων ἡμῖν ἐκ τῶν ἤδη παρόντων, ἀλλ' ὥσπερ ἐναρχόμενοι τελῶμεν τὰ δέοντα καὶ ἐνάρετα, φωτὶ φῶς προσλαμβανόμενοι καὶ ἐκ δόξης εἰς δόξαν μετερχόμενοι. τοῦτο δὲ διὰ τῆς ἐν ἅπασιν ἐναρέτου ἡμῶν διαγωγῆς, ὡς ἂν ἐγκομβοῦσθαι ἡμᾶς τὴν ταπεινοφροσύνην καὶ ἕλκειν τὴν ὑπακοήν, ἐνεργεῖν τὴν ἀγάπην, τὴν πραότητα, φεύγειν τὸ αὐτόβουλον, τὸ αὐτάρεσκον· ἐξ ὧν ὁ θάνατος, τὸ πονηρεύεσθαι, τὸ φιλοπρωτεύειν, τὸ φιλοδοξεῖν· ἐφ' οἷς ἡ ταχεῖα ἀπώλεια καὶ δι' ὧν πεπτώκασιν οἱ πεσόντες ἀπὸ τοῦ αἰῶνος μέχρι τοῦ παρόντος ἐν τούτῳ τῷ τῆς ὑποταγῆς σκάμματι.

Νῦν οὖν ὡς ἤδη κεκαθαρμένοι ἀπὸ τῶν ζιζανίων, σκολόπων καὶ ἀκανθῶν, εὐκαρπήσατε, τέκνα μου, εὐζωήσατε, νέαν πολιτείαν ἐπιδείξασθε, μηδὲν ἐπιφερόμενοι τοῦ τῶν ἀπολισθησάντων φρονήματος, ἵνα μὴ τὰ αὐτὰ πάθητε· ὅλοι εἰλικρινεῖς, ὅλοι καθαροί, ὅλοι φέροντες ὕβριν, ἐξουδένωσιν, παραπληκτισμόν, πόλεμον ἐμφύλιον, ἐγκράτειαν, ὑπομονήν (τοῦτο γὰρ τὸ μαρτύριον τῆς ὑποταγῆς), καὶ οἱ ταῦτα ὑπομεμενηκότες λήψονται τὸν στέφανον τῆς δικαιοσύνης, ὅτι καὶ πρὸς μείζονα, εἰ δέοι, οὐκ ἀπολιγωρήσουσι· γέγραπται γάρ, ὅτι "ὁ ἐν ὀλίγῳ πιστὸς καὶ ἐν πολλῷ πιστός ἐστιν"· οἱ δὲ ἐν τοῖς ἐλαχίστοις ὀλιγωροῦντες πρόδηλον, ὅτι τῶν μεγίστων οὐδὲ ἄκρῳ δακτύλῳ ἅψασθαι δυνηθήσονται. τοιγαροῦν, ὡς ἤδη πυρωθέντες τῷ φίλτρῳ τοῦ Χριστοῦ καὶ στομωθέντες ταῖς περιστάσεσι καὶ τοῖς κινδύνοις, ἐνέγκατε γενναίως τὰ καθ' ἑκάστην συμπίπτοντα καὶ ἀναδράμωμεν ἐπὶ τὴν χρυσῆν ὄντως ἐκείνην πολιτείαν τῶν ἁγίων πατέρων ἡμῶν, ἐν οἷς οὐ πεπολίτευτο παρακοή, ὑπερηφανία, ἀντιλογία, παῤῥησία, ὕβρις, ταραχή, ἣν δὲ εἰρηνικὴ καὶ ἀγγελική τις κατάστασις, ταῖς ἄκραις τοῦ πνεύματος γαληνιῶσα. οἴδατε, ἃ λέγω, ὅτι ἀληθῆ καὶ ἀγαθά· εἰ δὲ ἀγαθά, καὶ ἐφετά· εἰ δὲ ἐφετά, τί καὶ ἡμεῖς μὴ ληψώμεθα αὐτά; τί μὴ ἀγαπήσωμεν; τί μὴ κραταιῶς ἀντισχῶμεν; καὶ διατί ἵνα φανῶμεν ἀλλότριοι ὧν μακαρίζομεν καὶ ὧν θαυμάζομεν; τοῦτο γὰρ οὐ τῶν φρονίμων, ἀλλὰ τῶν ἠλιθίων, μᾶλλον δὲ τῶν ἀλογωτάτων. τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; ἀποκρίθητέ μοι εὖ πάντες. τίς φυλάσσων τὰς ἐντολὰς τοῦ κυρίου; ἀποσιωπησάτω μηδείς. εἰ οὕτως ἐσμέν, μακάριοι· εἰ οὕτως τελέσωμεν τὸν ἀγῶνα, πανάγιοι, καὶ εἴη ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συνεργίᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν στηρίζουσα καὶ ὁδηγοῦσα καὶ κατευθύνουσα ὑμᾶς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἐξῆς εἰς πᾶν ἔργον ἀγαθὸν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΑ'.

Ὅτι ταχεῖα καὶ ἀνάντης ἡ ἀρετή, ἡ δὲ κακία εὔληπτος καὶ κατωφερής, καὶ διὰ τοῦτο προθυμητέον καὶ ἀγωνιστέον ἀνιέναι ἡμᾶς ἐπ' αὐτὸ τὸ ἀκρότατον τῆς ἀρετῆς, ὡς ἂν τύχοιμεν τῆς ἀιδίου λήξεως.

Ἀδελφοὶ καὶ πατέρες, ἐκ τοῦ λέγειν ἐστὶ τὸ ποιεῖν, καὶ ἐκ τοῦ ζητεῖν προέρχεται τὸ εὑρίσκειν· ὥστε, ὁσάκις ἂν κατηχῶμεν, οὐκ ἀνόνητος ὁ λόγος. ἀλλὰ τοῦτό ἐστι κατανοήσαντας θαυμάσαι, ὅτι ἐπὶ μὲν τῆς κακίας ἅπαξ τις ἢ δεύτερον εἰπὼν τὰ αἴσχιστα καὶ πονηρὰ εὐθὺς θέλγει ἑαυτόν τε καὶ τοὺς

14 κῶδ. *τελοῦμεν*. 17 κῶδ. *ὑμῶν*. 18 κῶδ. *ὑμᾶς*. 39/40 Λουκᾶ ις', 10.

6 κῶδ. *ὑπεριφανία*. 14/15 κῶδ. *θαυμάζωμν*. 16 κῶδ. *ἠληθίων*.

ἀκούοντας πρὸς τὰς ἀθεμίτους πράξεις, καὶ σχεδὸν ἐν μιᾷ καιροῦ ῥοπῇ ἐν ἕξει τῆς ἁμαρτίας καθίστησι τοὺς ἀλόντας· ἐπὶ δὲ τῆς ἀρετῆς καὶ μυρία τις φράσας σωτήρια μόλις ἂν δυνηθείη ἑλκύσαι ψυχὴν εἰς συγκατάθεσιν θεοσεβείας. οὕτω τοιγαροῦν δυσπόριστόν τι πρᾶγμα τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ ὁδός τις ἀνάντης καὶ τραχεῖα, ἐξ ἀντιπαραθέσεως δὲ τὸ κακὸν εὔληπτον καὶ κατωφερὲς λίαν. καὶ ἐννόει μοι τὴν ὁδὸν τὸ πρὸς οὐρανὸν ἀπὸ γῆς διάστημα εἶναι. πόσου οὖν κόπου χρεία καὶ πόσης δυσχερείας πρᾶγμα ἀνιέναι ἡμᾶς ἐπ' αὐτὸ τὸ ἀκρότατον; καὶ πόσης εὐχερείας κατιέναι ἡμᾶς ἕως αὐτῶν τῶν κατωτάτων τῆς γῆς; διὰ τοῦτο ἐπιμελητέον, χειραγωγητέον, προθυμητέον ἐν ἀλλήλοις καὶ πρὸς ἀλλήλους, λέγουσι καὶ προσφθεγγομένοις οὐδὲν τῶν ἐπιγείων καὶ χαμαιζήλων, ἀλλὰ περὶ τῶν οὐρανίων καὶ ἀιδίων, εἴπερ ἀναβαίνειν ἐφιέμεθα, ἀλλὰ μὴ καταβαίνειν· τοῖς γὰρ λόγοις ἑπόμενόν ἐστι ψυχὴν κατακολουθεῖν, καὶ ὥσπερ τῷ ἀνυψουμένῳ σκότωσιν ἐμποιεῖ τὸ προσβλέπειν κάτω, οὕτω καὶ τοῖς ἐν ἀρετῇ τὸ πρὸς τὰ ἡδέα τοῦ βίου ἐπιστρέφειν τὸ τῆς ψυχῆς ὄμμα· ἀλλ' ἄνω θεωρεῖν ἀεὶ εὐαγὲς καὶ λυσιτελές, ὅπου ἡ κεφαλὴ ἡμῶν, ὁ Χριστός, ὅπου ὁ θησαυρὸς ἡμῶν, ἡ ζωὴ ἡ αἰώνιος.

Μηδαμῶς τοιγαροῦν, ὦ ἀδελφοί, λοιπὸν ἐξατονήσωμεν ἀνερχόμενοι, μηδὲ ἀποκάμωμεν πρὸς τὸ ὕψος ἀτενίζοντες· οὐ γὰρ ἐκ δυνάμεως ἡμῶν τὸ φθάσαι, ἀλλ' ἐκ θεοῦ βοηθείας καὶ ἀντιλήψεως, καὶ ἰδοὺ ἀνήχθημεν καὶ προεκόψαμεν καὶ ἐσμὲν ἕκαστος κατὰ τὸ ποσὸν τῆς προθυμίας αὐτοῦ ἐν τῷδε καὶ ἐν τῷδε τῷ τῆς ἀρετῆς τόπῳ· διαφέρομεν γὰρ ἀλλήλων πλέον τῆς κατὰ τὸ σῶμα εἰδέας ἐν ταῖς τῆς ψυχῆς διαθέσεσι, καὶ ἄλλος ἄλλου θερμότερον ἀσπάζεται, τὴν ταπείνωσιν, τὴν ὑπακοήν· καὶ ὁ μὲν προΰχει ἐν τῷ χαρίσματι τῆς πρὸς τὸν πλησίον ἀγάπης, ἕτερος ἐν τῇ τῆς φροντίδος τῶν πλειόνων ἐπιμελείᾳ, εἴτε κατὰ τὴν ἐπιστημοναρχικὴν διακονίαν, εἴτε κατὰ τὴν τῶν ἔργων ἐπιστασίαν, εἴτε κατὰ τὴν τῶν χρειῶν διανομήν, οἰκονόμου λέγω, κελλαρίτου, ἀριστηταρίου, ὑποδηματορράφου, βεστιαρίου, ἄλλου τινὸς τῶν ὄντων· πάντες γὰρ τὴν ὁδὸν κυρίου πορεύονται καὶ πᾶσι τοὺς τῆς ἀφθαρσίας στεφάνους αὐτὸς προευτρεπίζεται, μόνον ἵνα μικρὸν ἐνέγκωμεν, μικρὸν ὑπομείνωμεν τοὺς κόπους, τοὺς ἱδρῶτας, τὴν ἐπαγωγὴν τῆς ἐργασίας, τῆς ἀγρυπνίας, τῆς νηστείας, τῆς ψαλμῳδίας, τὸ ψῦχος, τὸν ὑπωπιασμὸν τῆς ἐκ τῶν ἐνδυμάτων ἐλαφρότητος, ἢ τραχύτητος, ἢ ἀχρειότητος· οὐ γὰρ ἀνεκτῶς φέρω ἐν τούτοις, ἀδελφοί μου—μάρτυς κύριος—, ἀλλὰ συμπιέζομαι καὶ συμφλέγομαι ταῖς ἑκάστου ὀλιγωρίαις, καὶ τὸ ὅσον εἰς δύναμιν ἐπιδίδωμι ἑαυτὸν τὰ τῆς ἀναπαύσεως ὑμῶν ἔχειν. ἀλλ' ὁρᾶτε καὶ αὐτοί, ὅτι ἔργον ἐστὶ τοσούτους ἐνδύεσθαι καὶ ὑποδύεσθαι ἐξ εὐχερείας καὶ ἀναπαύσεως, οὐκ εὐπορίας οὔσης τῶν ἡμῶν, οὔτε τῶν διανεμόντων ἀεὶ ἐπὶ τῆς αὐτῆς καταστάσεως ὑπαρχόντων. πλὴν συνεθέμεθα καὶ πεινᾶσαι καὶ διψῆσαι, γυμνητεῦσαι καὶ πτωχεῦσαι ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ, ὑπὲρ ἧς καὶ ὁ θεῖος ἀπόστολος "ἐν λιμῷ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι" καὶ τοῖς ἄλλοις ἀθλήμασι φαίνεται διαζήσας. οὐ μὴν ἀλλὰ καὶ πάντες οἱ ἅγιοι· "περιῆλθον γάρ", φησίν, "ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς".

Εἰ οὖν οὕτως οὗτοι, πῶς ἡμεῖς ἄλλως βιοῦντες, ἄλλως αἱρούμενοι ζῆν, τῆς αὐτῆς ἐκείνοις ἀξιωθῶμεν τιμῆς; οὐδαμῶς. ἀλλ' εἴπερ τις βλέπει ἑαυτὸν ἔν τινι τῶν ἀπηριθμημένων ἀρετῶν, χαιρέτω ὅτι κατελήφθη εἰς μέτρον ἁγίου ῥιγῶν τυχόν, ἢ πεινῶν, ἢ διψῶν, ἢ ὀνειδιζόμενος, ἢ καταφρονούμενος· ἴσως δὲ ἄρα οὐδὲ ἄξιος ὁ τοιοῦτος τῆς ὁμοίας τοῦ οἰκείου ἀδελφοῦ ποιήσεως, ἢ διὰ ζωὴν προϋπάρξασαν ἀδροτέραν, ἢ διὰ ἕξιν στερεωτέραν, ἢ καὶ ὅτι ἁμαρτημάτων ἕνεκεν προγεγενημένων ἢ πα-

21/22 κῶδ. *ψυχεῖν*.

10 κῶδ. *ὑποπιασμόν*. 25 Κορινθ. 2, ια', 27. 28/31 Ἑβρ. ια', 37, 38.

ρόντων χρεώστης ἐστί. καὶ οὕτω σκοπεῖν δεῖ ἕκαστον καὶ πάντα εὐχαρίστως δέχεσθαι τὰ ἐκ θεοῦ διὰ τῶν προεχόντων διδόμενα, μηδαμῶς γινομένου γογγυσμοῦ ἢ καταλαλιᾶς πρὸς τὸν δεδωκότα, ἢ μόνον ὑπομνήσεως προσηνοῦς καὶ εὐλαβοῦς, ἡνίκα καλεῖ ἡ χρεία. καὶ εἰ ταῦτα ποιοῦντες ἐπιμείνωμεν, μακάριοί ἐσμεν, ἀδελφοί, καὶ τῆς ἐκεῖσε ἀναπαύσεως ἐπιτευξόμεθα, ἔνθα οὐκ ἔστι πόνος καὶ κόπος, λύπη καὶ ἀδολεσχία, ἀλλὰ πάντα χαρά, ἀγαλλίασις, θυμηδία, εὐθυμία εἰς ἀτελευτήτους αἰῶνας ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΒ'.

Περὶ ἐπιμελείας τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ καὶ τῆς ἀποδράσεως τῶν ἀδελφῶν ἡμῶν, καὶ ἀσφαλείας τοῦ κατὰ θεὸν βίου ἡμῶν.

Ἀδελφοί μου καὶ πατέρες, μὴ δύναται ἠρεμεῖν ὁ κυβερνήτης, ἐφ' ὅσον πλεῖ ἐν τῇ θαλάσσῃ πηδαλιουχῶν τὴν ναῦν κατὰ τὰς πνοὰς τῶν ἀνέμων, ἢ ὁ ποιμὴν ὁ καλός, ἡνίκα θηρίων αἰσθάνεται ἐπιστασίαν, πρὸς ἁρπαγὴν τῶν προβάτων; οὐδαμῶς· ἀλλ' ἀμφότεροι νήφουσί τε καὶ φροντίζουσι, τρέχουσί τε καὶ διώκουσιν, ἀγρυπνοῦσί τε καὶ σκοποῦσι, περιθέουσιν ὧδε κἀκεῖσε, πρὸς τὸ καὶ τὴν ναῦν ἀπὸ τρικυμίας λυτρώσασθαι καὶ τὸ ποίμνιον ἀπὸ διαρπαγῆς. οὕτω τοίνυν ὅ τε ψυχῶν προστάτης καὶ ὁ τῶν λογικῶν προβάτων ἐπιστάτης διαγωνίζεται· καὶ πολλῷ γε πλέον καὶ μειζόνων ἡ ἀρχή, καὶ περὶ μειζόνων ὁ κίνδυνος καὶ ἡ σωτηρία. διὰ τοῦτο κἀγὼ ὁ ταπεινὸς δεδιῶ, τρέμω, στένω καὶ ποτνιῶμαι ὁρῶν τὴν ἐμαυτοῦ ἀναξιότητα καὶ τοῦ ἀξιώματος τὸ μέγεθος, τήν τε δυσχέρειαν τῆς προστασίας καὶ τὸ δυσπόριστον τοῦ πράγματος· τῷ ὄντι γὰρ ἔργον ἐστὶν ἄρχειν ψυχῶν καὶ καθηγεῖσθαι λαοῦ τοσούτου, ἐφ' ὧν ὅσα τὰ συμπίπτοντα καὶ παριστάμενα ἀορά̣τως τε καὶ ὁρωμένως ἐν ἑκάστῃ ἡμέρᾳ, ἴστε καὶ ἡμῶν μὴ λεγόντων· οὐχὶ γὰρ καθάπερ ἐν θαλάσσῃ κλύδων τις διεγειρόμενος, ἢ καταιγὶς διαπνέουσα, ἔστιν ὁρᾶν ἐν τῷ κοινοβίῳ, ὁπόταν τὰ τῆς πονηρίας πνεύματα εἰσπνέοντα διεγείρωσιν ἀταξίας ἐν μέσῳ τῆς ἀδελφότητος διὰ τῶν ἀφρονεστέρων καὶ ἀμελεστέρων καὶ ῥᾳθυμοτέρων· ἢ πάλιν ὡς ἐπὶ θηρίων ἀγρίων εἰσπηδόντων ἐν μέσῳ τῆς ποίμνης καὶ διαρπαζόντων πρόβατα, ὁπηνίκα ἀποστατήσῃ εἷς ἢ δύο ἀδελφοί, ὥσπερ γέγονε πρὸ τριῶν ἡμερῶν ἐπὶ τοῦ ἐλεεινοῦ Σίλα καὶ Προκοπίου· καὶ εἴθε ὑπὸ θηρῶν αὐτοὺς σαρκοφάγων ἦν διαρπαγῆναι, ἀλλὰ μὴ ὑπὸ τοῦ ψυχοφθόρου δαίμονος τοῦ λαβόντος αὐτοὺς ἐκ μέσου ἡμῶν καὶ κατεσθίοντος νοητῶς ἐν τῇ πλάνῃ τῆς ὁδοῦ αὐτῶν καὶ ἐν τῇ ἐνεργίᾳ τῶν παθῶν αὐτῶν! ἀπεπλάνησεν αὐτοὺς καὶ ἀφήρπασε τὸ πρότερον, καὶ οὐκ ἐδυσώπησεν αὐτοὺς ἡ τοῦ θεοῦ φιλανθρωπία, πρὸς στηριγμὸν ὑποστρέψασα καὶ πάλιν εἰσαγαγοῦσα ἐν τῇ μάνδρᾳ αὐτῶν.

Ἀλλ' ἤδη αὖθις ἀπελάκτισαν, ηὐθαδίασαν, διερρᾴγησαν, κεκλοφότες μετὰ τῶν ψυχῶν τὰ σκεπάσματα καὶ ἐνδύματα, ἐκεῖνο, εἰ καὶ τολμηρὸν εἰπεῖν, τοῖς ἔργοις πρὸς τὸν θεὸν ἀποφθεγξάμενοι· "ὁδούς σου εἰδέναι οὐ βουλόμεθα"· ἤ, ὡς μὴ ὄντως θεοῦ τοῦ τὰς ὁμολογίας εἰσδεξαμένου καὶ κρίνειν μέλλοντος τὰ σύμπαντα, κατὰ τὸ "εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι θεός". οὕτω πεπράχασιν, οὕτως ἀπεπήδησαν τῆς ἀδελφότητος, οὕτως ἔθεντο ὑπὸ πόδας τὰς θείας συνθήκας, οὕτως ἀπηρνήσαντο πάντα τὰ συμπεφωνημένα ἐπὶ τοῦ φοβεροῦ βήματος αὐτοῦ, τοῦ μέχρις αἵματός τε καὶ θανάτου ὑπομεῖναι, ὑποστῆναι, ἔργῳ καὶ λόγῳ πάντα καταδέξασθαι καὶ —οὐαί, οὐαί—πῶς οὐ μὴ θρηνήσω ὁ τάλας; πῶς οὐ μὴ πενθήσω ὁ κακὸς ποιμήν; πῶς οὐ μὴ σχετλιάσω ἐπὶ τῇ συμφορᾷ αὐτῶν, ἐπὶ τῷ πτώματι αὐτῶν; πρόβατον ἄλογον ὁ ἀπόλλων λυπεῖται καὶ ἀθυμεῖ καὶ καταδύεται, καὶ πῶς ἐγὼ ἀπαθῶς ἐνέγκω ὁ ἐλεει-

---

22 κῶδ. *ναῦ*. οὕτω καὶ κατόπιν.

12 κῶδ· *εἴθοις*. 27 Ἰωβ κα', 14. 30/31 Ψαλμ. ιγ', 1.

νὸς ἐπὶ τοῖς ἀπολωλόσιν; ἀλλὰ τοῦτο μετα τῶν ἁμαρτιῶν μου ἐγένετο αὐτοῖς, καθὼς εἴρηται, ὑπὸ ἀναλγησίας καὶ σκληροκαρδίας καὶ ἀφοβίας καὶ καταφρονήσεως θεοῦ· ἦ γὰρ ἂν ἔψαλλον ἐκεῖνο· "ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου", συνεπᾴδοντες ἄλλο· "τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, τοῦ τε πατρὸς καὶ τοῦ κοινοβίου; θλῖψις ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ μάχαιρα, ἢ κίνδυνος, ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν"; ἀλλὰ πρὸς τὸ μηδὲν τῶν τοιούτων λέγειν ἢ πράττειν ὅλην τὴν ἡμέραν ἐμελέτησαν κακὰ ἐν ἑαυτοῖς καὶ χείλη δόλια κινοῦντες κατεψιθύριζον· ἤργουν καὶ προφασιζόμενοι ὤμνυον, καὶ καταψευδόμενοι οὐ διέλιπον αἰτιῶντες καὶ αἰτιώμενοι καὶ τῇ κατὰ μικρὸν ἀμελείᾳ κατασυρθέντες εἰς τὸ βάραθρον τῆς ἀποστασίας· ὅταν γὰρ ἄρξηταί τις δυσκίνητος πρὸς τὰς ἐργασίας εἶναι καὶ ἀντίλογος πρὸς τὰς ὑπακοὰς καὶ σληρὸς πρὸς τὰς ὑποταγάς, ἀφηνιάζων καὶ γωνιάζων, εὑρίσκων τε ἐκ συνεργείας δαίμονος τόπον καὶ καιρὸν πρὸς τὴν ἀποστασίαν εὔθετον (παρέχει γὰρ ὁ ἄρχων τοῦ κόσμου τούτου τοῖς πειθομένοις αὐτῷ τὰ καταθύμια), τότε εἰς τὴν κατάστασιν ταύτην ἐρχόμενος οὐ μόνον ἑαυτόν, ἀλλὰ καὶ ἀδελφὸν ἕτερον συναποστάτην ἑαυτῷ ἀποδείκνυσιν.

Ὢ βία, βία! τί γίνεται; τί πράττεται; πῶς νικᾷ ὁ δαίμων; πῶς καταισχύνομεν τοὺς φύλακας ἡμῶν, τοὺς ἁγίους ἀγγέλους; πῶς προστιθέμεθα τῇ μερίδι τοῦ ἀντικειμένου, πρὸς ἐντροπὴν τοῦ μεγάλου θεοῦ ἡμῶν, τοῦ καλοῦ ποιμένος, τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν λύτρον διὰ σταυροῦ τε καὶ θανάτου; πῶς ὀψόμεθα τὸ πρόσωπον αὐτοῦ; πῶς οἴσομεν τὴν ὀργὴν αὐτοῦ; οὐδ' ἐξευρεθείη κόλασις, κατὰ τὴν κακίαν ἡμῶν κατ' ἀξίαν κρίνουσα ἡμᾶς, καθόσον ἀπεδοκιμάσαμεν αὐτόν, λαμβάνουσα ἡμᾶς εἰς αἰωνίαν τιμωρίαν, τοὺς δυστήνους, τοὺς κτηνώδεις, τοὺς δυστυχεῖς, τοὺς παγκακίστους. ἄλλοι ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἡμεῖς ὑπὸ τοῦ ἀπαταιῶνος ἁρπαζόμεθα. ἄλλοι μαρτύρων ἔνστασιν ἐπιδείκνυνται καὶ ἡμεῖς ἀρνητῶν πτῶμα ὑποστήκομεν. ἄλλοι ὑψοῦνται εἰς τὸν οὐρανὸν καὶ ἡμεῖς εἰς τὰ κατώτατα τῆς γῆς καταγόμεθα. ἄλλοι ἀναβάσεις ἀρετῶν τίθενται ἐν ταῖς καρδίαις καὶ ἡμεῖς καταβάσεις τεκταινόμεθα ἐν ταῖς ἑαυτῶν ἀπωλείαις. οὐκ ἀνανήψομεν ὀψέποτε; οὐκ αἰσθανθησόμεθα; οὐκ ἐροῦμεν τὸ προφητικὸν ἐκεῖνο, "ἐκαρδίωσας ἡμᾶς, ἐκαρδίωσας"; ναί, παρακαλῶ, ἐπειχθῶμεν, ἐπειχθῶμεν, ἀγωνισώμεθα, δράμωμεν, ὑπὲρ μὲν τῶν ἀπολωλότων εὐχόμενοι τὴν ἐπιστροφήν, φεύγοντες δὲ ἡμεῖς τὰ αἴτια, ἐξ ὧν ἐκεῖνοι ἐπαγιδεύθησαν, ἐνεργοῦντές τε τὰ θεοπρεπῆ καὶ ὅσια, τὴν ἀδιάκριτον ὑπακοήν, τὴν διὰ χειρὸς εὐτονίαν τοῦ ἔργου ἡμῶν, τὴν ἐν ταπεινοφροσύνῃ εὐπείθειαν ἡμῶν, τὸ δι' ἐξαγορεύσεως πάντα φανερὰ ποιεῖν καὶ λέγειν, τὸ εὐθὺς ἐξ ἀρχῆς ὑποβάλλοντι τῷ δαίμονι λογισμοὺς ἀνατρεπτικοὺς ἐπιτιμᾶν καὶ λέγειν "ὕπαγε ὀπίσω μου, Σατανᾶ", εἴτε πρὸς ἐπιθυμίαν ἡδονῆς ὑποβάλλοντι, εἴτε πρὸς ἀποστασίαν ἐρεθίζοντι, εἴτε πρὸς ἀκηδείαν χαυνοῦντι, εἴτε πρὸς ἀνυπομονησίαν σκυλλεύοντι, εἴτε πρὸς ἀπιστίαν ἐνεδρεύοντι· ἵστησι γὰρ ἀεὶ τὰ ἔνεδρα, τὰς παγίδας, τὰ θήρατρα, τοὺς λόχους· ἐπιδίδωσι τὰ γευστρία, τὰ λεγόμενα ληκύθια· οὐ κεκοίμηται, οὐκ ἠσχόληται, οὐκ εἰς τροφήν, οὐκ εἰς ποτόν, οὐκ εἰς ἄλλο τι, ἀλλ' ἓν ἔργον αὐτοῦ, τοῦτο μόνον νύκτωρ τε καὶ μεθ' ἡμέραν, τὸ ἀπολέσαι τὰς ψυχὰς ἡμῶν.

Μία τοίνυν καὶ πρώτη βοήθεια ἡ δι' ἐξαγορεύσεως ἀσφάλεια μετὰ τῆς τοῦ θεοῦ βοηθείας καὶ ἀντιλήψεως. λοιπὸν μὴ ῥαθυμήσωμεν, μηδὲ καταπέσωμεν, εἰ καὶ μέγας ἐστὶ τῇ δυναστείᾳ τῆς ἀνομίας, εἰ καὶ δόλιός ἐστι τοῖς τρόποις τῆς κακίας, εἰ καὶ ἄσωτός ἐστι τῇ φύσει καὶ μονόεργος τῇ ἀπωλείᾳ ἡμῶν. μὴ καταπτοηθῶμεν αὐτόν. ἐξότε Χριστὸς ὁ θεὸς ἡμῶν τὴν σάρκα ἡμῶν ἀνέλαβε καὶ ἠνθρωπίσθη, ἐκεῖνος ἐξενευρί-

5,7 Ψαλμ. λθ', 2. 8 Ῥωμ. η', 35, 36. 13 ὅλην τὴν ἡμέραν κέ] Ψαλμ. λζ', 13.

10/11 Ἄσμα δ', 9. 21 κῶδ. *ἐπιβάλλοντι*· πρβλ. γραμμὴν 24. 22/23 Ματθ. ις', 23. 29 κῶδ. *λικύθια*.

σθη, ἐξευτελίσθη· "τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος" ψάλλομεν· ἔδωκεν ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ ὁ νικήσας αὐτὸν κύριος. πίστει τεθαῤῥηκότες λογιούμεθα αὐτὸν ὡς στρουθίον, ὡς ἑρπετὸν καταπατούμενον ἐν αὐτῷ Χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΓ'.

Ὅτι χρὴ ἀναλογίζεσθαι τί ἐσμεν καὶ πόθεν καὶ τί γεγόναμεν, καὶ ποῦ πάλιν πορευσόμεθα, ὡς ἂν καλῶς βιοτεύσαντες κομισωμεθα τὰς αἰωνίους ἀμοιβάς.

Ἀδελφοὶ καὶ πατέρες, ὁρῶ καὶ σκοπῶ, ὅτι ἑτέρωθεν οὐκ ἔστιν ἡμῖν μέθοδος ὠφελείας, ἢ ἐκ τοῦ ἀνακινεῖν ἡμᾶς τοὺς περὶ τῆς σωτηρίας ἡμῶν λόγους, καὶ τοῦτο σχεδὸν εἰπεῖν κατὰ πᾶσαν ἡμέραν καὶ ὥραν· ἐντεῦθεν γὰρ ἐλεγχομένη ἡμῶν ἡ ψυχὴ καὶ οἷον μαστιζομένη τοῖς ἐλέγχοις ἀποδιδράσκει πως τῆς περὶ τὰ πάθη ἀσχολίας, καὶ ἐξευρίσκει ὁδὸν ἀληθείας καὶ ἁπλανίας. ἀλλὰ θαῦμα, ὄντως θαῦμα, πῶς ἐπὶ μὲν τῆς κακίας καὶ μὴ λαλούντων ἡμῶν, ἀλλὰ κωφευόντων καὶ συστελλομένων ὅσον εἰς δύναμιν, ὅμως διὰ τῆς τοῦ ἀλλοτρίου ἐπιβουλῆς λογιζόμεθα τὰ κακὰ καὶ ἐμπηρώμεθα εἰς τὰς ἡδονάς, ἐπὶ δὲ τῆς ἀρετῆς τοσοῦτον καταπτοίβοντες καὶ κατατηκόμενοι μόλις μικρόν πως ἀνανεύομεν, καὶ τοῦτο κατ' αὐτὴν τὴν ὥραν τῆς ὑπομνήσεως· εἶθ' οὕτως μετὰ τὴν πλήρωσιν τοῦ λόγου ἢ τῆς ὥρας, πολλοῦ γε εἰπεῖν τῆς ἡμέρας, πάλιν ὡς μὴ ἀκηκοότες ἐπιλανθανόμεθα τῶν δογμάτων τῆς εὐσεβείας, καὶ οἷον ἁρπάζει ὁ πονηρὸς τοὺς κακῶς καταβληθέντας λόγους τῆς ὠφελείας καὶ ἀντεισάγει τὰ ζιζάνια τῆς ἁμαρτίας. φεῦ τῆς μοχθηρίας! φεῦ τῆς ἐπὶ τὰ πονηρὰ ἐπιῤῥεπῶς ἐγκειμένης φύσεως ἡμῶν ἐλεεινοτάτης!

Τί δὴ λοιπόν, ὦ ἀδελφοί, φῶμεν πρὸς ταῦτα; ἀλλ' ἢ τὸ ἀεννάως κινεῖν ἡμῶν τὴν γλῶτταν, ἐπανοίγειν ἡμῶν τὰ ὦτα, λαλεῖν τοῦτο καὶ ἐκεῖνο, ἀναλογίζεσθαι τὸ δέον καὶ ἁρμόζον, ὅπως τῇ συνεχείᾳ τοῦ λόγου καταπιαζομένη ἡμῶν ἡ ψυχὴ δυνηθῇ πως τῶν πολυμηχάνων πειρατηρίων τοῦ διαβόλου ἀπολυτρωθῆναι. διὰ τοῦτο καὶ τὸ νῦν ὑπομνησθῶμεν, παρακαλῶ, ἐννοηθῶμεν, ἀναλογισώμεθα, διασκοπήσωμεν, ἐπιθεωρήσωμεν, τί ἐσμεν καὶ διατί ἐσμεν καὶ ποῦ ἐσμεν καὶ ποῦ πάλιν πορευσόμεθα. ἐσμὲν τοιγαροῦν πλάσματα θεοῦ, ἔργον χειρῶν αὐτοῦ, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ κτίσαντος, τὸ κράτος πάντων τῶν ὑπὸ τῶν οὐρανὸν ἔχοντες (πάντα γὰρ ὑποτέτακται ὑπὸ τοὺς πόδας ἡμῶν, ὡς γέγραπται), ἀγγέλων δεύτεροι, ὡς αὐτοὶ τῆς πρώτης φύσεως. διατί δὲ ἐσμέν; ἀλλ' ἢ πρὸς τὸ εἶναι, εἰς δόξαν τοῦ κράτους αὐτοῦ, ἐφαμίλλως τῶν ἀγγέλων, διὰ τῆς κατὰ πάντα φυλακῆς τῶν ἐντολῶν αὐτοῦ· ἠλαττώμεθα γὰρ μικρόν τι παρ' ἀγγέλους, ὡς πάλιν γέγραπται, μᾶλλον δὲ οὐδὲ μικρόν, ὁπηνίκα τὴν φθορὰν ἀποθέμενοι πρὸς τὴν ἀφθαρσίαν χωρήσωμεν. ποῦ δὲ ἐσμέν; ἀλλ' ἢ ἐν τῷ ἐξορίστῳ χωρίῳ, ἐν τῷ σκοτεινοτάτῳ οἰκητηρίῳ, κατὰ τὴν διὰ τοῦ προπάτορος ἡμῶν ἀβουλίαν καὶ παρακοὴν καὶ φιληδονίαν, φθάσασαν εἰς ἡμᾶς τοὺς αὐτοῦ ἐγγόνους· ἐφ' οἷς δέον κλαίειν καὶ πενθεῖν, σκυθρωπάζειν τε καὶ στυγνάζειν, κατὰ μίμησιν τῶν παραυτίκα πεπονθότων παρὰ βασιλέων τὰ ὅμοια, ἀναλογιζομένους ὁπόθεν ἐξεπτώθημεν, ἐξ οἵας εὐπρεποῦς ἐνδιαίτης, ἀγγελικῆς διαγωγῆς, τῆς μακαρίας τοῦ Παραδείσου τρυφῆς, καὶ τὸ πότε κελευσθησόμεθα εἰς ὃν προσεκρούσαμεν δεσπότην ἀγαθὸν παραγενέσθαι, πρὸς τὸ λογοθετηθῆναι κατὰ τὴν ἐν ἐξορίᾳ πολιτείαν καὶ ζωὴν ἡμῶν. ποῦ δὲ πορευσόμεθα; ἀλλ' ἢ εἰς τὸν ἐκεῖθεν κόσμον, εἰς τὸ τρισμακάριστον τῶν ἀγγέλων ἐνδιαίτημα, εἰς τὴν φωτεινὴν χορείαν, εἰς τὴν ἀνέσπερον ζωήν, εἰς τὸ φοβερὸν καὶ παγκόσμιον κριτήριον, ἔνθα ὁ τῶν πάντων κριτὴς καὶ θεὸς καθί-

1/2 Ψαλμ. θ', 7. 3 Λουκᾶ ι', 19. 13 κῶδ. *βιωτεύσαντες*. 30 κῶδ. *κατατικόμενοι*. 38 κῶδ. *ζιζ'νεια*.

14/15 Ψαλμ. η', 7. Κορινθ. 1, ιε', 27. Ἑβρ. β', 8. 20/21 Ἑβρ. β', 9.

σας ἐπὶ θρόνου δόξης ἐν ῥιπῇ ὀφθαλμοῦ κρινεῖ τὰ σύμπαντα, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν φυλάξασι τὰς ἐντολὰς διδοὺς στάσιν δεξιάν, χαρὰν ἀνεκλάλητον, ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν, βασιλείαν οὐρανῶν καὶ ὧν οὐκ ἐφικνεῖται νοῦς ἀνθρώπου ἐμβατεῦσαι, τοῖς δὲ παρακούσασι καὶ διὰ ῥᾳθυμίας καὶ φιληδονίας καὶ ἀναλγησίας ἐνεργήσασι τὰ πονηρά, μοιχείαν, πορνείαν, κλοπήν, φθόνον, φόνον, ἀσέλγειαν, ἀκαθαρσίαν, ἀθέτησιν, ἀποστασίαν, ὑπερηφανίαν, κενοδοξίαν, τὰ λοιπὰ ἕτερα τῆς κακίας εἴδη, ἀπονέμων τὰς αἰωνίους τιμωρίας, τὸ πῦρ τὸ ἐξώτερον, τὸν σκώληκα τὸν ἰοβόλον, τὸ σκότος τὸ ἀφεγγές, τὸν ζόφον, τὸν τάρταρον, τὸ χάσμα, τὸν βρυγμόν, τὸν ὀλολυγμόν, τὸν κοπετόν, ἑκάστῳ κατὰ ἀναλογίαν τῶν οἰκείων ἁμαρτημάτων. καὶ τίς φρονήσας ἐντεῦθεν, τίς καλῶς βιασάμενος τὴν φύσιν, ἐνέγκοι γενναίως, εἰ δέοι καὶ τεθνάναι ὑπὲρ τοῦ καλοῦ, ἵν' ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλάμψῃ ὡς ὁ ἥλιος, γένηται ἐν τῇ μερίδι τῶν ἁγίων, ἐν τῇ χοροστασίᾳ τῶν ἀγγέλων, ἐν τῇ εὐφροσύνῃ τῶν μαρτύρων, ἐν τῇ ἀπολαύσει τῶν προφητῶν καὶ ἀποστόλων; φεῦ δέ, εἰ διὰ τὴν παραυτίκα ἡδονὴν τῆς σαρκός, διὰ τὴν ὀλίγωρον καρδίαν, διὰ τὴν φιλόκοσμον ἕξιν, διὰ βραχέα καὶ βδελυρὰ καὶ οὐδενὸς ἄξια, καταντήσαι εἰς ἐκείνην τὴν ἐλεεινὴν μερίδα τῆς εὐωνύμου στάσεως, εἰς τὴν ὀδυνηρὰν ἀπαγωγήν, εἰς τὴν ἀνεπίστροφον ἐξορίαν, εἰς τὴν ἀπαράλυκτον τιμωρίαν, εἰς τὰ δεσμὰ τὰ ἄλυτα, εἰς τὰ οὐαὶ καὶ οὐαὶ τῷ μέλλοντι ἐμπίπτειν, ὅτι οὐκ ἔστιν ἀνάνευσις, οὐκ ἔστι παλιμβουλία, οὐκ ἔστι φιλανθρωπία, οὐκ ἔστι τροπολογία, οὐ παρὰ θεοῦ, οὐ παρὰ ἀγγέλων, οὐ παρὰ ἁγίων, οὐκ ἐλεῶν, οὐ συγχωρῶν, οὐχ ὑποχαλῶν τὰς τιμωρίας διὰ τὸ ἀπέραντον εἰς αἰῶνας αἰώνων.

Ταῦτα οὖν, τέκνα, πάντες, καὶ οἱ δοκοῦντες εὖ δραμεῖν καὶ οἱ ὀκλάζοντες, καὶ οἱ προθυμούμενοι καὶ οἱ ἀθυμοῦντες, καὶ οἱ προὔχοντες καὶ οἱ δευτερεύοντες, οἱ θερμοὶ καὶ ψυχροί, οἱ πλούσιοι καὶ πένητες τῶν ἀρετῶν, καὶ μὴν πᾶς ἄνθρωπος ἐσωτικὸς καὶ ἐξωτικὸς καὶ πᾶσα φυλὴ καὶ γλῶσσα λογιζέσθω· καὶ φροντίσωμεν, εὖ διαθώμεθα, δράμωμεν, κατεπειχθῶμεν, ἐνεργήσωμεν, ἀπορῥίψωμεν τὰ πάθη ὡς μιάσματα, ἐκτείνωμεν χεῖρας ἡμῶν εἰς θεὸν τὸν σῴζοντα, εὐπροθετήσωμεν τὸ καθ' ἑκάστην ἡμέραν μαρτυρεῖν, τὸ αἷμα κενοῦν, τὰ μέλη τέμνεσθαι, τὰς σάρκας καταξαίνεσθαι, τὰ ὀστᾶ συντετρῖφθαι, οὐχ ὅτι βρώματος στερηθῆναι ἢ πόματος ἡδύτητα, ἱματίου τε ψιλοῦ, ὑποδήματος καλοθέτου, τιμῆς τε καὶ στάσεως καὶ κλήρου, ἄτινα γέλοιόν ἐστι καὶ λέγειν πρὸς τὰ κείμενα, ἵνα καλῶς ἐνταῦθα βιώσαντες, κατὰ λόγον διαζήσαντες, κατὰ τὸ ἐπάγγελμα ἡμῶν τὸ ἅγιον ἀκριβολογησάμενοι τὴν ὑπακοήν, τὴν ταπείνωσιν, τὸ πιστὸν καὶ ἀμετάθετον καὶ ἀνεξάρνητον τῶν ὁμολογιῶν φυλάξαντες, ἐξέλθωμεν τῆσδε τῆς φυλακῆς χαίροντες, ἀπιόντες μετὰ παῤῥησίας, μετὰ ἐλπίδος χρηστῆς, εἰς τὸ κομίσασθαι τὰς παρὰ θεοῦ ὑποσχέσεις, τὰς αἰωνίους ἀμοιβάς· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΔ'.

Ὅτι χρὴ τὸν καθηγούμενον πρὸς τοὺς τὸ στάδιον τῆς μαρτυρικῆς ὑποταγῆς διανύοντας πάντα ποιεῖν καὶ ὁρᾶν, ὅσα εἰς εὐθυμίαν φέρει, ἵνα κατὰ τῶν ἐχθρῶν τὴν νίκην ἀράμενοι στεφάνους αἰωνίους παρὰ τοῦ ἀγωνοθέτου θεοῦ ἀμείψωνται.

Ἀδελφοί μου καὶ πατέρες, τοῖς κατὰ σάρκα τρέχουσιν ἐπίστασθε τίνες εἰσὶν ἀλείφοντες πρὸς τοὺς ἀγῶνας καὶ ὑποδεικνύντες πῶς καὶ ποῦ τοὺς ἀμιλλωμένους δέξοιντο καὶ ἀποστρέψοιντο καὶ τὰ ἄλλα, ὅσα εἰς προθυμίαν ἐνάγει τῆς κατὰ τὴν νίκην ἀποπεραιώσεως. οὕτω τοιγαροῦν ἔξεστι καὶ ἡμῖν τοῖς ταπει-

2 Ῥωμ. β', 6. 29 κῶδ. *καταντῆσαι.* 9 κῶδ. *καταξένεσθαι.* 36 κῶδ. *ἐπίσταται.* 38 κῶδ. *ἀμιλλομένους.*

νοῖς πρὸς ὑμᾶς τοὺς ὄντως πύκτας καὶ ἀθλητὰς τοῦ Χριστοῦ, τοὺς τὸ στάδιον διανύοντας τῆς μαρτυρικῆς ὑποταγῆς, καὶ πάντα λέγειν καὶ ὁρᾶν, ὅσα εἰς παράκλησιν, ὅσα εἰς ἀνδρίαν, ὅσα εἰς εὐθυμίαν, ὅσα εἰς ὑπομονήν, ὅσα εἰς εὐψυχίαν, ὅσα εἰς ἐμπειρίαν φέρει τοῦ καλλίστου ἀγῶνος ἡμῶν, ἵνα κατὰ τῶν ἐχθρῶν ἡμῶν τὴν νίκην ἀπενεγκάμενοι στεφάνους οὐ προσκαίρως ἀλλ' αἰωνίως παρὰ τοῦ ἀγωνοθέτου θεοῦ ἀμειψώμεθα.

Εἴδομεν δέ, εἰ δοκεῖ, πῶς ἐκεῖνοι παρασκευαζονται πρὸς τοὺς ἀγῶνας, ἵν' ἐκ παραδείγματος τὰ καθ' ἡμᾶς σκοπήσωμεν. ἐκεῖνοι τοίνυν, ἐπὰν ἐπιστῇ ὁ καιρὸς τῆς ἀγωνίας, μᾶλλον δὲ καὶ πρὸ τοῦ καιροῦ, οὐχ ὡς ἔτυχε διέρχονται καὶ διατρίβουσιν, ἀλλὰ προγυμνάζονται καὶ προάλλονται, δοκιμάζονταί τε καὶ σημειοῦνται, διαιτῶνται καὶ οἷον ἐξασκοῦσι, διὰ πάσης ἐναγόμενοι καταρτήσεως, ὡς καὶ διατριβὰς τὰς ἐν μέσῳ κωλύεσθαι, καὶ τροφὰς τὰς οὐκ ἐπὶ τοῦτο συντελούσας, ἄλλα τε ὅσα ἐκεῖνοί τε ποιοῦσι καὶ πράττουσιν εἰς τροφὴν τοῦ σώματος καὶ εὐεξίαν μετριωτάτην. καὶ ὁ λόγος δὲ αὐτοῖς, ὥς φασι, νύκτωρ τε καὶ μεθ' ἡμέραν οὐκ ἄλλος, ἢ ὁ τῆς ἀμίλλης αὐτοῖς ἐστι καὶ τοῦ πῶς ἐξελθόντες τῶν ἀφετηριῶν ἵονται καί ποι τράποιντο, ἢ τίς τινα τῶν ἀντιθέτων καταῤῥάξοιεν· καὶ οὕτως οὐ μικρὸν αὐτοῖς τὸ ἀγώνισμα. διατί; ἀλλ' ἵνα διὰ τῆς νίκης κομίσωνται φθαρτοὺς στεφάνους καὶ ἐπικήρους μισθούς, τέρψωσί τε τοὺς θεατὰς καὶ φιλητάς, ἐπ' αἰσχύνῃ τῶν νενικημένων. εἰ τοίνυν οὕτως οὗτοι καὶ πολλὴ πρὸς αὐτοὺς ἡ ἀγωνία καὶ ἡ συζήτησις τῶν τε ἐπιστατούντων καὶ τῶν ἐπὶ μέρους αὐτῶν ῥεπόντων, πόσον οἴεσθε χρῆν ἡμᾶς καὶ ὑμᾶς ἔχειν τὸν ἀγῶνα, τὴν ἐπιμέλειαν, τὴν συζήτησιν, τὴν διερεύνησιν, τὴν περιμερίμνησιν, τὴν ἀγρυπνίαν, τὴν νῆψιν κατὰ τοῦτο, κατ' ἐκεῖνο, πρὸς τόδε κἀκεῖνο; οὐ γὰρ ἄπειρος οὐδὲ ἀμαθὴς οὐδὲ ὀλίγωρος ὁ ἀντίδικος καὶ ἀντίθετος ἡμῶν ἐχθρός, ἀλλ' ἐξ ἐναντίας ἱστάμενος· πολλὴν καὶ αὐτὸς καὶ ἀνεκδιήγητον τὴν καθ' ἡμῶν μελέτην ποιούμενος φαίνεται, ποῦ πλήξῃ, πόθεν ὑπαντήσῃ, πόθεν ἀποκρούσῃ, ὁποτέρως ἐπιῤῥίψῃ, εἰσδύσῃ τὰ βέλη, τὰ ἔνεδρα, σκελίσῃ οἷον καὶ ὠθίσῃ καὶ καταβάλῃ εἰς γῆν τὸν ταπεινὸν μοναχὸν καὶ πύκτην τῆς εὐσεβείας.

Ἆρ' οὖν οὐ μέγας ἡμῖν ὁ ἀγών; οὐ πολλὴ ἡ φροντίς; οὐ πολλὴ ἡ ἐπιμέλεια; οὐκ ἄραῖ ἐστι τὰς χεῖρας εἰς οὐρανὸν καὶ εἰπεῖν "ἔπιδε, κύριε, ἐξ ἁγίου κατοικητηρίου σου; ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς"; πολλῆς ἡμῖν χρεία καὶ ἀπαύστου τῆς ἐπὶ τοῦτο μελέτης καὶ τύρβης, καὶ οὐ πούποτε ἀλλ' ἢ ἔχειν τὸν σκοπὸν καὶ τὸν λογισμὸν ⟨ἢ⟩ ἐν τούτῳ· καὶ οὕτω μετὰ ταπεινώσεως καὶ συντριβῆς καρδίας, καὶ τοῦτο μετ' ἐλπίδος καὶ εὐανδρείας ψυχῆς, καὶ τοῦτο μετὰ πίστεως εἰλικρινοῦς καὶ ὑπακοῆς δεδοκιμασμένης, ὡς ἐντεῦθεν τὸν ἐχθρὸν ὁρῶντα δειλαίνεσθαι καὶ ἀποτρέπεσθαι. οὐκ ἀφίησι κύριος τὸν τῆς ἀρετῆς ἀγωνιστὴν ὀλιγωρῆσαι πώποτε, εἴπερ ἀρωγὸν αὐτὸν ἐπικαλεῖται ἔχειν· "ἐπ' αὐτῷ γὰρ ἤλπισεν ἡ καρδία μου καὶ ἐβοηθήθην καὶ ἀνέθαλεν ἡ σάρξ μου"· καὶ αὐτοῦ ἐπικουροῦντος, τίς ὁ ἀντιστῆναι δυνάμενος; τίς ὁ καταβαλεῖν ἰσχύων; οὐδαμῶς, ἀλλ' εἰ καὶ ἐπαναστῇ χιλιὰς καὶ μυριὰς ἐχθρῶν, οὐ φοβηθήσεται ὁ τοιοῦτος· τῷ γὰρ ὀνόματι κυρίου ἀμυνεῖ καὶ σκορπιεῖ αὐτούς· εἰ καὶ ὁ δρόμος μακρός (παρατείνει γὰρ τόσα καὶ τόσα ἔτη τυχόν), ἀλλ' οὐδὲ μία ἐκκοπὴ πρὸς τὴν ἐν κυρίῳ βοήθειαν καὶ πρὸς τὴν τῆς νίκης ἀπόλαυσιν. ἐκεῖ αὐθημερὸν τρέχουσι καὶ οἱ νικῶντες στεφανοῦνται, χαίρουσί τε καὶ ἀγάλλονται· καὶ οὐκ ἐπίμονον αὐτοῖς ἐπὶ πολὺ τὸ χαρμόσυνον, ἀλλ' ἕως τινὸς χρόνου καὶ πάλιν ὡς μὴ νενικηκότες εἰσίν. ἀλλ' οὐχὶ ἐπὶ τῶν προκειμένων ἡμῖν ἄθλων· ἄν τε γὰρ καταξιωθῇ τις ἐκνικῆσαι, μακάριος οὗτος καὶ τρισμακάριος καὶ πολυμακάριος, ὅτι ἅπαξ στεφανωθεὶς στεφάνοις ἀφθαρσίας ἀειμενὲς αὐτῷ ἡ χαρὰ καὶ ἡ ἀγαλλίασις καὶ ἡ δόξα καὶ ἡ λαμπρότης ἐναντίον

7/8 κῶδ. *ὑμᾶν.* 11 εἴδομεν = εἴδωμεν. 30 κῶδ. *κομίσονται.*

1/4 κῶδ. *πλήξει, ὑπαντήσει, ἀποκρούσει, ἐπιρρίψει, εἰσδύσει, σκελίσει, ὠθίσει καὶ καταβάλλει.* 2 κῶδ. *ὁπωτέρως.* 9/11 Ψαλμ. οθ', 3. 22/23 Ψαλμ. κζ', 7. 23 κῶδ. *ἀνέθαλλεν.*

οὐ μικροῦ σταδίου καὶ εὐαριθμήτου πλήθους, προσκαίρου τε καὶ διαλυομένου τάχιστα, ἀλλ' ἐπὶ τοῦ μεγάλου δικαστηρίου, ἐν ᾧ τάξις καὶ παράστασις ἀγγελική· ἐφ' ᾧ φόβος καὶ τρόμος ἀνεκδιήγητος, ἀνοιγομένων τῶν πρακτέων τε καὶ ῥητέων, καὶ φωνούσης σάλπιγγος καὶ διηχούσης τὰ σύμπαντα, οὐρανοῦ εἱλισσομένου, γῆς ἀνασειομένης, ἄστρων πιπτόντων, ἡλίου σκοτιζομένου, σελήνης ἀμαυρουμένης, πάντων τῶν στοιχείων ἀλλοιουμένων, ποταμοῦ πυρὸς διερχομένου καὶ ῥοιζηδὸν ἀναπαφλάζοντος, σκωλήκων ἰοβόλων ἀναβρυόντων καὶ ἑλεῖν ἐφιεμένων σάρκας ἁμαρτωλῶν, χασμάτων ὑποδεικνυμένων ζοφωδεστάτων καὶ συντεθλιμμένων, εἰς ὑποδοχὴν τῶν καταδίκων, δεσμῶν εὐτρεπιζομένων εἰς παράλυσιν νεύρων καὶ ὀστῶν καὶ μυελῶν. καὶ τί δεῖ καταλέγειν, ὅσα λυπηρὰ τοῖς ἁμαρτωλοῖς, τοῖς δὲ δικαίοις περιχαρῆ τε καὶ εὐφρόσυνα;

Οὐαί, οὐαὶ τότε ὄντως τῷ ἠττημένῳ, ὅτι ὑπὸ τῶν ἀγγελικῶν δήμων κατεμπτυσθήσεται καὶ καθυβρισθήσεται, ἑστὼς σκυθρωπὸς καὶ κατηφὴς καὶ κάτω νενευκὼς καὶ μηδὲ τὸ ὄμμα ἆραι δυνάμενος, διὰ τὴν ἀφροσύνην καὶ τὴν ἀβουλίαν· εἶτα δέσμιος καὶ κατατυπτόμενος καὶ παραδιδόμενος ἀποτόμοις ἀγγέλοις ἅμα τοῖς ἀπατήσασιν αὐτὸν δαίμοσιν ἀπαχθήσεται εἰς ὄλεθρον τῆς κακῶς πραξάσης σαρκός, εἰς καῦσιν τῆς δεινῶς ὑπακουσάσης ψυχῆς, τέλος καὶ ἐν ᾧ ἐμβληθήσεται κολάσεως μὴ ἐχούσης. τί ὁ τοιοῦτος ὠφελήθη, ἵνα μέχρι τῆς συντελείας ἔζησε καὶ τὰ πάντων ἀνθρώπων ἐπιθυμητὰ ἔπραξεν, ἀπολαύσας ἐν ἡδοναῖς καὶ ἀπάταις τὰ πάντων ἀνθρώπων; ὄντως ἐζημιώθη ζημίαν πονηράν· ὄντως ἠπατήθη ἀπάτην ἐλεεινήν· ὄντως ἔλαβεν ὀβολὸν καὶ ἀπώλεσεν ἀναρίθμητα τάλαντα χρυσίου· ὄντως ἐπίπρασε τὰ αὐτοῦ ἐν μιᾷ δραχμῇ χαλκῇ καὶ ἀντωνήσατο τὰς ἀϊδίους κολάσεις· ὄντως μιᾶς ἡμέρας, μᾶλλον δ' οὐ μιᾶς ὥρας, προέκρινεν ἀπόλαυσιν, ζημιωθεὶς τὴν ἀπέραντον βασιλείαν, ἐλεεινὸς ἐλεεινὰ πεπραχώς, δύστηνος δύστηνα ἐργασμένος! εἴθε τοῖς ἀλόγοις κατεκρίθη, ἢ λογικὸς ὢν ὑποστῆναι τὰς ἀπληρώτους τιμωρίας! ἀλλὰ δεῦρο θέα μοι τὸν ἀγωνιστὴν Χριστοῦ, τὸν καλῶς φρονήσαντα, τὸν πάντα ἀπεμπολήσαντα τὰ ἑαυτοῦ θελήματα καὶ ἐπιθυμήματα καὶ τὸν μαργαρίτην Χριστὸν μόνον κτησάμενον· τὸν μὴ πλανηθέντα ἐν τοῖς παροῦσιν ἡδέσιν ὑπὸ τοῦ πλάνου, ἀλλ' ὡς πλάνον λογισθέντα, ἀποστολικῶς εἰπεῖν, καὶ ἀληθῆ· τὸν μὴ δουλώσαντα ἑαυτὸν τοῖς πάθεσιν, ἀλλ' ἀδούλωτον τὴν ψυχὴν ἀπὸ παθῶν διαφυλάξαντα καὶ δοῦλον ἐπιθυμήσαντα μόνον ἀκοῦσαι τοῦ κυρίου· τὸν μὴ δελεασθέντα, κατὰ μίμησιν τῶν πολλῶν, μᾶλλον δὲ γελάσαντα καὶ καταγελάσαντα τὸν κόσμον καὶ τὰ τοῦ κόσμου καὶ τοὺς ὑπ' αὐτοῦ ἐμπαιζομένους καὶ ὡς καλοῖς καὶ ἐφετοῖς καὶ ἐπικερδέσι τοῖς κακοῖς καὶ πονηροῖς καὶ ἐπιβλαβέσι προστιθεμένους· τὸν ἐγκρατῆ γενόμενον καὶ περιελόντα τὰς τῆς σαρκὸς ἡδονὰς καὶ ἀγαπήσαντα τὴν παρθενίαν καὶ τὴν ἀκτημοσύνην, τὴν προσευχήν τε καὶ τὰ ἄλλα ὅσια ἐν τῷ μίσει τῆς ἁμαρτίας καὶ ἀνομίας. οὗτος ἐφρόνησε καλῶς· οὗτος, ἵνα τὴν πᾶσαν εὐδαιμονίαν τοῦ κόσμου τῶν πάντων ἀνθρώπων ἔχων καὶ ἀπορρίψας καὶ ἀποταξάμενος διὰ θεόν, οὐδὲν ἂν μέγα πεποιήκει, ἀλλ' ὡς ἕνα ὀβολὸν ἢ ὡς πενιχρὰν δόξαν καὶ ἐφήμερον πρὸς θησαυροὺς ἀνεκλείπτους καὶ τιμὴν ἀπέραντον καταλλαγὴν ἐποιήσατο. καὶ ὅρα μοι αὐτὸν ἐκεῖθεν, πῶς εὐφρανθήσεται, πῶς κατατρυφήσει, πῶς εὐλογήσει τὴν καλὴν αὐτοῦ συμβουλήν, τοὺς χρηστοὺς αὐτοῦ συμβούλους, τοὺς δεξιοὺς αὐτοῦ συμποριστάς· καὶ ἵνα μὴ εἰς μῆκος ἐκτείνωμεν τὸν λόγον, τοῦ μὲν οὐκ ἔστι τέλος τῆς εὐφροσύνης ἐν ἀπορρήτῳ καὶ λόγῳ, τῷ δὲ ἔμπαλιν οὐκ ἔστι πέρας τῆς λύπης καὶ τῆς ὀδύνης καὶ κολάσεως ἐν ἀφορήτῳ τρόπῳ καὶ λόγῳ.

Τοίνυν, ἵνα λίθινοι ἦμεν, αἴσθησιν ὠφείλομεν λαβεῖν καὶ ἐπαινέσαι ἔργον ὃ εἰργα-

1 κῶδ. *εὐαρηθμήτου*. 5 κῶδ. *πρακταίων*. 6 κῶδ. *ῥηταίων* || φων. σάλπιγγος] Ματθ. κδ', 31. 7 οὐρ. εἰλισσομένου] Ἀποκαλ. ς', 14. 8/10 Μάρκ. ιγ', 24, 25. Ἀποκαλ. ς', 12, 13. 38 ἐπίπρασε] οὕτως ἐν τῷ κώδικι.

1 ἐργασμένος] οὕτως ἐν τῷ κώδικι. 7 μαργαρίτην] Ματθ. ιγ', 46. 10 ὡς πλάνον καὶ ἀληθῆ] Κορινθ. 2, ς', 8. 17 κῶδ. *αὐτὸν*. 20 κῶδ. *προστιθεμένοις*.

σάμεθα μέγιστον καὶ μακάριον, φυγόντες τὸν κόσμον καὶ μονάσαντες καὶ τὸν δι' ἁγνείας ἐξασκοῦντες βίον. τί τὸ λειπόμενον; ἵνα δρόμον ἐπὶ δρόμῳ καὶ εὐτονίαν ἐπὶ εὐτονίᾳ καὶ προθυμίαν ἐπὶ προθυμίᾳ δεξάμενοι καὶ οἷον ἀναπτερωθέντες καὶ ἀναζέσαντες τὰς καρδίας πετάσωμεν πρὸς θεὸν δι' ἀρετῆς, ἐν μηδενὶ διδόντες χώραν τῷ διαβόλῳ εἰς τὸ ὀπωσοῦν κρατεῖσθαι ἡμᾶς. ἐῤῥέτωσαν λοιπὸν φιλοδοξίαι, φευγέτωσαν παρακοαί, ἀποδιδρασκέτωσαν γογγυσμοί, ψιθυρισμοί, παῤῥησίαι, φατρίαι, πολυλογίαι, ὀκνηρίαι, γλωσσομαχίαι, φθόνοι, ἔριδες, καταλαλιαί, μίση, πᾶν βδελυρὸν πάθος· παῤῥησιαζέσθω δὲ καὶ ἀναλαμπέτω ἡ ταπεινοφροσύνη, ἡ καλὴ καὶ ἀσπαστὴ καὶ θεοποιός, ἡ ὑπακοὴ ἡ οὐρανόκλητος, ἡ παρθενία ἡ χριστογέννητος, ἡ κατάνυξις ἡ φωτίστρια, ὁ κλαυθμὸς ὁ κεχαριτωμένος, εἴτι ἕτερον τῶν ὁσίων πράξεων· ὧν γένοιτο πάντας ἡμᾶς μετασχόντας κληρονόμους γενέσθαι τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΕ'.

Περὶ τῆς εἰς ἡμᾶς ἀγαπήσεως τοῦ δεσπότου Χριστοῦ, καὶ ὅτι μετὰ πολλοῦ κόπου καὶ ἱδρῶτος κατορθοῖ τις τὴν ἀρετήν, καὶ χρὴ μὴ ὀλιγωρεῖν ἡμᾶς πρὸς τοὺς πόνους, ὡς ἂν τύχοιμεν βασιλείας οὐρανῶν.

Ἀδελφοί μου καὶ πατέρες, πᾶσα μάθησις καὶ τέχνη πρὸς τὸ οἰκεῖον τέλος ἀφορῶσα τοὺς διδασκομένους διανίστησι· καὶ γὰρ ὁ γεωργὸς οὐ πρὸς τὰ παρόντα ἐπαχθῆ καὶ ὀδυνηρὰ τῆς γεωργίας βλέπων ἀθυμεῖ, ἀλλὰ πρὸς τὸν μέλλοντα καρπὸν ἀναδίδοσθαι σκοπῶν προθυμότερον ἀναλαμβάνεται τὰ τῆς γῆς ταλαιπωρήματα· καὶ ὁ πλευστικὸς οὐ πρὸς τοὺς ἐκ τῆς θαλάσσης ἀναῤῥιπιζομένους κινδύνους ὁρῶν τῆς ἐμπορίας ἀπολιμπάνεται, ἀλλὰ πρὸς τὸ μέλλον κέρδος ἀναθεωρῶν κατατολμᾷ πολλῆς ὁδοῦ, κυμάτων τε καὶ πνευμάτων καὶ καταιγίδων. πάλιν ὁ πραγματευτὴς πρὸς μακρὰν ὁδὸν στέλλεσθαι μέλλων οὐ καταπίπτει, οὐκ ἀπορῥᾳθυμεῖ, ἀλλὰ πρὸς τὸ πέρας τοῦ κέρδους κατεπειγόμενος ἐγχειρίζεται τῆς προκειμένης ταλαιπωρίας, καὶ ἁπλῶς εἰπεῖν ἐφ' ἑκάστης μεθόδου τῶν ὑπὸ τὸν οὐρανὸν πᾶν ὅ τι οὖν ἐπιτυγχάνει τις, εἴτε βασιλεύς, εἴτε ἄρχων, εἴτε πλούσιος, εἴτε δυνάστης, εἴτε ἔγγαμος, εἴτε ἄγαμος, μετὰ πόνου καὶ ἱδρῶτος, μετ' ἐπιμελείας καὶ σπουδῆς, μετὰ ἀγρυπνίας καὶ νήψεως, μετὰ βουλῆς καὶ συνδιασκέψεως, μεθ' ὑπομονῆς καὶ μακροθυμίας καὶ τῶν ἄλλων, ὅσα εἰς τὴν προκειμένην θεωρίαν συντείνει. οὕτω τοιγαροῦν καὶ ἐπὶ τῆς τέχνης τῶν τεχνῶν, τῆς καθ' ἡμᾶς λέγω πολιτείας, ἔργον ἐστὶν οὐ τὸ τυχόν, ἀλλὰ πολλοῦ δεόμενον κόπου καὶ πόνου, εἰς τὸ τελεσθῆναι καὶ ἀπαρτισθῆναι· καθὼς γὰρ ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, τὸ διάφορον ταύτης πρὸς ἐκείνας, ὅτι αἱ μὲν ἀπὸ τῆς γῆς καὶ πρὸς τὰ τῆς γῆς καὶ ὁρῶσι καὶ συντελοῦνται, αἱ δὲ ἀπὸ θεοῦ καὶ πρὸς οὐρανὸν ἀφορῶσιν.

Εἰ τοίνυν ἐπ' ἐκείνων ἀγῶνες καὶ πόνοι καὶ ἱδρῶτες, ὡς εἴρηται, πόσον ἐφ' ἡμῖν πλεονάζειν ὀφείλουσι; διὰ τοῦτο "στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν τὴν αἰώνιον". διὰ τοῦτο "τίς ἀναβήσεται εἰς τὸ ὄρος κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ"; ἀπορητικῶς ὁ ἅγιος Δαυὶδ ἀνακέκραγε. καὶ πάλιν ἐν ἐκείνοις "τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω"; διὰ τοῦτο πᾶσαν ἡμέραν σχεδὸν καὶ ὥραν καὶ ἡμεῖς οἱ ταπεινοὶ πρὸς τὴν τούτου συζήτησιν καταγινόμενοι φθεγγόμεθα καὶ ἀκούομεν, βουλευόμεθα καὶ σκεπτόμεθα, ἀγρυπνοῦμεν καὶ φροντίζομεν, καὶ οὔπω εὐμαρῶς εὑρίσκομεν τὸ ζητούμενον, ἀλλὰ κοπιῶμεν ἀσυστροφοῦντες καὶ περιελκόμενοι πανταχόθεν εἰς τὰ πρὸς σωτηρίαν συντείνοντα. πόθεν δὲ ἄλλοθεν, ἢ διὰ τὸν κωλυτὴν

---

8 κῶδ. *ὁποσοῦν*. 34 κῶδ. *διανήστησι*.

28/30 Ματ. ζ', 14. 30/32 Ψαλ. κγ', 3. 33/35 Ψαλμ. νδ', 7. 38 βουλευόμεθα] κῶδ. *βουλόμεθα*.

τῆς σωτηρίας καὶ ἐμποδιστὴν τῆς κατὰ ψυχὴν ὁδοιπορίας διάβολον; ἐκεῖνος γάρ ἐστιν ὁ ἐξ ἡμερῶν αἰῶνος ἕως τοῦ παρόντος κατὰ τοῦ γένους ἡμῶν κινούμενος καὶ διακωλύων ἡμᾶς τῆς πρὸς οὐρανὸν πορείας καὶ τῆς ἐκεῖσε ἀποκειμένης ἡμῶν ἐλπίδος, διὰ τὴν ἀπ' ἐκεῖνον ἐξ ἐπάρσεως ἐνταῦθα καταδίκην αὐτοῦ. ἀλλὰ μηδαμῶς, ὦ ἀδελφοί, ἀθυμήσωμεν, μηδὲ καταπέσωμεν ἐν τῇ τοῦ μακαρίου βίου τούτου δυσχερείᾳ· θεὸν γὰρ ἔχομεν τὸν ἐπίκουρον, τὸν συλλήπτορα, τὸν ἐγείροντα ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψοῦντα πένητα, τὸν περιζωννύντα δύναμιν τῇ ἀσθενείᾳ τῆς φύσεως ἡμῶν καὶ νικῶντα τὸν πειρατὴν ἡμῶν ἐχθρόν. μόνον τὰ τῆς δυνάμεως ἡμῶν ἐπιβαλλόμενοι μὴ παυσώμεθα· μόνον τὸ τῆς προθέσεως ἡμῶν ἐπιδεικνύμενοι μὴ ὀλιγωρήσωμεν. οὐχ οὕτως ἐραστὴς ἐρωμένης ἐπιθυμεῖ; οὐχ οὕτως γονεὺς τὰ οἰκεῖα ἔγγονα φιλεῖ, ὡς ἡμᾶς στέργει καὶ ἀγαπᾷ ὁ δεσπότης τῶν ἁπάντων θεός; θέλγεται ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν, ἐρωτεύεται ἐπὶ τῇ διαγωγῇ ἡμῶν, ἀνοίγει τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν, ὑποδείκνυσι τὸν φωτισμὸν τοῦ κάλλους αὐτοῦ, τὴν ὡραιότητα τῆς ἐπιθυμίας αὐτοῦ· ἀνάγει τὸν νοῦν ἡμῶν δι' ἀγγελικῆς φωταγωγίας ἐπὶ τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς· περιφυλάττει ἀπὸ τῶν ἀοράτων ἐχθρῶν ἐν τῇ σκέπῃ τῶν πτερύγων τῆς προνοίας αὐτοῦ, ὡς ἐπὶ καλιᾶς. τί δεῖ πολλὰ λέγειν; τοσοῦτος καὶ τηλικοῦτός ἐστιν εἰς ἀγάπην καὶ φίλτρον ἡμῶν τῶν ἁμαρτωλῶν, ὥστε τῶν πατρικῶν κόλπων ἐξαναστῆναι, κλῖναί τε τοὺς οὐρανοὺς καὶ κατελθεῖν διὰ ταπεινώσεως πρὸς ἡμᾶς καὶ γενέσθαι ἄνθρωπος· ὁ πάντων κύριος, ὁ τὸ πᾶν λόγῳ συστησάμενος, ὁ δεδοξασμένος καὶ ὑπερύμνητος, βρέφος γενέσθαι κατεδέξατο, ἐξ εὐτελοῦς μητρὸς γεννηθείς τὸ φαινόμενον· ὁ πλουτίζων τὰ σύμπαντα καὶ πέρας τοῦ μυστηρίου τὸν διὰ σταυροῦ θάνατον ἀναδεξάμενος ἐν προλαβοῦσι πολλοῖς μυκτηρισμοῖς καὶ ὀνειδισμοῖς, μαστιγώσεσι καὶ ῥαπισμοῖς, ἀνέστη τριήμερος, ἀφαρπάσας ἡμᾶς ἐκ χειρὸς τοῦ δράκοντος καὶ δοὺς ἡμῖν τὴν κατ' αὐτοῦ δύναμιν καὶ ἰσχύν, εἰς τὸ καταπαίζειν αὐτὸν καὶ καταπατεῖν ὡς στρουθίον καὶ ὄφιν σκολιάζοντα. τίς τοίνυν οὕτως ἠγάπησεν, ἢ πατὴρ υἱόν, ἢ μήτηρ θυγατέρα, ἢ ἀνὴρ γυναῖκα, ἢ φίλος φίλον, ὡς αὐτὸς ὑπὲρ ἡμῶν τῶν φιλουμένων τοιαῦτα δράσας καὶ πεπονθώς; ἀλλ' οὐκ ἂν ἔχοι τις εἰπεῖν καὶ λόγῳ μετρῆσαι τὸ ὑπερβάλλον τῆς ἀγάπης καὶ ἀγαθότητος αὐτοῦ.

Ὁ τοίνυν οὕτως φιλήσας καὶ ὑπὲρ ἡμῶν παθών, μὴ οὐχὶ βοηθὸς ἡμῶν ἐστι πᾶσαν ἡμέραν καὶ ὥραν, ἀντιλήπτωρ καὶ καταφυγή, εἴπερ αὐτὸν μὴ ἀπωσώμεθα ἀφ' ἡμῶν διὰ τῆς τῶν παθῶν ἐνεργείας; διὰ τοῦτο γινώσκοντες δράμωμεν, ἀδελφοί· δράμωμεν, ἐπειχθῶμεν καὶ σπουδάσωμεν, φέροντες πάντα τὰ λυπηρὰ καὶ ἐπαχθῆ, εἴτε ὁρωμένως, εἴτε ἀοράτως ἡμῖν ἐπισυμβαίνοντα· στῶμεν γενναίως πρὸς τὴν πάλην τοῦ ἐχθροῦ· μὴ δῶμεν νῶτα πρὸς τὰ σκάμματα τῆς ὑποταγῆς· μὴ πρὸς τὰ παρόντα σκοποῦντες ἀλγεινά, τὰ δι' ὑπακοῆς καὶ ἐργοχείρων, ψαλμῳδίας τε καὶ ἀγρυπνίας, νηστείας τε καὶ κοπῆς θελημάτων, ἀποπέσοιμεν τῆς ἀνεκλαλήτου χαρᾶς τῶν ἐπὶ τῇ ὁμοίᾳ ζωῇ ἐπιτυχόντων βασιλείας οὐρανῶν. οὐδεὶς ἐκείνων τῶν ὁσίων οὔτε ἐπεζήτησεν, οὔτε ἐξεζήτησεν ἄλλο τι, ἢ τὸ δι' ὑπακοῆς ὁδεύειν καὶ δι' ἐκκοπῆς τοῦ θελήματος ζῆν ἐν κυρίῳ, χαίρειν ἐάσαντες πάντα τὰ κατ' οἰκείαν ἔφεσιν καὶ δόξαν, μαθητεύματα λέγω καὶ σπουδάσματα, τὸ δὴ λεγόμενον ἐργοχειρίδια καὶ καλλιγραφήματα, τροπαρίσματα καὶ μελουργήματα, ἀναγνώσματα καὶ λογοτριβήματα, λογοφορήματα καὶ προτιμήματα καὶ ὅσα τῶν ἀπολλυμένων, ἀλλ' οὐ σῳζομένων ἐστί· τὸ γὰρ ποιεῖν καὶ λέγειν ἐν διακονίᾳ οὐ δι' ἄλλο τι, ἢ δι' αὐτὸ τὸ καλὸν καὶ τὴν τοῦ καθηγουμένου πρόσταξιν ἦν αὐτοῖς. σκοπήσωμεν δὲ καὶ ἡμεῖς, εἰ οὕτως ἐσμέν· καὶ εἰ οὕτως, εὖ ἂν ἔχοι καὶ μακαρία ἡ ὁδὸς ἡμῶν καὶ τρισμακαρία ἡ ζωὴ ἡμῶν. καὶ τί ἄλλο ἐπιζητοῦμεν εἰς δόξαν καὶ ἔπαινον ἐντεῦθεν καὶ

6 ἀπ' ἐκεῖνον] οὕτως ἐν τῷ κώδικι. 11 ἐγείροντα - - ἀνυψοῦντα] Βασιλ. 1, β', 8. 42 κῶδ. *μηκτηρισμοῖς*.

20 κῶδ. *πάλιν*. 42/43 κῶδ. *ὑμῶν*.

ἐν τῷ μέλλοντι αἰῶνι; οὐδὲ γὰρ ἐνταῦθα ἄλλως πως τετίμηταί τις καὶ δεδόξασται, ὡς ἐγὼ σκοπῶ, ἢ ἐκ τῶν τοιούτων ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως, φεῦ τῆς ζημίας, μᾶλλον δὲ τῆς ἀπωλείας, ὅτι πρὸς τὸ μηδὲν ἐνταῦθα κερδαίνειν· ἔτι ἀπόλλυμεν καὶ τὰ αἰώνια ἀγαθά· καὶ εἴθε μόνον τοῦτο (ἦν γὰρ ἂν ἔλαττον κακοῦ κακόν), ἀλλ' ὅτι καὶ πρὸς τιμωρίαν παραδίδωσιν αἰωνίαν τοὺς ἀπολλύντας τὴν ἑαυτῶν καρδίαν διὰ ἀσυνεσίας τῶν ὀφειλόντων ἐπὶ σωτηρίᾳ πράττεσθαι· ὧν μὴ γένοιτο, μήτε παθεῖν, μήτε ἀκοῦσαι ἡμᾶς, ἀλλὰ πάντας τὴν καλλίστην ὁδὸν μεταχειριζομένους πράττειν τὰ θεοφιλῆ καὶ ἐνάρετα καὶ διαζῆν μετὰ εἰρήνης καὶ ἀγάπης, μεθ' ὑπομονῆς καὶ ταπεινώσεως, στέργειν τε πάντα τὰ προστασσόμενα, μηδαμῶς ἀντιλέγειν, μηδὲ ἀφηνιάζειν, μηδέ τι τῶν ἄλλων παθῶν ἐνεργεῖν, ἵνα τούτοις καὶ τοῖς τοιούτοις ἐπερειδόμενοι καὶ ὑφούμενοι καὶ εὐκλεούμενοι φθάσωμεν εἰς μέτρον τελειότητος, εἰς κατάστασιν εὐταξίας, εἰς ἐπαινετὴν πολιτείαν, εἰς παράδειγμα ἀρετῆς τοῖς ἐγγύθεν τε καὶ πόρρωθεν, εἰς ὑπόμνημα ἀγαθὸν τοῖς παροῦσί τε καὶ τοῖς μετέπειτα, εἰς καύχημα ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀχρείου ὑμῶν ποιμένος, εἰς ἐπιτυχίαν βασιλείας οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΣ'.

Ὅτι χρὴ εὐτόνως καὶ εὐσθενῶς δρᾶν ἡμᾶς τὰ συντελοῦντα πρὸς σωτηρίαν ψυχῆς, καὶ περὶ ἀγογγυσίας ἐν ταῖς μεταβολαῖς τῶν διακονιῶν.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ποιμνίου προκοπὴ καὶ αὔξησις τέρψιν εἴωθεν ἐμποιεῖν καὶ ἀγαλλίασιν τῷ ποιμένι, ἡνίκα μάλιστα ὁρᾷ τὰ θρέμματα καλῶς ἀγόμενα καὶ περιαγόμενα, πιαινόμενά τε καὶ λιπαινόμενα καὶ πάσης νόσου καὶ θήρας ἐκτὸς διαμένοντα. τοίνυν καὶ ὑμεῖς τὸ τοῦ Χριστοῦ ἐκλεκτὸν ποίμνιον, ἡ μερὶς ἡ τιμία καὶ ἐξαίρετος, ὁ περιούσιος ὡς ἀληθῶς λαὸς καὶ ἀφιερούμενος, ὑπηνίκα καλῶς ἀναστρέφεσθε ἐν τῷ οἴκῳ τοῦ θεοῦ, ἐν ὁμονοίᾳ πορευόμενοι, εἰς τόπον χλόης πνευματικῆς κατασκηνούμενοι, ἐπὶ ὕδατος ἀναπαύσεως τοῦ τῆς ἀληθείας ζωτικοῦ λόγου ἐκτρεφόμενοι, θεραπεύετέ με τὸν ταλαίπωρον καὶ ἀνάξιον ὑμῶν ποιμένα, καὶ προθυμεῖσθαι ποιεῖτε περὶ τὰς χρηστοτέρας ἐλπίδας ταῖς κατὰ μικρὸν νουθεσίαις, εἰς τὸ κάλλιον μεταποιηθησόμενοι. καὶ γοῦν, παρακαλῶ, ἐπιμείνωμεν τῇ τοιαύτῃ καλλίστῃ διαγωγῇ. τί γὰρ καλλιώτερον καὶ μακαριώτερον τοῦ δουλεύειν θεῷ ζῶντι ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καθαρὰν τὴν ψυχήν τε καὶ τὸ σῶμα διατηρεῖν ἀπὸ πάσης ἁμαρτίας, ἐν ἐπιθυμίᾳ τε γίνεσθαι τῶν μελλόντων ἀγαθῶν καὶ ἀεὶ μεταγίνεσθαι τῇ διαθέσει ἐκ τῶν ἐν κόσμῳ πρὸς τὰ οὐράνια, ὑπ' οὐδενὸς πάθους τὴν ψυχὴν ἐαλωκυῖαν ἔχειν, οἷόν τι πετεινὸν ὑπεραναπτᾶν τῶν παγίδων τοῦ διαβόλου καὶ ὑψιπετοῦν ἐν τοῖς μετεώροις; ὁ τοιοῦτος χαίρει καὶ ἀγάλλεται, ἥδεται καὶ εὐφραίνεται εὐφροσύνην μακαρίαν τινὰ καὶ ἐπέραστον, τοῦ μένοντος αὐτῷ ἤδη ἀγαθοῦ ἀπ' ἐντεῦθεν καρπούμενος τὴν ἀπόλαυσιν. κόπῳ δὲ τὸ ἀγαθὸν κτᾶταί τις τῷ ὄντι, καὶ πολὺς ὁ περὶ τούτου ἀγών, καὶ κατ' οὐδὲν ἄλλο φροντιστέον ἢ περιβλεπτέον τῷ βουλομένῳ περιέσεσθαι· δυσθήρατος γὰρ ὁ τῆς ἀληθείας λόγος καὶ δυσπόριστόν φησι τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει.

Ἐπεὶ τοίνυν ὑμεῖς εἰς τοῦτο ἐξήλθετε ἀπὸ κόσμου καὶ ἐληλύθατε ἐνταῦθα, ἐπεί, εἰ ἕνεκα τούτου ἀπηρνήσασθε κόσμον καὶ τὰ ἐν κόσμῳ, ἐπεί, εἰ χάριν τούτου γεγόνατε ξένοι καὶ παρεπίδημοι πατρίδος, γένους, οἰκείων, ἀλλοιωθέντες τῷ ἰδιώματι καὶ τῷ τρόπῳ παρὰ τοὺς ἐν κόσμῳ, ἐπεὶ πᾶσι φροντίσι καὶ μερίμναις χαίρειν προσείπατε, ὑποδησάμενοι τὸν καλὸν ἀγῶνα, ζητήσατε καὶ ἐκζητήσατε καὶ καταλάβετε, καὶ καταλήψεσθε ὃ ἐπιθυμήσατε—"ὁ γὰρ ζητῶν εὑρήσει καὶ τῷ κρούοντι ἀνοιγήσεται" φησί—, μηδὲν

4/6 εἰς τόπον χλόης - - ἐκτρεφόμενοι] πρβλ. Ψαλμ. κβ', 2. 19 κῶδ. *ἐαλωκεῖαν*. 42 Λουκᾶ ια', 10.

ἄλλο φροντίζοντες, μηδὲ περὶ οὕτινος ἑτέρου καταγινόμενοι. κἂν καταγίνοισθε δοκεῖτε τυχὸν ἐν γεωργίᾳ, ἐν ἀμπελουργίᾳ, ἐν οἰκοδομῇ, ἐν τεκτονικῇ, ἐν κελλαρίῳ, ἐν μαγειρείῳ, ἐν σκυτείῳ, ἐν ἄλλῳ τινὶ φροντίσματι· οὐ γὰρ δι' οἰκεῖον πάθος, ἢ σαρκικὸν καθῆκον, ἢ κατ' οἰκείαν ἐξουσίαν, ἢ ὑπὲρ τῶν κατὰ σάρκα (πατρός, ἢ μητρός, ἢ ἀδελφοῦ, ἢ συγγενοῦς) ὁ σκοπός, ἀλλ' ὑπὲρ τῶν πνευματικῶν ἀδελφῶν καὶ δι' ὑπακοὴν καὶ δι' ἐντολήν, μᾶλλον δὲ τὸ ὅλον διὰ θεόν· αὐτὸς γάρ ἐστιν ὁ δεχόμενος ὥσπερ θυσίας καὶ ὁλοκαυτώματα τὰ ὑπὲρ αὐτοῦ ἐν τοῖς ἀδελφοῖς γινόμενα, φυλαττομένου δηλονότι τοῦ λόγου καὶ ἐν τούτοις τῆς εὐσυνειδήτου ἐργασίας διὰ τῆς ἀνυποκρίτου ὑπακοῆς καὶ ἀγγογγύστου ὑπομονῆς καὶ καρτερίας ἀθλητικῆς. καὶ μακάριοί ἐστε, ἀδελφοί μου, καθὼς πεφρονήκατε καὶ καθὼς ἀπετάξασθε καὶ καθὼς ἐπεθυμήσατε· ἐφρονήσατε γὰρ καὶ ἐπεθυμήσατε τὰ θαυμαστὰ καὶ ἐξαίσια, οὐ πλοῦτον τὸν ῥέοντα, οὐ δόξαν τὴν ἀπανθοῦσαν, οὐ βασιλείαν τὴν ἐν σκιαῖς γραφομένην, οὐκ εὐπάθειαν τὴν κατὰ σάρκα, οὐ συνάφειαν γυναικός, οὐχ αἵματος δόσιν, οὐ σαρκὸς γέννησιν, ἀλλ' ἀρετὴν τὴν παναγεστάτην, ἀλλ' ἀγγελικὸν βίον, ἀλλ' οὐρανῶν κληρονομίαν, ἀλλὰ Παραδείσου ἀπόλαυσιν, ἀλλ' οἴκησιν τῆς ἄνω Ἱερουσαλήμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός· ἀλλὰ τὴν μετὰ Παύλου καὶ Πέτρου καὶ τῶν λοιπῶν ἀποστόλων κατάσχεσιν, ἀλλὰ τὴν μετὰ τῶν ἁγίων μαρτύρων, ὁσίων τε καὶ δικαίων, συναποκλήρωσιν, μᾶλλον δὲ τὴν μετὰ θεοῦ, εἴπερ κληρονόμοι θεοῦ καὶ συγκληρονόμοι Χριστοῦ, δι' ἐπαγγελίας ἔσεσθαι προσδοκῶμεν. εὖγε, εὖγε τῇ ζωῇ ὑμῶν! μήποτε εἴποισαν αἱ καρδίαι ὑμῶν ἄλλο τι κάλλιον βεβουλεῦσθαι ἀνθρώπῳ, ἢ αἱρετώτερόν τι εἶναι ἐν βίῳ. διὸ τρέχετε καλῶς, τονοῦσθε τῷ πνεύματι, σθενοῦσθε τῇ χάριτι, πολλοῖς τρόποις ἐξιχνεύοντες τὰ σωτήρια τῶν ψυχῶν ὑμῶν, καθὼς οὖν ἕκαστος δυνάμεως καὶ χάριτος, ὃ μὲν διὰ τόνου ἐργασίας παρὰ τοὺς πολλούς, ὃ δὲ διὰ ψαλμῳδίας ἱκανῆς ὑπὲρ τῶν ἐγγύθεν, ἄλλος δι' ὑπομονῆς ἐπιμονωτέρας ὑπὲρ τῶν πλησίον, πάντες φέροντες δάκρυα, πάντες πηγάζοντες κατάνυξιν, ὑπακοήν, ταπείνωσιν ἐγκομβούμενοι, πρὸς πάντα εὐκίνητοι, εὐήκοοι, ἀγόγγυστοι, ἀπέρπεροι ἐν ταῖς μεταγωγαῖς τῶν ἔργων, ἐπειδὴ φθάνει καιρὸς καὶ τοὺς ἔσω καθημένους ἐξιέναι πρὸς τὰς ἀμπέλους καὶ πρὸς τὰς χώρας, καὶ ἐπειδὴ πάλιν καιρὸς ἥκει καὶ τοὺς ἔξω εἰσέρχεσθαι ἔσω πρὸς τὰ ῥαφεῖα, πρὸς τὰ ἐργόχειρα. καὶ μηδεὶς λυπείσθω ἐν τούτοις, ἀλλὰ καταδεχέσθω ἕκαστος, εἰ καὶ ἄηθες πρὸς τὸ παρὸν τὸ ἐγκελευόμενον, εἰδὼς τὸ κοινῇ συμφέρον καὶ ὡς οὐκ ἂν ἄλλως δύναιτ' ἂν τὰ πρὸς χρείαν γενέσθαι· ὅπου καὶ τούτων γενομένων στενούμεθα καὶ περιελκόμεθα ἐν ταῖς ἐξόδοις, πολλαῖς οὔσαις, διὰ τῶν ἔξω τε καὶ ἔσω πολυτρόπως παρισταμένων χρειῶν, ὥσπερ οἴδατε. καὶ τοῦτο δῶρον θεοῦ, καὶ τοῦτο σημείου ἔνδειξις μεγίστου, ὅτι ἐπιχορηγῶν ἐστιν ὁ κύριος, οἷς οἶδε τρόποις, ἐν τοσούτῳ πλήθει, μὴ ὄντων τινῶν προσόδων, τὰ δέοντα καὶ αὐτάρκη τῇ ταπεινώσει ἡμῶν. καὶ μάλιστα ἐν αὐτῷ τῷ χρόνῳ, ὅτε ἔδοξαν ἡμᾶς λύειν οἱ ἄνθρωποι, παρ' ἐλπίδα διαμεμενήκαμεν μετὰ τὴν ἀποκατάστασιν, μηδὲν ἐλλειποτές κατὰ τῆς χρείας, ἀλλὰ καὶ ὑπερτερεύσαντες. τοῦτο ἆρα οὐ θαυμαστὸν καὶ εὐχαριστίας ἄξιον, εἴγε προσέχοιμεν; καὶ τίς ταῦτα; ἀλλ' ἡ πρὸς θεὸν ἡμῶν ἀληθὴς πεποίθησις καὶ τὸ πάντα δεύτερα ἡγεῖσθαι ὑπὲρ τῆς εἰς αὐτὸν εὐαρεστήσεως. αὐτὸς τοίνυν ὑμᾶς ἔτι καὶ ἔτι στηρίξειεν, δυναμώσειεν, χαριτώσειεν, ὁλόκληρον ὑμῶν τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τὸ πνεῦμα διαφυλάττων ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

2 κῶδ. *καταγίνοισθαι.*

31 κῶδ. *ὑμᾶν.*

ΚΑΤΗΧΗΣΙΣ ΠΖ΄.

Ὅτι χρὴ τὸν καθηγούμενον τὴν ψυχὴν τιθέναι ὑπὲρ τῶν λογικῶν προβάτων, ὡς ἀποτίσων λόγον περὶ ἑνὸς ἑκάστου ἐν ἡμέρᾳ κρίσεως· καὶ περὶ ἐκκοπῆς τῶν οἰκείων θελημάτων.

Ἀδελφοί μου καὶ πατέρες, πῶς οἴεσθέ μου τὴν ταπεινὴν ψυχὴν διακεῖσθαι ἐν τῇ καθ' ὑμᾶς ἐπιστασίᾳ; δοκεῖτε ἴσως ἐναβρύνεσθαί με ἐν ταύταις ταῖς μικραῖς κατηχήσεσιν, ὡς μέγα τι πράττοντα καὶ ὡς ἀποπληροῦντα τὸν νόμον τῆς προστασίας; οὐδαμῶς· ἀλλ' ἵνα ἐξείπω τὸ ἀληθές, ἔξω γάρ τινα ῥαστώνην εἰπὼν ἐν ὀδύνῃ καὶ περιστάσει καὶ φροντίδι πολλῇ διεξάγω τὴν ταλαίπωρόν μου ζωήν, μὴ ἀρκούμενος ἐφ' οἷς λέγω καὶ διαγγέλλομαι, μηδὲ ἀναπαυόμενος ἐφ' ὅλης τυχὸν μιᾶς ἡμέρας ἢ ὥρας, σκοπῶν ἕνα καθ' ἕνα καὶ ὅλους δι' ὅλου καὶ τὸ πόσον ὀφείλω καὶ ἐφ' ὅσον εἰμί, καὶ ὅσον ὀφείλεται διανυσθῆναι ἔργον ἐφ' ὑμῖν τοῖς ἀγαπητοῖς καὶ τέκνοις τοῦ κυρίου. εἰσίημι τοίνυν καθ' ἑκάστην ἐν μέσῳ ὑμῶν, ὥσπερ ἐπὶ ποίμνης τινὸς ποιμήν· ὁρῶ καὶ κατανοοῦμαι τὴν διέξοδον, τὴν διαγωγήν, τὴν ἀναστροφὴν ὑμῶν, πῶς ἄγεσθε, πῶς φέρεσθε, πῶς καλεῖσθε, πῶς ἀκούετε, ἀπ' αὐτῆς τῆς κινήσεως, ἀπ' αὐτῆς τῆς ἀποκρίσεως, ἀπ' αὐτῆς τῆς ὄψεως. καὶ ἐφ' οἷς μὲν εὑρίσκω τὸ εὐθές, χαίρω καὶ ἥδομαι καὶ ταῖς ἐλπίσιν ἀναπτεροῦμαι· ἐφ' οἷς δὲ τοὐναντίον, συλλυποῦμαι καὶ συμπιάζομαι καὶ στεναγμοῖς παραμυθοῦμαι τὸ πάθος· εἰ γὰρ οὐχὶ καὶ ποιμὴν προβάτων ἀλόγων τοῦτο πάσχων φαίνεται, ἀπ' αὐτοῦ τοῦ προσώπου ὑπολαμβάνων τὰ διὰ βάθους κείμενα καὶ τὴν αὐτοῦ ἐπιδεικνύμενος δύναμιν, πρὸς τὸ θεραπεῦσαι καὶ ἰατρεῦσαι τὸ ἠσθενηκός (καὶ οὐδ' ἂν μίαν ἡμέραν μικρὸν ἀμελήσας ἕξει τὸ ἀκίνδυνον κατὰ τὴν τῶν προβάτων διάλυσιν), πόσῳ γε μᾶλλον ἡμεῖς οἱ ταπεινοὶ ἐκ μικρᾶς εἰκόνος εἰς ὑμᾶς ὀφείλομεν καταγίνεσθαι, τηρεῖν τε καὶ ἐπιτηρεῖν, καὶ τοὺς μὲν ἀνακαλεῖσθαι, τοὺς δὲ ὑπομνήσκειν, ἑτέρους θεραπεύειν, ἄλλους καταδεσμεῖν, πάντα τρόπον ποιεῖν τε καὶ λέγειν, τὸν συντείνοντα εἰς σωτηρίαν; ἆρ' οὖν οὐκ ἀποτίσω τὸν ἑκάστου λόγον ἐν ἡμέρᾳ κρίσεως; καὶ πρὸς ταῦτα τίς ἱκανός; τίς ἀμέριμνος; τίς εὔγλωττος; τίς ἀνεύθυνος; τίς ἀναίτιος; τίς συστατικὸς τοῦ οἰκείου φροντίσματος; τίς δὲ οὐ μᾶλλον θρηνήσει καὶ κόψεται, φοβηθῇ καὶ τρομάξει καὶ οἷον εὔξηται διαστῆναι αὐτῷ τὴν γῆν, ἢ μακράν που ἀποδραμεῖν, φυγόντα τὴν προστασίαν; ἀλλ' οὐδὲ τοῦτο ἱκανόν, ἐφ' ὅσον περίεστιν, ἐφ' ὅσον ἤρξατο, ἡνίκα κατέστη· οὐκ οἶδα, εἰ μὴ πᾶσα ἀπορία. μέγα γὰρ τὸ ἐμφανισθῆναι θεῷ ἄνθρωπον, τὸ κριθῆναι μετὰ τοῦ κριτοῦ τῶν ἁπάντων, τὸ λογοθετηθῆναι περὶ παντὸς τοῦ ποιμνίου, εἰ καλῶς, εἰ δεόντως, εἰ ἀκριβῶς, εἰ ἀνενόχως, εἰ ἁγνῶς, εἰ ἀνελλιπῶς, εἰ ἀνυστάκτως, τοῦτο μὲν πρὸς φανέρωσιν τῶν δικαιωμάτων, τοῦτο δὲ πρὸς ἀπαγωγὴν τῶν κακῶν, πρὸς ἔλεγμόν, πρὸς ἐπιτίμησιν, πρὸς παράκλησιν, πρὸς χρηστότητα, πρὸς ἀποτομίαν, πρὸς πᾶν ὁτιοῦν τῶν ὀφειλόντων ἔπραξεν ἔδρασεν ἐναντίον θεοῦ καὶ ἀνθρώπων. καὶ ταῦτα εἴρηκα, ἵν' ἐπιγνόντες μου τὸ πάθος τῆς ψυχῆς τὸ ἔργον τὸ μέγα ἐλεήσητε, βοηθήσητε δι' ἐμοῦ ὑμῖν αὐτοῖς καὶ δι' ὑμῶν αὐτῶν ἐμοὶ τῷ ταλαιπώρῳ. τίς δὲ ἡ βοήθεια καὶ ἡ ἀντίληψις; ἀλλ' ἢ τὸ ἐπιδοῦναι ἑαυτοὺς μᾶλλον καὶ μᾶλλον ἐν τῇ καλλίστῃ διαγωγῇ καὶ μηδὲν ἡγεῖσθαι μέγα, ἐὰν τῶν κοσμικῶν διαφέρωμεν· ἀλλ' ἐὰν μὴ τὸν βίον τῶν πατέρων ἡμῶν ἰχνηλατήσωμεν, μηδὲ ἐὰν τῶν τινῶν ὁμοταγῶν προὔχωμεν· ἀλλ' ἐὰν μὴ τοὺς ἀκριβεῖς ζηλώσωμεν, ἐπειδὴ "πολλοὶ οἱ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί"· καὶ εἰ οὐ πᾶς "ὁ βαπτισθεὶς σωθήσεται", τὸ ἐξῆς φησί, σιωπήσωμεν. μηδ' αὖ καταμετρεῖν μόνον τὸν χρόνον τὸν παρελθόντα, ὡς τόσα καὶ τόσα ἔτη μονάζομεν· ἀλλ' εἰ τῷ μήκει τοῦ χρόνου καὶ τὴν πολιτείαν μακρὰν πρὸς ἀρετὴν κτησώμεθα, μηδὲ τὴν ἡμέραν ὅτι παρῆλθε σκοπεῖν, ἀλλ' εἰ καλῶς παρῆλθεν καὶ εἰ ἐν αὐτῇ ἀπεθέμεθα

9 κῶδ. *ἐναβρύνεσθε.* 37 κῶδ. *ἠσθενικός.*

8 κῶδ. *φοβηθεῖ.* 18 κῶδ. *ἀνελλειπῶς.* 35/36 Ματθ. κ', 16. 35/37 Μάρκ. ις', 16.

τὸ ἔργον τοῦ θεοῦ, τὸ πόρισμα τῆς μελλούσης ζωῆς, τὴν κάθαρσιν τῆς ψυχῆς, τὴν πρὸς τὸ ἐνοχλοῦν πάθος ἢ ἀντικατάστασιν ἰσόῤῥοπον, ἢ καὶ ὑπερβάλλουσαν, ἢ καὶ παντάπασιν ἀναιρετικήν.

Οὕτως ὁ νήφων νήφει, οὕτως ὁ ἐργαζόμενος ἐργάζεται, οὕτως ὁ τοῦ θεοῦ ἄνθρωπος θεοποιεῖται, οὕτως ὁ μονάζων πρὸς τὸ ὄνομα καὶ τῷ πράγματι μονάζειν ἐπείγεται, λυόμενος ἀεὶ σκότους παθῶν, δεσμοῦ σχέσεων πονηρῶν, ἐλευθέραν τὴν ψυχὴν καὶ τὸν νοῦν ἐῶν μόνον πρὸς κύριον φέρεσθαι, πρὸς ἐκεῖνον πτεροῦσθαι τῇ ἀγάπῃ, τὴν ἐκείνου σχέσιν μόνην ἐπιποθεῖν. σκοπησάτω λοιπὸν ἕκαστος ὑμῶν, πῶς πορεύεται, εἰ ἔχει τὸ ζητούμενον, εἰ μὴ μᾶλλον ἑαυτὸν ἐνδίδωσι δοῦλον τῶν παθῶν, δεσμώτην τῶν ἁμαρτιῶν, αἰχμάλωτον τῶν λογισμῶν· ἐντεῦθεν γὰρ αἱ κακίαι ἀναφύονται, ἐντεῦθεν αἱ μάχαι, αἱ ἔχθραι, αἱ ἔριδες, αἱ δικαιολογίαι, αἱ ὑπερηφανίαι, αἱ παρακοαί, αἱ ἰδιοθελίαι, οἱ γογγυσμοί, οἱ ψιθυρισμοί, αἱ φατρίαι, αἱ ἀπιστίαι, τὸ τελευταῖον καὶ πρῶτον τῶν κακῶν· ἀλλ' οὐκ ἐν τούτοις ὁ πρὸς τὰ πάθη ἐνιστάμενος καὶ πολεμῶν, ἀλλ' ἐκεῖθεν ὅθεν "πᾶν δώρημα τέλειον, πᾶσα δόσις ἀγαθή", πραότης, εἰρήνη, ἀγάπη, συμπάθεια, ἀγογγυσία, δευτεροστασία, ταπεινοφροσύνη, ἀφθονία, αὐτάρκεια, εὐχαριστία, ὑπομονή, ἐργασία, προσευχή, ψαλμῳδία, ἀγρυπνία, κατάνυξις, δακρυῤῥοία, πᾶσά τις ἄλλη ἐπαινετικὴ πρᾶξις καὶ θεωρία· οὐ γὰρ ἐκδικεῖ θέλημα, ἀλλὰ ἀναιρεῖ ὡς πολέμιον· οὐ ζητεῖ πρωτεῖον, ἀλλὰ φεύγει ὡς πρατεῖον ψυχῆς· οὐκ ἐπιθυμεῖ ἐργόχειρον καθισματικόν, ἢ καλλιγραφικόν, ἢ ἀμφιαστικόν, ἀλλὰ πατρικὸν βούλημα καὶ θέλγημα καὶ τὸ κοινῇ λυσιτελοῦν, κἂν μαγειρικόν ἐστι, κἂν σκαφανικόν, κἂν κηπουρικόν, κἂν ὁτιοῦν τῶν ἄλλων· οὐ διαμάχεται περὶ ἱματίου, περὶ ὑποδήματος, περὶ βρώματος, περὶ πόματος, ἀλλ' ὑπομένων φέρει πάντα, κἂν καταφθειροῦται, κἂν καταψυχοῦται, κἂν ῥακκοδυτῇ, κἂν λιμώττῃ· πρὸς ἓν γὰρ μόνον ἀφορᾷ, τὴν ἐκεῖθεν ἀνάπαυσιν κερδάναι. πλουτεῖ καὶ κτᾶται οὐχ ἅπερ οἱ ἀποδοκιμάζοντες ἑαυτοὺς ἀπὸ θεοῦ, ἤγουν τήνδε τὴν μάθησιν ἢ τήνδε, τόδε τὸ ἐργόχειρον ἢ τόδε, τούσδε τοὺς ψαλμοὺς ἢ τούσδε, τάδε τὰ τροπάρια ἢ τάδε· τοιαῦτα γάρ, ὡς εἶπον, τὰ τῶν ἀνομούντων καὶ οὐκ εὐνομούντων, τὰ τῶν κλεπτῶν, ἀλλ' οὐκ ἐλευθέρων τῇ καρδίᾳ, τὰ τῶν κατ' Ἰούδαν, ἀλλ' οὐ τὰ τῶν μαθητῶν, τὰ τῶν πονηρῶν, ἀλλ' οὐκ ἀγαθῶν· ἀλλὰ τὴν δι' ὑπακοῆς ἀμεριμνίαν ἐπὶ πάσῃ τῇ ζωῇ αὐτοῦ, δι' ἐκκοπῆς θελήματος ἐπὶ παντὶ ἔργῳ αὐτοῦ. ἐν οἷς ἐστιν ὡς φῶς, ὡς ζωή, ὡς χαρά, ὡς ἀγαλλίασις, εὐφραίνεται, θυμηδίᾳ· ἀπολαύει ἀπενταῦθεν ἤδη τῶν μελλόντων καὶ μενόντων αὐτῷ ἀγαθῶν. καὶ τίς ὁ μείζων τούτου; καὶ τίς ὁ πλουσιώτερος; καὶ τίς ὁ φρονιμώτερος, κἂν δόξῃ τὴν εὐτελεστάτην πάντων διακονίαν ἐπέχειν καὶ ἀχρειότερος πάντων φαίνεσθαι εἰς τὸ ὁρώμενον;

Οὕτως οὖν παρακαλῶ πάντας ὑμᾶς, ἐπιλογισαμένους τὴν ἀλήθειαν, στέργειν, ἐμμένειν, κινεῖσθαι, πράττειν, ζηλοῦν ἀλλήλους ἐπὶ καλῷ, ὑποφέρειν μακροθύμως, ἐξαγορεύειν τὸ δὴ λεγόμενον τὰ "κρυπτὰ τῆς καρδίας"· ὡς γὰρ οὐκ ἔστι τὸ σκώληκα ἔχον φυτὸν μὴ φθείρεσθαι διὰ τῆς κατ' ὀλίγον καταβρώσεως, οὕτως οὔτε ψυχὴν ὄφιν ἔχουσαν, τὸ δὴ λεγόμενον, ἀνεξαγόρευτόν τι, μὴ σήπεσθαι ἐν αὐτῷ καὶ σκωληκιᾶν καὶ εἰς παντελῆ διαφθορὰν ἔρχεσθαι. διό, παρακαλῶ, ἐκβάλετε ἕκαστος τὸν σκώληκα, ὅπερ κακῶς ἔχει ἐν ἑαυτῷ ταμιευόμενον· εἴπερ καὶ ἔχοι τις, κἀγὼ ἐπισκέψομαι, κἀγὼ ἰάσομαι μετὰ συμπαθείας, μετὰ φειδοῦς. καὶ οἷον οὐ γίγνεται καλόν; εὐθὺς ἀναδώσει τοὺς ὄρπηκας τοὺς νοητούς, εὐθὺς ἀναζῇ, εὐθὺς καρποφορήσει ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

26 Ἰακώβου α', 17.

26 Κορινθ. 1, ιδ', 26.

ΚΑΤΗΧΗΣΙΣ ΠΗ'.

Περὶ τῆς κοιμήσεως τοῦ ἀδελφοῦ Χαρίτωνος, καὶ τοῦ ἀταράχως καὶ εἰρηνικῶς διανύειν τὰς ἐμπιστευθείσας ἡμῖν διακονίας.

Ἀδελφοὶ καὶ πατέρες, φοβερὰ μὲν ἡ τοῦ θανάτου ἀκοή, ἀλλὰ τοῖς ἁμαρτωλοῖς, τοῖς δὲ δικαίοις καὶ μάλα ἡδεῖα καὶ θαρσαλέα· οἷον γὰρ ἐπὶ ἀνθρώπου, ὅταν διὰ πταίσματα καθειργμένος ὑπάρχῃ καὶ καιροῦ ἐνστάντος ἀνακρίσεως τρέμει καὶ δέδοικεν, ἀγωνιᾷ καὶ ἐξίσταται, καλούμενος ἐκβεῖν πρὸς τὸ τεθνάναι, οὕτως ἐπὶ ἁμαρτωλοῦ ἡ ἐκ τῶν ἐνθένδε μεταχώρησις φοβερά τις καὶ φρικτὴ πέφυκεν εἶναι· ἐπὶ δὲ δικαίου τοὐναντίον, καθά τις ἐκδεχόμενος ἀμοιβὰς καὶ στεφάνους παρὰ βασιλέως, ὑπὲρ ὧν καλῶς δέδρακε. χαρᾷ γὰρ χαίρει, ὁπόταν ἀκούσῃ τὴν φωνὴν τῆς ἀνταποδόσεως αὐτοῦ. τοιοῦτο καὶ νῦν θαῤῥοῦμεν λέγειν ἐπὶ τοῦ ἀδελφοῦ ἡμῶν Χαρίτωνος, ὅτι μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως φερωνύμως ἐξεπορεύθη τοῦ σώματος, ἁπαχθεὶς εἰς τὸν τόπον τῆς ἀναπαύσεως. καὶ ἴδε, ἀδελφοί, τί καλὸν τὸ ἀγωνίσασθαι, τί συμφέρον τὸ βιάσασθαι τὴν φύσιν, τί ἀγαθὸν τὸ ὑπομεῖναι ἐν τῇ ἀσκήσει, τί μακάριον τὸ ἀθλῆσαι ἐν τῇ ὑποταγῇ μέχρις ἐσχάτης ἀναπνοῆς, ὅτι ἐν ὀλίγοις ἔτεσι, μᾶλλον δὲ ἐν μιᾷ ἡμέρᾳ σχεδὸν εἰπεῖν — τί γὰρ ἄλλο ἐστὶ πρὸς τὴν ἄπειρον ζωὴν τὰ ἐνταῦθα ὑπολαμβάνειν; — ἐκτήσατο πλοῦτον ἀκένωτον, δόξαν ἀπερινόητον, εὐφροσύνην ἀνείκαστον, βασιλείαν ἀθάνατον. καὶ ἔστι νῦν ἀγαλλιώμενος καὶ θυμηδιῶν καὶ μηδεμίαν αἴσθησιν ἀλγεινὴν τῶν ὑπὲρ τοῦ ἀγαθοῦ κόπων ἐν ἑαυτῷ ἔχων, ἀλλὰ χωρῶν εἰς χώρους ὁσίων, εἰς σκηνὰς δικαίων, εἰς ἐπαύλεις μαρτύρων, εἰς δόξαν ἀγγέλων, εἰς ἦχον ἑορταζόντων, εἰς τὴν ἄνω Ἱερουσαλήμ, τὴν μητέρα πάντων τῶν ἁγίων, θεώμενος καὶ ὁρῶν ἀμήχανα καὶ ἀνεκδιήγητα πράγματα, φῶς ἐκεῖνο τὸ ἀδιάδοχον, ζωὴν τὴν ἀθάνατον, μακαριότητα τὴν ἀνέκφραστον. τί λοιπὸν ἡμεῖς οἱ ἔτι ἐν τῷ σκάμματι οὐκ ἀγωνισώμεθα; οὐκ εὐθαρσήσωμεν; οὐ προθυμηθῶμεν; οὐ καῶμεν τὴν καρδίαν; οὐ πτερωθῶμεν τῇ διανοίᾳ; οὐ μεταθώμεθα ἑαυτοὺς τῇ διαθέσει ἀπὸ τῶν ἐν κόσμῳ πρὸς τὰ οὐράνια; οὐ πάντα ὁμολογήσωμεν δρᾶσαι καὶ παθεῖν ὑπὲρ τῆς ἀγάπης τοῦ κυρίου; μὴ ὅτι νηστείαν καὶ ἀγρυπνίαν, ἀλουσίαν καὶ χαμευνίαν, ψῦχος καὶ καύσωνα, κόπον καὶ μόχθον, ἐξουδένωσιν καὶ ἀτιμίαν, ἀλλὰ καὶ αὐτὰ εἰ δέοι τὰ αἵματα κενῶσαι, τὰ μέλη κατακόψαι, τὰς σάρκας καταξέσαι, ὀστᾶ συντρῖψαι, μόνον ἵνα τὸ ζητούμενον γένηται;

Ναί, ἀδελφοί μου, δέομαι· καλὸν τὸ οὕτως φρονῆσαι, σοφὸν τὸ οὕτως διανοεῖσθαι. κλέπτης ἐστὶν ὁ διάβολος· ἀεὶ παρίσταται συλαγωγῶν τὴν διάνοιαν ἡμῶν ἀπὸ τῶν καλλίστων διαλογισμῶν καὶ συγχέων αὐτὴν εἰς τὴν ματαιότητα τοῦ κόσμου, ἵνα μὴ εὕρωμεν τόπον τῆς ἀρετῆς, χώραν τῆς καλῆς ἐργασίας. ἀλλ' ἡμεῖς μὴ φενακιζώμεθα ὑπὸ τῆς ἀπάτης, ἐν νῷ δὲ ἔχοντες τὰ θεῖα παραγγέλματα, τὰ καθ' ἡμέραν ἀναγνώσματα, τὰ διὰ γλώσσης ὑμνούμενα, τὰ δι' εὐχῆς παριστάμενα, διαβιβάζωμεν ἡμέραν ἐξ ἡμέρας, ἑβδομάδα ἐξ ἑβδομάδος, μῆνα ἐκ μηνός, ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ· ὅπερ οὐ πάντως φθάσομεν, τὰ κατὰ χρείαν ἡμῶν ἔργα ἄμωμα τῷ θεῷ παριστάντες, ὅλα καθαρά, ὅλα ἁγόγυστα, ὅλα ἀνυπερήφανα, ὅλα εἰρηνικά, ἀγαπητικά, ἀτάραχα. ἤδη ποιοῦμεν, ὃ ποιοῦμεν. τυχὸν ἀροτριῶμεν, σκάπτομεν, μαγειρεύομεν, τεκτονεύομεν, μαγκιπεύομεν, κελλαρεύομεν, κηπουρεύομεν, καλλιγραφοῦμεν, οἰκοδομοῦμεν, κατὰ πᾶσαν ἄλλην διακονίαν τὰ ἐργόχειρα διαχειριζόμενοι, εἴτε ὑφαίνοντες, εἴτε κανισκοποιοῦντες, εἴτε τι ἄλλο, ἵνα τέλειον τὸ ἔργον τῷ θεῷ καταλογίζηται καὶ ἀποθησαυρίζηται εἰς μισθὸν ἡμῶν αἰώνιον. τὸ γὰρ παραφθείρεσθαι αὐτὸ διὰ γογγυσμοῦ, δι' αὐθαδείας, διὰ κενοδοξίας, διὰ ταραχῆς, διὰ ἀντιλογίας, οὐ φρονήσεως οὐδὲ συνέσεως, οὐδ' ἀνθρώπου τοῦ κατὰ ἀλήθειαν ἔχοντος τὴν προσηγορίαν· ἄνθρωπος γὰρ μέγα τι

7 κῶδ. *θαρσαλαία*. 11 ἐκβεῖν=ἐκβῆναι. 37 ἦχον ἑορταζόντων] Ψαλμ. μα', 5. 38 ἄνω Ἱερουσαλήμ] Γαλ. δ', 26.

χρῆμα, ὡς ὁρίζεται, κατὰ τὸν ἀοίδιμον Ἰώβ, "ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος". σκοπείτω δὲ καὶ τοῦτο ἕκαστος, πῶς ὁ σπουδαῖος καὶ ἐνάρετος φιλητός ἐστι παρὰ πᾶσιν, ἐράσμιος, σεβάσμιος, ἔνδοξος, καὶ οὐ μόνον τοῖς ἰδίοις ἀδελφοῖς, ἀλλὰ καὶ τοῖς ἔξωθεν ἀκούουσιν· ἡ γὰρ ἀρετὴ καὶ ἐν τῷ κρυπτῷ γινομένη καὶ ἐν ἀφανεῖ προσώπῳ φύσιν ἔχει ἐκβομβεῖσθαι καὶ ἀναφαίνεσθαι καὶ ἐκκηρύττεσθαι, κατὰ τὸ ὑπὸ τοῦ κυρίου λεγόμενον, ὅτι οὐκ ἔστι "πόλιν κρυβῆναι ἐπάνω ὄρους κειμένην". ἐὰν οὖν μικρὸν ὑπομείνωμεν, μικρὸν ἀγωνισώμεθα, φθάνει ὁ καιρὸς τῆς ἀναπαύσεως οὐ μόνον ἐν τῇ ὥρᾳ τοῦ θανάτου, ἀλλὰ καὶ πρὸ τοῦ θανάτου διὰ ἀπαθείας· ψυχὴ γὰρ ἀγαπήσασα τὸν θεὸν ὁλοκλήρως, καὶ νεκροῦσα τὰ θελήματα δι' ὑπακοῆς, εἰς τὸν τόπον τῆς ἀναπαύσεως, κατὰ τοὺς πατέρας, πέφθακε καὶ ἤδη τὸ μέλλον ἀγαθὸν ἀπ' ἐντεῦθεν καρποῦται· ἐν ᾧ γενοίμεθα πάντες, εὐχαῖς τοῦ πατρὸς ἡμῶν, καλῶς διαμείβοντες καὶ τὴν παροῦσαν Τεσσαρακοστήν, καί γε φθάνοντες εἰς τὴν γενέθλιον ἡμέραν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΠΘ'.

Περὶ ψήφου τοῦ ἡγουμένου τῆς Δαλμάτου, καὶ περὶ ταπεινοφροσύνης, ὅτι αὕτη ἐστὶν ἀληθινὴ ἡ γνῶσις, προτερεύουσα τῆς θύραθεν σοφίας.

Ἀδελφοὶ καὶ πατέρες, φιλεῖτε ἀκούειν τοῦ ταπεινοῦ μου λόγου, οὐχ ὅτι γνωστικός ἐστιν, ἀλλ' ὅτι πατρικός· πατὴρ γὰρ ὑμῶν εἰμι, κἂν ἀνάξιος· κἀγὼ πρὸς ὑμᾶς κεκίνημαι λέγειν, οὐχ ὅτι διδακτικός εἰμι, ἀλλ' ὅτι πρὸς τέκνα ἡ νουθεσία, καὶ τέκνα πνευματικὰ καὶ περιπόθητα. τίς δὲ ὁ παρὼν λόγος; καλὸν ἐκ τῆς χθὲς ἐπισυμβάσης προφάσεως ἁπάρξασθαι, ἐπειδὴ ἐγένετο ἡμᾶς ἀπελθόντας κατὰ πρόσταξιν τοῦ ἀρχιερέως ἐν τῇ μονῇ τῆς Δαλμάτου ἐγκρῖναι τὸν ὀφείλοντα καθηγήσασθαι· ἦν δὲ τὸ προσῆκον ἐρώτησιν ἡμᾶς ποιήσασθαι πρὸς τὴν ἐκεῖσε ἀδελφότητα, τοὺς ἐπισυναχθέντας ἐπὶ τὸ αὐτὸ ἅπαντας ἡγουμένους· οὐκ ἄλλον ἀπεκρίθησαν οὐδὲ ἐψηφίσαντο, ἢ τὸν ἀββᾶν Ἱλαρίωνα. ὅτου χάριν καὶ δι' ἣν τινα αἰτίαν; οὐχ ὅτι γνωστικός ἐστιν, οὐδ' ὅτι ἀγορεύς τις καὶ εὔλαλος, οὐδ' ὅτι γηραλέος, οὐδ' ὅτι περιφανὴς κατὰ τόνδε τὸν βίον, ἀλλ' ὅτι μόνον ταπεινόφρων, μισόδοξος καὶ φιλόθεος, τὴν τῆς ἀρετῆς δι' ὑποταγῆς διηνυκὼς ὁδὸν καὶ μὴ δοὺς ἀφροσύνην τοῖς ἀδελφοῖς αὐτοῦ. καίπερ ὄντος ἄλλου γνωστικωτέρου καὶ προὔχοντος ἐν ἔτεσιν, ἐλλειπομένου δὲ ἐν ἄλλοις, οὗτος προεκρίθη, ὡς μᾶλλον τῷ θεῷ ἀρέσων καὶ τὴν ἀδελφότητα ὁδηγήσων κατὰ λόγον.

Καὶ ἴδε, ἀδελφοί μου, πῶς περισπούδαστον τὸ τῆς ταπεινοφροσύνης χάρισμα· τοῦτο δὲ περιεκτικόν τι κατόρθωμα, ἐν ᾧ πέπαυται ταραχή, ἀποκέκρουται ὑπερηφανία, ἐξώρισται φιλοδοξία, ἀπεσκοράκισται ἰδιορρυθμία, ἀπονενέκρωται φιληδονία, ἀντεισῆκται δὲ πραότης, εἰρήνη, ἀγάπη, συμπάθεια, ὑπομονή, φιλοφροσύνη. καὶ τί δεῖ λέγειν; πηγή τις ἐστι τῶν ἀρετῶν, ἀναβλύζουσα πᾶσαν ἀγαθωσύνην, μᾶλλον δὲ παράδεισος θεοφύτευτος, ἐκβλαστάνων παγκαρπίαν ἀθανασίας. οὐκ ἔστι δὲ πόλιν κρυβῆναι ἐπάνω ὄρους κειμένην, ὡς ὁ λόγος, οὐδὲ τὸν ταύτην κεκτημένον λανθάνειν, κἂν ἐν ἐσχατιᾷ βαθμοῦ τυγχάνῃ, κἂν ὑπὸ γῆν κρύπτοιτο, κἂν τινες φθονερῶς διαβάλλωσι· τότε γὰρ καὶ μᾶλλον γνωρίζεται ὥσπερ τι φῶς ἀνατέλλων ἐν τῷ ὄρει καὶ πρὸς ἑαυτὸν συνάγων τὰς ὄψεις τῶν ὁρώντων. τοῦτο γὰρ καὶ περὶ τοῦ ψηφιζομένου, ὅτι πολλοὶ καὶ τῶν ἔξω τὴν ψῆφον συνεισηνέγκαντο τῇ ἀδελφότητι. καὶ ταῦτα λέγω οὐχ ἵνα ἄγνωστοι ἦτε, οὐδ' ἵνα μὴ ἀντιποιῆσθε τοῦ καλοῦ τούτου κτήματος, ἀλλ' ἵνα δεύτερον φροντίζητε τοῦ βίου καὶ ὥσπερ

---

2 Ἰὼβ α', 1. 12 Ματθ. ε', 14. 29 κῶδ. *ἀγαθοσύνην*. 31 Ματθ. ε', 14.

ἐπὶ δένδρου τινός, ὅτι ἄριστον μετὰ τὸν καρπὸν ἔχει καὶ τὰ φύλλα· φύλλα γάρ ἐστιν ἡ γνῶσις πρὸς τὴν διὰ τοῦ βίου καρποφορίαν, καὶ ἀναγκαῖον μὲν τὸ πρότερον, εὐτερπὲς δὲ τὸ δεύτερον, ἵνα τοῖς καρποῖς πρόσεισι τὰ φύλλα· εἰ δὲ μή γε τέως ὁ καρπός, ὅς ἐστιν ὁ βίος, σπουδαζέσθω, ὅτι καὶ μόνον σῴζοι. φυτὸν δὲ μὴ καρποφοροῦν, ἢ τὰ φύλλα φέρον μόνον, κοπῆς καὶ πυρὸς ἄξιον· ὥστε προκριτέα ἡμῖν ἡ πρᾶξις ἀεί, εἶθ' οὕτως ἡ γνῶσις, καὶ μὴ τὸ πρότερον ὑπὸ τοῦ δευτέρου καταργείσθω ἐν παντὶ καιρῷ καὶ πράγματι, ὥσπερ δὴ ἀδικιῶν μεγίστη ὑπὸ τοῦ ἐλάττονος καταδυναστεύεσθαι τὸ κυριώτερον. οἷον, ἐπιφθάζει ἡμᾶς καλεῖσθαι πρός τινος κρατοῦντος βιβλίον; μὴ διὰ τὴν ἀνάγνωσιν τὴν ὑπακοὴν ἀθετήσωμεν. πάλιν φθάζει ἡμᾶς λαβεῖν οὐχ οἷον θέλομεν πυκτίον; μὴ διὰ τὴν ἀποτυχίαν ἀντιλέξωμεν, ἢ ὀργισθῶμεν, ἢ μανιωθῶμεν τῷ βιβλιοφύλακι· πονηρὸν γὰρ τῷ ὄντι ἀντ' εὐχαριστίας ἀχαριστίαν, ἀντὶ εὐλογίας κατάραν, ἀντὶ εἰρήνης ταραχήν, ἀντὶ γνώσεως ἀγνωσίαν νοσῆσαι. πάλιν ἔκρουσεν εἰς τὴν θείαν λειτουργίαν, ἢ εἰς τὸ ἀνταποδοῦναι τὰς βίβλους; μὴ διὰ τὸ ἔτι περισσότερον ἀναγνῶναι ἀσπασώμεθα τὴν παρακοήν, ἐρωτώμενοι καὶ ψευδόμενοι, ἀνακρινόμενοι καὶ προφασιζόμενοι, καὶ μέντοι καὶ τῷ πονηρῷ ὑποδείγματι ἄλλους πρὸς τὰ ὅμοια ἕλκοντες· ἄνομον γὰρ καὶ θείας παρακοῆς ἁμάρτημα. εἶπω καὶ περὶ τοῦ κανονάρχου ἢ ἐπὶ τῆς ἐκμαθήσεως τοῦ κανόνος· μὴ ὅτι οὐ βέβληκεν ἡμᾶς ἐν τῷδε τῷ ἀναγνώσματι, ἢ ἐν τῇδε τῇ ἡμέρᾳ, ἢ οὐκ ἔδωκεν πρὸς ἐκστηθισμὸν τὰ τῇδε ἢ τῇδε τροπάρια, ὀργιζόμενοι, μανιούμενοι—φεῦ γὰρ τῆς πλάνης—, ὑπὲρ ἀγαθοῦ δῆθεν κακὸν ἐργάζεσθαι, ὑπὲρ εὐσεβείας ἀσεβεῖν, ὑπὲρ μαθησίας ἀφρονεύεσθαι, μᾶλλον δὲ ἀσωφρονίζεσθαι. δέον πάντα καιρῷ καὶ λόγῳ γίνεσθαι, κατὰ τὸ "πάντα ἐπιστημόνως καὶ κατὰ τάξιν" ἀποστολικῶς λεγόμενον. καὶ ὅτι μικρὸν ἀνέγνωμεν, χάρις κυρίῳ· καὶ ὅτι οὐδόλως ἀνέγνωμεν τῇ ὡρισμένῃ ἡμέρᾳ, εὐλογητὸς κύριος· καὶ ὅτι οὐ τόδε τὸ βιβλίον ἐλάβομεν, εἴη τὸ ὄνομα κυρίου δεδοξασμένον· καὶ ὅτι οὐ παραχωρούμεθα ἐκμανθάνειν, ὡς ζητοῦμεν, δίκαιος κύριος ὁ οὕτως εὐδοκήσας. καὶ ταῦτά εἰσι τὰ θεοφιλῆ, καὶ αὕτη ἐστὶν ἡ ἀληθινὴ γνῶσις, τὸ δὲ ἄλλως ἐνεργεῖν ἀγνωσίας καὶ ἀθείας ἔργον, κἂν πάντα ἐκμαθηκὼς εἴη τις, κἂν τῶν πάντων εὐαναγνωστότερος φαίνοιτο, κἂν ὅλον τὸν κανόνα ἀπὸ στήθους φέρῃ. καὶ διατί ἵνα μὴ οὕτως πράττωμεν ἐπὶ λυσιτελείᾳ ψυχῶν καὶ εὐαρεστήσει θεοῦ; καὶ διατί μὴ τὸ φῶς ζητῶμεν, ἀλλὰ τὸ σκότος προκρίνομεν, εἴπερ προκρίνομέν τινες; λέγω δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων διακονιῶν, εἴτε διανομῆς ἱματίου, εἴτε ζητήσεως· ὡσαύσως ἐπὶ ὑποδήματος λήψεως καὶ δόσεως, εἴτε βρώσεως καὶ πόσεως. τί ἵνα μὴ συνιῶμεν ἐπὶ πᾶσι τούτοις, τὰς ἑαυτῶν καθείργοντες ὁρμάς, οἷον ὀργώσας καὶ οἰστρώσας καὶ ἐπερχομένας κατὰ τῶν διανομέων, κυνὸς δίκην ἢ ἄλλου τινὸς ἀτιθάσου θηρός; ὧν ἀπολυτρωθέντες διὰ σπουδῆς καὶ ἐνεργήσαντες τὰ θεοφιλῆ κληρονόμοι γενώμεθα τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ϟ'.

Περὶ ἐγκρατείας καὶ ταπεινοφροσύνης.

Ἀδελφοὶ καὶ πατέρες, τί καλὴ ἡ ἐγκράτεια καὶ ἡ δι' αὐτῆς ἐπιφαινομένη εὐταξία ἐν τῇ ἐργασίᾳ τῶν θείων ἐντολῶν! ἤδετε γὰρ οἷα καὶ ἡλίκα τὰ παρόντα· ἐπεὶ γὰρ περιήχθημεν εἰς ταύτας τὰς σεπτὰς ἡμέρας τῆς ἱερᾶς Τεσσαρακοστῆς, ὡς ἐν λιμένι γαληνῷ ἀποφυγόντες ἔκ τινος κλύδωνος τῶν προτέρων ἡμερῶν, ἡσυχίαν ἄγομεν, εἰρηνικὴν κατάστασιν, ἀθόρυβον διαγωγήν, ἐπιμέλειαν ἐν παραστάσει ψαλμῳδίας, ἐγρήγορσιν

41 Κορινθ. 1, ιδ', 40.

22 κῶδ. *ἀτιθάσσου*. 24 κῶδ. *γενόμεθα*. 28 Mai, Novae patrum bibliothecae τ. IX, pars II, σ. 7-9. 32 ἴδετε V. 33 ἐπειδὴ γὰρ V. 34 σεπτὰς P, ἱερὰς V. 35 ἱερᾶς P, θείας V.

ἐπὶ προσευχῇ, νῆψιν, τήν τε δίαιταν ἀποίκιλον καὶ ἀπέριττον, τἆλλα ὅσα συντείνει εἰς σωτηρίαν ψυχῆς· οὔτε γὰρ εἴσοδοι γίνονται προσώπων κοσμικῶν, οὔτε ἔξοδοι ἀφ' ἡμῶν πρὸς αὐτούς. ἐντεῦθεν οὖν βούλομαι πρὸς ὑμᾶς, τὴν κρίσιν τοῦ καλοῦ λαμβάνοντας, ἐν ἕξει πως γενέσθαι τῆς ζωῆς πρὸς τὸν ἑξῆς χρόνον, ἀπεχομένους τῶν τῆς κακίας τρόπων καὶ μὴ πρὸς πέντε ἢ δέκα ἡμέρας ἡ ἐνάρετος διαγωγή, εἶθ' ὕστερον καταμελοῦντες τοῦ καλοῦ εὑρεθῶμεν ἃ ᾠκοδομήσαμεν πάλιν ἀποστολικῶς καταλύοντες. μηδαμῶς, ὦ ἀδελφοί· μηδ' οὕτως ἐσμὲν εὐπερίτρεπτοι, ὥστε στρέφεσθαι ἡμᾶς εὐχερῶς ὑπὸ τῆς τοῦ πειράζοντος διαβουλήσεως· ἀλλὰ στέργωμεν καὶ ἐμμένωμεν τοῖς προκατορθωθεῖσιν, ἐπιβολὰς ποιούμενοι τῶν καλῶν ἔργων τῆς εὐπραξίας, εἰδότες οὐ τὸ ἐν ὀλίγῳ χρόνῳ εὖ βιῶσαι ἀρκετὸν εἰς σωτηρίαν, ἀλλὰ τὸ διὰ πάσης τῆς ζωῆς ἡμῶν ἐπιτεταμμένως ἔχεσθαι τῆς σωτηρίας· τοιοῦτος γὰρ καὶ ὁ πειράζων, οὐ νύκτωρ, οὐ μεθ' ἡμέραν ἐῶν ἡμᾶς τῆς καταδρομῆς, τοῦ ἐνέδρου δολίου, τῆς ἀπωλείας, πολλὰς ἱστῶν τὰς καθ' ἡμῶν παγίδας, μυρία πέμπων τὰ κατὰ τῆς ψυχῆς τόξα, τοὺς γαργαλισμούς, τοὺς ἐμπυρισμοὺς τῶν ἡδονῶν, τὰς τρικυμίας καὶ ἀντιπνεύσεις τῶν πειρασμῶν, συνταράσσων τὸ κύτος τῆς διανοίας, ὡς ἐπὶ θαλάσσης τινός· ὥστε, "εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι" ἕκαστον λέγειν, "παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου". ἐκ τοῦδε ὑποστέλλεται καὶ εἰς ἕτερον μεθίσταται· ὑποκρύπτει τὸ βέλος τῆς ἐπιθυμίας πρός τινα καιρὸν καὶ τὸ τῆς κενοδοξίας προβάλλεται φάρμακον· πυρώσας ἔνθεν τῇ ὀξυχολίᾳ, ἐκεῖθεν τοῦ φθόνου τὴν βολίδα ἀφίησιν, καὶ ὅλως πανταχόθεν πολὺν κονιορτόν ἐστιν ἐπεγείρων τῇ ταπεινώσει ἡμῶν· ἔχει γὰρ ἀκόρεστον τὴν κατὰ τῆς καταλύσεως ἡμῶν ἐπιθυμίαν. ἀντάρτης γάρ ἐστι τοῦ δεσπότου τῶν ἁπάντων θεοῦ, καὶ μαίνεται ὁρῶν ἡμᾶς ἀνερχομένους εἰς τὴν οὐρανίαν ἀρχήν, ἐξ ἧς αὐτὸς δι' ὑπερηφανίας ἀποπέπτωκεν.

"Οσης οὖν καὶ ἡλίκης λοιπὸν φροντίδος καὶ ἐνστάσεως χρεία, ἐπιμελείας καὶ ἀγῶνος, δρόμου καὶ κόπου συντόνου, ἵνα τὸν τοιοῦτον καὶ τηλικοῦτον δράκοντα νικήσωμεν; "ἀλλὰ θαρσεῖτε", λέλεχεν ὁ κύριος· "ἐγὼ νενίκηκα τὸν κόσμον". καὶ αὐτοῦ νικήσαντος ἡμεῖς ἐσμεν διὰ τῆς ἁγίας αὐτοῦ σαρκώσεως οἱ κατ' αὐτοῦ τὸ κράτος λαβόντες· πάλιν γὰρ ἐπιβοᾷ· "ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ". ὥστε πατῶμεν αὐτοῦ τὰς ὁρμάς, τὰς πολυμόρφους ἡδονάς. πῶς δὲ τοῦτο ἔσται; ἀλλ' ἢ ἐκ τοῦ μιμεῖσθαι τὸν νενικηκότα. μίμημα δὲ ἐκείνου, καθὼς αὐτός φησι περὶ ἑαυτοῦ· "μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ". ταπεινοφροσύνην τοιγαροῦν καὶ πραότητα ἀναληψώμεθα· εἰ γὰρ αὐτὸς ὁ τῶν ἁπάντων βασιλεὺς καὶ δεσπότης, ὁ φύσει μόνος δεδοξασμένος καὶ ὑπεράγαθος, ταπείνωσιν εἵλετο, ὑπήκοος γενόμενος τῷ θεῷ καὶ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, τί εἴπωμεν ἡμεῖς, ἢ ὅσον γε ταπεινούμενοι ἐξομοιωθησόμεθα, οἱ φύσει εὐτελεῖς καὶ ταπεινοὶ καὶ ὑποδούλειοι τῷ κτίστῃ; καὶ εἰ αὐτὸς ἐξενίτευσεν, ἐξ οὐρανῶν καταβὰς ἐπὶ τῆς γῆς, πόσον ἡμεῖς ξενιτεύσαντες τῶν οἰκείων λογιούμεθα ἀπέχειν τοῦ διαστήματος; καὶ εἰ αὐτὸς ἐνηπίασε καὶ ἐγαλακτοτροφήθη, ηὐξήθη τε καὶ τὰ ἔννομα ἐτέλει ὑποταττόμενος τοῖς γονεῦσιν, ὡς γέγραπται, ἡλίκον ἡμεῖς νηπιάζοντες τῇ κακίᾳ καὶ ὑποτασσόμενοι τοῖς ἡγουμένοις ἡμῶν δόξομεν ἐξισοῦσθαι; καὶ εἰ αὐτὸς ἐπείνασε καὶ ἐδίψησεν, ὠδοιπόρησέ τε καὶ κεκοπίακε, πόσον ἡμεῖς ἐν τοῖς τοιούτοις εὑρισκόμενοι νομίσομεν ἐφάμιλλα δεδρακέναι; καὶ τὸ τελευταῖον, εἰ αὐτὸς ὑβρίσθη καὶ ἐῤῥαπίσθη, ἐμυκτηρίσθη καὶ ἐχλευάσθη, προεδόθη καὶ ἐκριτηριάσθη, ἐμαστίχθη καὶ ἐσταυρώθη, κατεγελάσθη καὶ ἐξεμυκτηρίσθη καὶ ὅσα ἄλλα ὑπὲρ ἡμῶν ἤνεγκεν, τί

8 *ἀπεχομένων* P. 12 ἀποστολικῶς] Γαλάτ. β', 18. 23 δολίου ἐνέδρου V. 30/31 Ψαλμ. ριγ', 17. 35 *πληρώσας* P. 39 κατὰ] ἑλλ. τῷ V.

4/6 Ἰωάν. ις', 33. 9/11 Λουκᾶ ι', 19. 15/17 Ματθ. ια', 29. 18 ἀναληψόμεθα V. 25 ὑποδούλιοι V. 30 ὑποταττόμενος] Λουκᾶ β', 51. 33 *δόξωμεν* P. 34 *ὁδοιπόρησε* P 36 *νομίσωμεν* P. 39 προεδόθη P, παρεδόθη V.

καὶ πόσον ἡμεῖς δραμούμεθα, ἵνα τὸ πολλοστὸν μιμησώμεθα; δέον ταῦτα, ἀδελφοί, ἀεὶ ἐνθυμεῖσθαι καὶ πρὸς αὐτὸν ἀπευθύνεσθαι, καὶ ταπεινοῦσθαι σφόδρα, καὶ [τὰ] κατὰ μίμησιν αὐτοῦ ἢ φθάσαντα εὐχαρίστως δέχεσθαι, ἢ μὴ φθάσαντα ἐπιζητεῖν, οἷον πεῖναν, δίψαν, μυκτηρισμόν, χλευασμόν, ἐξουδένωσιν, ταλαιπωρίαν, εὐτέλειαν ἐν ἱματίῳ, ἐν ὑποδήματι, ἐν πᾶσι τοῖς ἄλλοις, οἷς ὁ κατὰ θεὸν γνωρίζεται ἄνθρωπος, ὅπως οὕτως κατὰ μικρὸν προβιβαζόμενοι καὶ ἀναβιβαζόμενοι, οἰκοδομούμενοι καὶ ἀνοικοδομούμενοι, ὑψούμενοι καὶ ἀνυψούμενοι, φθάσοιμεν "εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ", νῦν μὲν εὐμαρῶς διεξερχόμενοι τὰς νηστίμους ἡμέρας, πρὸς δὲ τὸ ἑξῆς ἀνδρειούμενοι κραταιότερον τῇ δυνάμει τοῦ πνεύματος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΗΑ'.

Περὶ ἀποταγῆς κόσμου καὶ τοῖς ἐν τῷ κόσμῳ· καὶ διδασκαλία τοῦ μετὰ προθυμίας ἐπαναιρεῖσθαι τὰ ἰδιώματα τῆς ἀκριβοῦς ἡμῶν διαγωγῆς, ῥηθεῖσα ἐν τῇ ἡμέρᾳ τῆς Ἀποκρεωσίμου.

Ἀδελφοί μου καὶ πατέρες, τίς ὁ πρὸς ὑμᾶς λόγος τῆς ἐμῆς ταπεινώσεως νῦν; ὅτι ἐπειδὴ ἡ ἀποκρεώσιμος ἡμέρα τοῖς βιωτικοῖς πάρεστιν, ἀγῶνάς πως καταβάλλονται φαγεῖν καὶ πιεῖν πλεῖστα· ὥσπερ μαινόμενοι κατὰ τῆς ὥρας ἁμίλλονται πρὸς ἀλλήλους ὑπερβαλέσθαι τῇ πλεοφαγίᾳ καὶ τῇ ἐπεξεργασίᾳ τῶν κρεουργημάτων, παίζουσί τε καὶ ἄλλονται καὶ περισκιρτῶσιν, ὥσπερ οὐ Χριστῷ ἀλλὰ τῷ ἐναντίῳ τελοῦντες τελετήν τινα ἑορτάσιμον· ταῦτα γὰρ ἰσχύει ἐν τοῖς πολλοῖς τῆς γαστριμαργίας ὁ δαίμων. τί οὖν; ἐπειδὴ ἡμεῖς οὔτε κρεοφαγοῦμεν, οὔτε πολυποτοῦμεν, οὔτε παίζομεν καὶ ὀρχούμεθα, μακαρίσωμεν ἐκείνους καὶ ταλανίσωμεν ἡμᾶς ἑαυτούς; οὐδαμῶς· ἀλλ' ὑπὲρ μὲν ἑαυτῶν καὶ πάνυ εὐχαριστήσωμεν κυρίῳ τῷ ἐκ τοῦ τοιούτου βίου ὥσπερ ἀπό τινος τέλματος ἢ βαράθρου ἐκσπάσαντι ἡμᾶς καὶ ἀγαγόντι εἰς τὸ ἱερὸν ἐπάγγελμα λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· ὑπὲρ δὲ ἐκείνων γελάσωμεν, μᾶλλον δὲ θρηνήσωμεν, ὅτι εἰς πίθον τετριμμένον ἀντλοῦντες οὐκ αἴσθονται, ἀλλὰ τῇ παρούσῃ μικρᾷ ἡδονῇ δελεαζόμενοι τῆς μακαρίας ἡδονῆς ἀποπίπτουσιν, εἰ μή τις αὐτοὺς λόγος σωφρονήσειε κατὰ λόγον ἐφάπτεσθαι τῶν ἐδωδίμων καὶ ἐν τῷ μέτρῳ ἵστασθαι τῆς αὐταρκείας, μετὰ τῆς εὐσχημόνου καταστάσεως ἐν ἅπασι.

Δεῦτε οὖν λοιπὸν ἡμεῖς, ἀδελφοί, ἀγαλλιασώμεθα τῷ κυρίῳ· ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ· αὕτη γὰρ ἡ καλὴ ἑστίασις, αὕτη ἡ ἐπαινετὴ εὐφροσύνη, αὕτη ἡ ἑορτάσιμος ἡμέρα· ὥστε πάρεστιν ἡμῖν οὐχ ἅπαξ ἢ δίς, ἀλλ' ἀεὶ πανηγυρίζειν καὶ εὐφραίνεσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ. ἡ δὲ τοιαύτη θυμηδία τῆς ἐκεῖθεν μακαριωτάτης λήξεως πρόδρομός τίς ἐστι καὶ προμηνύτρια· "ἐγὼ γάρ", φησὶν ὁ θεῖος Δαυίδ, "ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου". μὴ δὴ οὖν λοιπόν, παρακαλῶ, ἐπιστρεφώμεθα ταῖς καρδίαις ἡμῶν, ὥσπερ εἰς Αἴγυπτόν τινα, ἐν τοῖς ποτὲ κατὰ τὸν κοινὸν βίον συμβαθεῖσι, μηδὲ ἀναμιμνησκώμεθα τῶν ἐκεῖσε κρεῶν τε καὶ λεβήτων, μηδὲ τῆς ἄλλης ἀπολαυστικῆς καὶ θρυπτικῆς καὶ ἁμαρτητικῆς θεωρίας τε καὶ ἕξεως· ἀλλ' εἰς ἡμᾶς αὐτοὺς βλέπωμεν, εἰς ὅνπερ διαθλοῦμεν καὶ διανύομεν ἄριστον βίον, ὅτι ὧδε ἐνετείλατο κύριος μᾶλλον τὴν εὐλογίαν καὶ εὐζωΐαν, τὴν ἀληθινὴν ἀγαλλίασιν, τὴν ἀδιάψευστον ἐλπίδα, τὴν σωτήριον πανήγυριν· καὶ εἴ ἐστιν ἐπιτυχίας λόγος, ἡμεῖς μᾶλλον ἐπετύχομεν, καὶ εἴ ἐστι μερίδος τρόπος, ἡμεῖς τὴν ἀγαθὴν μερίδα ἐξελεξάμεθα· καὶ εἴ ἐστι μακα-

1 πόσον καὶ V. 4 τὰ] ἐκ τοῦ V. 13 φθάσοιτε V. 13/15 Ἐφεσ. δ', 13. 17 ἀνδριούμενοι V. 33 κῶδ. *ὑπερβαλλέσθαι.*

26/29 Ψαλμ. ις', 15. 31/34 Ἐξόδ. ις', 2, 3. 43 τὴν ἀγαθὴν μερ. ἐξελεξάμεθα] Λουκᾶ ι', 42.

ρισμοῦ ἐπιφώνησις, ἡμεῖς μᾶλλον μεμακαρίσμεθα, οἱ φυγόντες κόσμον, γένος, πατρίδα, φίλους, συνήθεις, οἰκίαν, γονεῖς, γυναῖκα, τέκνα, οἱ ἀποταξάμενοι κτημάτων, οἰκημάτων, πάντων τῶν ἐκτός, οἱ ἀπειπάμενοι τὰ τῆς αἰσχύνης ἔργα, θέατρα, ἀκούσματα, θεάματα ἱπποδρομικά, ὀρχηστικά, αὐλητικά, μουσικά, ὀργανικά, χορευτικά, κροτηματικά, ἐξαλματικά, τὰ τῆς ἄλλης ἐπιθεωρουμένης τῇ ματαιότητι τῆς ἀνθρωπίνης φύσεως ἐργασίας καὶ ἐνεργείας ἐπιτηδεύματα· χαίρειν εἰπόντες γάμῳ καὶ τεκνογονίαις, ἀναλαβόντες παρθενίας καὶ ἀκτημοσύνης, τὰ οὐράνια καὶ θεῖα πλεονεκτήματα, ἐν οἷς καθ' ἑκάστην σταυροῦμενοι τῷ κόσμῳ καὶ τοῖς ἐν τῷ κόσμῳ, εἰκότως πρὸς τοῦ μεγάλου ἀποστόλου ἀκουσόμεθα "οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις αὐτῆς".

Τίς ἆρα λοιπὸν μακαριώτερος ὑμῶν; ἢ τί ἄλλο ἐπιζητήσωμεν ἐν τῷ βίῳ τερπνότερον καὶ ὑψηλότερον; οὐδέν, εἰ μὴ μόνον τὸ δι' ὑπομονῆς ἡμᾶς ἐνεγκόντας τὰς ὑπολοίπους ἡμέρας τῆς παροικίας ἡμῶν, ἐν τῷ φέρειν γενναίως πάντα καὶ ἐν μηδενὶ καταπίπτειν τῶν τε ὁρατῶς καὶ ἀοράτως συμπιπτόντων, ἐπιτυχεῖν τῶν ἀποκειμένων ἡμῖν ἐπαγγελιῶν. πρὸς ταῦτα ἀνδρίζεσθε, κραταιοῦσθε, ἰσχύετε, "πάντα εὐσχημόνως καὶ κατὰ τάξιν" ποιοῦντες, συνιέντες οἷον καὶ ἡλίκον τὸ μυστήριον τοῦ σχήματος ἡμῶν, καὶ ὁποίας πολιτείας ἐστὶν ἐπάξιον, καὶ πῶς ταύτην ἐπολιτεύσαντο οἱ ἀείμνηστοι ἅγιοι πατέρες ἡμῶν· καὶ κατὰ τὰ παραδείγματα ῥυθμιζώμεθα καὶ εἰκονιζώμεθα καὶ διαμορφώμεθα, ἰνδάλματα αὐτῶν ἀψευδῆ γινόμενοι καὶ ἀπεικονίσματα· ἐν τούτῳ γὰρ καὶ υἱοὶ αὐτῶν χρηματίζομεν, καὶ τῆς αὐτῆς χαρᾶς κοινωνοὶ ἐπαρθείημεν. οὐ γὰρ ὡς ἔτυχε μόνον ἐστὶ τὸ σχῆμα περιβαλέσθαι, ἀλλ' ἐν τῷ ἠκριβωμένην τὴν ζωὴν ἔχειν καὶ τὰ ἰδιώματα ταύτης ἐπαναιρεῖσθαι· πῶς γὰρ στρατιώτης γνωσθήσεται ὁ κατὰ σάρκα; ἀλλ' ἢ ἐκ τοῦ μάχαιραν αὐτὸν βαστάζειν. ἢ πῶς ἐπιγνωσθήσεται τέκνον, ἢ χαλκεύς, ἤ τις ἄλλος τῶν ἐν ταῖς βαναύσοις τέχναις, εἴτε ταῖς κατὰ τὸν βίον ἄλλαις πρακτικαῖς τε καὶ λογικαῖς; ἀλλ' ἢ ἐκ τοῦ τὰ ὄργανα τῆς οἰκείας τέχνης καὶ ἐπιστήμης φέρειν, ἢ διὰ χειρὸς ἢ διὰ στόματος. οὕτως πολὺ μᾶλλον καὶ μοναχὸς ἀρχικός τε καὶ ὑποτακτικός, ἐρημικός τε καὶ λαυρικός, ἔγκλειστός τε καὶ στυλίτης, ἐκ τῶν τοῦ ἐπαγγέλματος ἐπιτηδευμάτων. ὁ γὰρ μὴ οὕτως ὀνόματι μόνον λέγεται, πράγματι δὲ ἠλλοτρίωται, καὶ οὐαί φησι τῷ ἀνθρώπῳ ἐκείνῳ, οὗτινος τὸ ὄνομα μεῖζον τῆς πολιτείας. διὸ καταλείψωμεν πάντα τὰ θελήματα ἡμῶν· περισσοτέρως ἀντισχώμεθα τῶν θείων κελευσμάτων, τῶν ἱερῶν νόμων, ἔλκοντες ἐπιστήμην εἰς λόγον, εἰς κίνημα, εἰς βάδισμα, εἰς ἀπόκρισιν ἔν τε εἰσόδοις καὶ ἐξόδοις, οὐ μόνον ταῖς ἀπὸ τοῦ μοναστηρίου, ἀλλὰ καὶ ταῖς ἀπὸ τῆς ἐκκλησίας καὶ ἑστιάσεως, ἀθορύβως καὶ ἀσυντύχως, καὶ μάλιστα κατὰ τὴν τοῦ ἀπὸ τοῦ κανόνος ἢ τῶν ἀποδειπνίων· καὶ μή εὕροιμί τινα ὡς ἔτυχε λαλοῦντα, ἢ προσγελῶντα, ἢ κινυρίζοντα, ἢ τροπαρίζοντα. κατοπτεύων κατοπτεῦσαι ἔχω διεξερχόμενος ἐν τῷ μοναστηρίῳ κατὰ τὰς τοιαύτας ὥρας· καιρὸς γὰρ τῷ παντὶ πράγματι. καιρὸς λαλιᾶς; λαλήσατε. καιρὸς σιγῆς; σιγήσατε. ψαλμῳδίας; ψάλατε. μελέτης; μελετήσατε. τὰ δὲ μὴ κατὰ καιρὸν ἄκαιρα καὶ ἄτακτα, τὰ δὲ ἄκαιρα καὶ ἄτακτα διαλύσεως καὶ ἀπωλείας ὑπαίτια. ὥστε οὐδὲν καινοτομοῦμεν, οὐδὲ καταπιάζομεν ὑμᾶς, ἀλλὰ μᾶλλον εὐθυμεῖσθαι ὑμᾶς βουλόμενοι καὶ χαίρεσθαι. ταῦτα διαγγέλλομεν καὶ ἀπαιτοῦμεν, ἃ πράττοντες ἕξετε τὴν εἰρηνικὴν καὶ ἀκατάγνωστον πολιτείαν, ἐν ᾗ τελειούμενοι ἐπιτεύξεσθε τῶν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμή, προσκύνησις, σὺν τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

17/19 Γαλ. ε', 24. 23 κῶδ. *ὑμᾶς*. 29 Κορινθ. 1, ιδ', 40. 35 κῶδ. *διαμορφούμεθα*. 39 κῶδ. *περιβαλλέσθαι*.

15 κῶδ. *περισσωτέρως*. 34 κῶδ. *εὐθυμεῖσθε*. 35 κῶδ. *διαγγέλλουμεν*. 36 κῶδ. *ἕξυτε*. 38 κῶδ. *ἐπιτεύξησθε*.

ΚΑΤΗΧΗΣΙΣ ϞΒ'

Παραινετική, καὶ τὸ πῶς δεῖ ἀνθίστασθαι ταῖς προσβολαῖς τοῦ διαβόλου.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἐμοὶ μὲν τὸ λαλεῖν οὐκ ὀκνηρόν, ὥς φησιν ὁ λόγος· ὑμῖν δὲ τὸ ἀσφαλές, εἴγε καὶ ἀσφαλίζεσθε ἐν τῇ ἀκροάσει τῶν ταπεινῶν μου λόγων. μὴ γὰρ ὅτι ἀπὸ στόματος ῥυπαροῦ καὶ ἀσθενοῦς ψυχῆς λαλεῖται, ὃ λαλεῖται, ἀλλ' ὅτι συμφερόντως καὶ σωτηρίως καὶ διὰ τὴν ἐμπιστευθεῖσάν μοι ἀναξίως ἀρχὴν δέχεσθε καὶ ἐνωτίζεσθε, βελτιοῦσθε καὶ προκόπτετε ἐπὶ τὰ μείζονα καὶ τελεώτερα· τοῦτο γὰρ τὸ ζητούμενον, καὶ διὰ τοῦτο ὁ κόπος μου καὶ ὁ μόχθος, ἡ καθημερινὴ ἐπισύστασις περὶ ὑμῶν καὶ φροντίς μου. εἰ γὰρ καὶ οὐκ εἰμὶ ἱκανὸς οὔτε ἄξιος φθέγξασθαι ἐκεῖνα τὰ ἀποστολικά, τὸ "τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι"; ἀλλ' οὖν διὰ τὸν ἐπηρτημένον μοι κίνδυνον τῆς προστασίας, διὰ τὸν φόβον τῶν κολάσεων, διὰ τὸ ζηλοτυπεῖν με τὴν ὑμῶν σωτηρίαν καὶ προκοπὴν τιτρώσκομαι καὶ βάλλομαι καὶ καίομαι ἐπὶ ἑνὶ ἑκάστῳ ὑμῶν, ἵνα πάντες σῴζοισθε, ἵνα μηδεὶς ἀπόληται. πῶς δὲ ἂν ἄλλως τοῦτο γένοιτο, ἢ ἐκ πολλῆς προσοχῆς καὶ νήψεως καὶ τῆς καθ' ἑκάστην ἀκροάσεως, εὐταξίας τε καὶ συμφωνίας, ὁμοψυχίας τε καὶ συννεύσεως, τηρήσεως ἀκριβοῦς τῶν ἐντεταλμένων καὶ μηδὲ τοῦ τυχόντος παρορᾶν τῶν ὀφειλόντων κατορθοῦσθαι εἰς δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ;

Λοιπὸν σκοπείτω ἕκαστος καὶ βλεπέτω, ὅπως στήκῃ ἑδραῖος καὶ ἀμετακίνητος ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν τῇ ὁμολογίᾳ τῆς ὑποταγῆς αὐτοῦ, ἐν τῇ ὁδῷ τῶν μαρτυρίων τοῦ Χριστοῦ, μὴ ἐκκλίνων εἰς δεξιά, ἢ εἰς ἀριστερά, ἀλλ' ὁδῷ βασιλικῇ πορευόμενος· μηδ' ἀπονυστάζων κατὰ ψυχὴν ἐν τῇ ὀλιγωρίᾳ τῆς ὑπομονῆς, ὡς ἂν μὴ προσκόψῃ πρὸς λίθον συμπτώματος τὸν πόδα αὐτοῦ· μηδέ τι φρονῶν ἢ ποιῶν ἐξ αὐταρεσκείας, μᾶλλον δὲ προσπαθείας, καὶ γινόμενος τοῦ νόμου νομιμώτερος καὶ τοῦ κανόνος εὐθύτερος, μᾶλλον δὲ εὐθύτερος, μᾶλλον δὲ στρεβλότερος καὶ ἀλλοτριώτερος. εἰ γάρ μοι καὶ ὁρᾶσθε, ἀλλ' οὐ πάντοτε καὶ ἐν παντὶ τόπῳ· θεοῦ γὰρ μόνου τοῦτο, τοῦ πάντα ἐφορῶντος καὶ ἐξετάζοντος. ὥστε οὐκ οἶδα μή τι κρύβδην κατὰ τὰς ἁμαρτίας μου ἰδιοπραγοῦντες, μᾶλλον δὲ φιλοπαθοῦντες, ἐνέχεσθε εἰς πτῶμα ἁμαρτίας, εἰς ὄλισθον ψυχῆς. σκοπεῖτε διὰ ταῦτα, φοβεῖσθε, τρέμετε, ὡς ἔτι ἐξ οὐρίας πλεῖτε· μέμνησθε ναυαγίου, κατὰ τὸ εἰρημένον, μιᾷ καιροῦ ῥοπῇ λαῖλαψ, καταιγίς, πνεῦμα πονηρόν, χειμών, ὄλεθρος, ἀπώλεια, θάνατος· ὡς ἔτι εἰρήνη καὶ ἀσφάλεια δοκεῖ εἶναι, αἰφνιδίως ταραχή, μάχη, πόλεμος, σφαγή, καὶ τό γε ἐλεεινότερον οὐ σώματος, ἀλλὰ ψυχῆς. ὑποστέλλεται ὁ δόλιος καιρῷ τινι, ἵν' ἀμεριμνίαν δῷ, εἶθ' οὕτως εἰσπηδήσας θᾶττον περιτρέψειε τὸν λογισμὸν καὶ ἀπολέσειεν. οὐκ ἔστιν ἀμεριμνία, οὐκ ἔστιν ἀνέσεως καιρός. πολλοὺς πρὸς αὐτῷ τῷ λιμένι φθάσαντας τῆς σωτηρίας ὑποβρυχίους πεποίηκεν· πολλοὺς εἰς αὐτὰς τὰς τοῦ οὐρανοῦ ἀψῖδας ἀνιόντας διὰ μικρᾶς ἀμελείας εἰς τὴν γῆν κατήγαγε τῆς ἀνομίας· πλείστους ἀρετῶν θησαυροὺς ἐκένωσεν· πολλοὺς ἀγῶνας πνευματικοὺς ἀπεσύλησε καὶ πτωχοὺς ἀποκατέστησεν. τί λοιπὸν εἴποιμεν ἡμεῖς ὡς ἀληθῶς οἱ πτωχοὶ καὶ πένητες, οἱ ἀσθενεῖς καὶ ἄνανδροι, οἱ νέοι καὶ ἄνηβοι, οἱ ὀλιγοχρόνιοι καὶ ὀλιγοκάματοι πρὸς τὴν ἄσκησιν; θαῤῥήσωμεν ἄρα ἢ φθεγξώμεθα, ἢ γρύξωμεν, εἰ μὴ βοηθοίμεθα ἄνωθεν; οὐχὶ ἄρδην εἰς γῆν ἰδιορρυθμοῦντας ἀπωλέσειε καὶ συμπτώσειεν ὁ πολυμήχανος ἐχθρός; ἀλλ' ἕως πότε λοιπὸν προσπαθήσωμεν; ἕως τίνος στήσωμεν βουλὰς καὶ τρόπους οὐχὶ ὑπὲρ σωτηρίας, ἀλλὰ κατὰ

---

1 Mai, Novae patrum bibliothecae τ. IX, pars II, σ. 26-31. 8 ἀπὸ P, ὑπὸ V. 10 σωτηρίως καὶ συμφερόντως διὰ V. 13 τελειότερα V. 18/20 Κορινθ. 2, ια', 29. 25 *ἀπόλλυται* P. 29 *συνεύσεως* P. 35 ἐν τῇ πέτρᾳ τῆς πίστεως] πρβλ. Κορινθ. 1, ι', 4 || ὁμολ. τῆς ὑποταγῆς] Κορινθ. 2, θ', 13. 36 μαρτ. τοῦ Χριστοῦ] Κορινθ. 1, α', 6

3 λίθον συμπτώματος] Ῥωμ. θ', 33. 8 *ὁρᾶσθαι* P. 33 εἴπομεν V. 36 θαρρήσομεν V. 37 φθεγξόμεθα ἢ γρύξομεν V. 41 προσπαθήσομεν, στήσομεν V.

τῆς σωτηρίας ἡμῶν; παῤῥησιάζεσθε, ἀκούω, οὐχ οἱ πάντες, ἀλλ' οἱ παῤῥησιαζόμενοι, καὶ οὐ φοβεῖσθε ἀπὸ τοῦ πατάσσοντος ἀγγέλλου ἀορασίᾳ; βλέπετε γὰρ ἀναιδῶς εἰς ἀλλήλους, λογολεσχεῖτε καὶ γελοιάζετε, τινὲς δὲ καὶ συμπλέκεσθε, καθὼς δεδήλωταί μοι, χερσὶ χεῖρας καὶ στόμα πρὸς στόμα, παρειὰν πρὸς παρειάν, τὸ θρήνους ἄξιον. "ἀποδήσει γάρ τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια", φησίν, "οὐ κατακαύσει; ἢ ἐπ' ἀνθράκων πυρὸς περιπατήσει, τοὺς δὲ πόδας οὐ καταφλέξει"; οὕτως ὁ τὰ τοιαῦτα ποιῶν οὐκ ἀτιμώρητος οὐδ' ἀδιάπτωτος διαμένει. ὅλως ἀκούεταί τι τοιοῦτον ἐν ὑμῖν; ὅλως τολμᾶται ἐν τοῖς σταυρώσασιν ἑαυτοὺς τῷ κόσμῳ, ἐν τοῖς νενεκρωμένοις τῇ ἁμαρτίᾳ; ὅλως ἀνανεύετε εἰς πρόσωπα ἀλλήλων; ὅλως ἐπιδίδετε λόγῳ λόγον διαθέσει τοιαύτῃ; καὶ τίς ὁ ἐλεῶν τὸν αὐτοβόθριστον; καὶ τίς ὁ μὴ θρηνῶν τὸν αὐτοφόνευτον; καὶ τίς ὁ ἀνεχόμενος τὸν λυμαινόμενον; μήτε ἀκούσαιμι τὰ τοιαῦτα, μήτε ἴδοιμι πονηρὸν πραττόμενον ἐνώπιον ὑμῶν. πονηρὸν δὲ καὶ τὸ φιλοκαλεῖν τὸ πρόσωπον καὶ τὸ καλοφορεῖν, τὸ στιβίζεσθαί τε καὶ γραμμίζεσθαι, οἷον αἱ πορνευόμεναι. καὶ οὕτως γὰρ βλέπω τινὰς στοιβάζοντας τὸ ζῶσμα καὶ διευθετοῦντας τὸ ἱμάτιον, καὶ τὸ βάδισμα στρηνιστικὸν κινοῦντας, καὶ τὸν λόγον ἐκλυτικὸν προβάλλοντας· οἷς παραγγέλλω μηκέτι τὰ τοιαῦτα πράσσειν, ἐπεὶ "ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξει" ὁ λόγος· οὐ γὰρ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομὴν τέθεικεν ἡμᾶς ὁ θεὸς τοῦ λαοῦ τούτου. διὸ φυλάττετε τοὺς νόμους· οἱ διδάσκαλοι τοὺς μαθηματευομένους νουθετεῖτε καὶ διορθοῦσθε. οὕπω γὰρ λέγω, ὅτι περὶ ὑμῶν τι τοιοῦτο κατοπτεύεται καὶ οἷον ἀντὶ ἰατροῦ ὅτι γίνεταί τις τραυματιστής, ἀντὶ φωστῆρος σκοτήρ, ἀντὶ ὁδηγοῦ πλανήτης, ἀντὶ σωφρονιστοῦ παράφρων, ἀντὶ σωτῆρος ἀπωλείας αἴτιος· οἱ γὰρ διδάσκαλοι ὑποτύπωσις εὐσεβείας, ὑπογραμμὸς σωτηρίας, πάσης ἀγαθοεργίας εἰκονογραφία τοῖς μαθηταῖς πρόκεινται· διὰ τοῦτο γὰρ καὶ παραδίδονται, ἵνα τοῦ καλοῦ τῶν διδασκάλων μετάσχωσι τρόπου· εἰ δὲ τὰ ἐναντία, ἐρρέτωσαν καὶ διαχωριζέσθωσαν, ἵνα μὴ τῆς οἰκείας ὥρας μεταδιδοῖεν τοῖς ὑγιαίνουσιν. οὕπω θέλω τὰ τοιαῦτα λέγειν, ἀλλ' ἡ βία με κατεπείγει. καὶ γοῦν τίθημι ὅρον· μηδεὶς ὑποπτευθείη ἔτι, εἴτε ὁ διδάσκαλος μαθητήν, εἴτε μαθητὴς διδάσκαλον, εἴτε ἀδελφὸς ἀδελφόν, ἄνευ τοῦ κοινοῦ ἀσπασμοῦ, ἢ ἀσπαζόμενος, ἢ περιπλεκόμενος, ἢ ὠθῶν, ἢ ἀντωθούμενος, ἢ ὑβρίζων καὶ ἀνθυβριζόμενος· ἀλλὰ καὶ μέχρι τοῦ τυχόντος λόγου τε καὶ βλέμματος ἀκρίβειαν ἐλκέσθω, ἵνα κατευθύνοντες πορευώμεθα, ἵνα ὁ θεὸς χαίρῃ ἐπὶ τῇ καλλίστῃ διαγωγῇ ἡμῶν καὶ ἔτι συνιστᾷ καὶ συγκροτῇ ἡμᾶς τοὺς ταπεινούς.

Ταῦτά μοι καὶ περὶ τοῦ ἐξαγορεύειν ἠσφάλισται· ἀλλ' ὑμεῖς τοιοῦτοι ἐστέ, καὶ ὅτι τὰ μὴ ἐξαγορευόμενα ὑπό τινος, ἀφ' ἑαυτῶν ἐκζητοῦντες καὶ ἀνερευνῶντες, τοῦτο ἐκεῖνο λαλεῖτε πρὸς ἀλλήλους καὶ ἐνίετε τὸν ἰὸν ἐν ταῖς καρδίαις ὑμῶν, κνήθοντες καὶ κνηθόμενοι ὑπὸ τῶν παθῶν καὶ πορνεύοντες τῇ γλώσσῃ, ὃ τάχα δύνασθε ποιεῖν ῥᾳδίως. εἴθε δὲ τῇ γλώσσῃ καὶ μὴ τῇ ψυχῇ· εἰ γὰρ καὶ ἄνευ τοῦ ταράσσοντος ἀφ' ἑαυτῆς ἡ φύσις τὰ κύματα καὶ τοὺς βρασμοὺς τῶν ἐπιθυμιῶν ἀναφέρει, τί δὲ καὶ οὐ πείσεται ὁ τῷ πυρὶ ὕλην ἐπιβάλλων καὶ τῷ θηρίῳ ἐρεθισμοὺς ἐπεισάγων; ὦ τάλανες, ὦ φιλόπορνοι, ἀλλ' οὐ φιλόθεοι, ὦ ἐκζητηταὶ οὐ δικαιοσύνης, ἀλλ' ἀνομίας, τολμᾷς καθίσαι καὶ συλλαλῆσαι καὶ ἐκμαθεῖν τί πέπονθεν ὁ δεῖνα καὶ πῶς τόδε τὸ πάθος ἀνάπτει καὶ εἰς τίνα φλέγει; καὶ τὰ αἰσχρότερα τῶν ῥημάτων παρίημι λέγειν, ἵνα μὴ χραίνων ἑαυτὸν ὀφθῶ. ἀλλ' αὐτοὶ καὶ νέοι ὄντες καὶ ἀγένειοι καὶ φλογιζόμενοι ὑπὸ τῶν παθῶν ταύτας τὰς ὕλας ἀνάπτετε καὶ πυρκαϊὰν κατὰ τῆς ἑαυτῶν ψυχῆς ἐγείρετε μεγάλην; διὸ φείσασθε καὶ ἐμοῦ καὶ ἑαυτῶν, ὅτι "θεὸς ἐκδικήσεων

2 οὐχὶ πάντες V. 3/4 πατάσ. ἀγγ. ἀορασίᾳ] Γενέσ. ιθ', 11. 8/11 Παροιμ. ς', 27, 28. 9 *φησὶν* P, αὐτοῦ V. 25 γραμματίζεσθαι V. 30 κιμῷ P. 31 Ψαλμ. λα', 9. 33 *τέθηκεν* P.

4 ἐρρέτωσαν] *αἱρέτωσαν* P, αἱρέσθωσαν V. 6 μεταδίδοιεν P. 17 ὑμῶν P. 30 δαὶ V. 43 Ψαλμ. ιγ', 1.

κύριος" καὶ ἐκ τῶν τοιούτων ἡ καταστροφὴ τῆς ψυχῆς. διατί ἵνα ζητῇ τις τὰ τοιαῦτα μανθάνειν, ἐφ' ὧν οὐκ ἔλαβεν ἐξουσίαν, ἐφ' ᾧ ἀπόλλυται; διατί ἵνα μὴ φράσσωμεν τὰς ἀκοάς, ἡνίκα ἀκούσωμέν πως ποτέ; οὐδὲ ἐγὼ αὐτὸς οἶδα τὰ τῶν τινῶν, ὡς λέγουσιν αὐτοὶ ἐκεῖνοι, αὐτοὶ οἱ συνεργοὶ τοῦ διαβόλου φημί, τὰ τῶν ὁμηλίκων καὶ συνεταίρων. ἔκστηθι, οὐρανέ, ἐπὶ τοῦτο. καὶ οὐ μὴ ἐκζητήσω, καὶ οὐ μὴ ἐπιτιμήσω, καὶ οὐ μὴ καύσω, εἰ μὴ ἀναστείλητε; ναί, ναί, δοκεῖτέ μου τῆς ἐλαφρίας καταφρονεῖν. οὐχ οὕτως ἐγώ, εἰ καὶ ἀνέχομαι, ἀλλὰ καὶ καιρῷ ἀνατείνομαι ὡς πῦρ καῖον πρὸς ὑμᾶς. εἰ καὶ φείδομαι, ἀλλὰ καιρῷ διανίσταμαι ὡς ξίφος καθ' ὑμῶν, μὴ καὶ Φινέες τις γένοιμι καὶ ἐκκεντήσω· τινὰ ἐν ξίφει ἐπιτιμίου τῶν συμπλεκομένων ἐν τοιούτοις λόγοις, μὴ καὶ Μωσῆς τις χρηματίσω ἀποκτένων καλῶς τὸν ἔκφυλα καὶ ἀλλότρια λαλοῦντα. ἀλλ' ἵνα μὴ τοῦτο γένηται, παρακαλῶ καὶ δέομαι, δυσωπῶ ἀπὸ καρδίας καὶ κινήσεως ψυχῆς μου, παύσασθε ἀπὸ τῶν κακιῶν ὑμῶν, ἀργήσατε ἀπὸ τῶν πονηριῶν ὑμῶν, καὶ οὐ μόνον περὶ ὧν ὁ λόγος, ἀλλὰ καὶ περὶ πάσης ἁμαρτίας καὶ ἀταξίας, εἰς τὸ τὰς προόδους ἀκαίρως ποιεῖσθαι, εἰς τὸ προφασίζεσθαι καὶ ποιεῖν τὰ θελήματα τῶν διανοιῶν ὑμῶν, κατά τε βρῶσιν καὶ πόσιν ἢ ἄλλην τινὰ ἀνάπαυσιν, λούσματος ἢ χρίσματος ἰατρικοῦ ἢ ἄλλου τινός, τοῦ μὴ κατὰ χρείαν πολλὴν ἐπιδεομένου. οὔπω ἀκμὴν γεγηράκατε, οὔπω ἐπολυχρονίσατε ἐν τῇ ἀσκήσει. ἀκμὴν οὐδὲ προσήψασθε οἱ μὲν τῶν κόπων· εἰ καὶ προσήψασθε, ἀλλὰ μικρόν. καὶ ἵνα τί ζητεῖτε ταῦτα καὶ ἐκεῖνα; καὶ οὐκ ἀφιλοστόργως οὐδὲ ἀσυμπαθῶς κινούμενος, ἀλλὰ καὶ μετὰ πολλῆς καὶ σφοδρᾶς εὐσπλαγχνίας λελάληκα. ποιεῖτε οὖν τὰ προσήκοντα, ἵνα τὰ τοιαῦτα πράσσοντες μᾶλλον εὐμαρῶς διεξανύσητε τὸν βίον ὑμῶν. Χριστὸς ὑμᾶς δυναμώσειεν, αὐτὸς εὐσθενώσειεν, κραταιώσειε νῦν τε καὶ πρὸς τὸ ἐξῆς, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

5 ἀκούσωμεν V. 7 αὐτοὶ] ἐλλείπει τῷ V.

ΚΑΤΗΧΗΣΙΣ ΝΓ'

Παραινετικὴ ἅμα καὶ ἐπαινετική.

Πατέρες μου καὶ δελφοὶ καὶ τέκνα, ὥσπερ τις γεωργὸς ὁρῶν τὴν ἑαυτοῦ ἄρουραν θάλλουσαν καὶ εὐθηνοῦσαν, ἣν ἐξ οἰκείων πόνων καὶ ἱδρώτων κατέσπειρε, χαίρει καὶ ἀγάλλεται, οὕτω κἀγὼ ὁ ταπεινὸς καὶ ἁμαρτωλός, εἰ καὶ οὐκ ἐξ οἰκείων μόχθων καὶ καμάτων μου, ἀλλ' οὖν ἥδομαι καὶ εὐφραίνομαι ἐπὶ τῇ ὑμετέρᾳ πνευματικῇ καρποφορίᾳ, ἣν κύριος ὁ θεὸς ἡμῶν τῇ συνεργείᾳ τῶν εὐχῶν τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν ηὔξησε καὶ ἀνατέθηλε καὶ κατεπλάτυνε καὶ ἐξέτεινεν εἰς τοσοῦτον ἀριθμὸν ἀδελφότητος. καὶ γὰρ δίκαιον μὲν ὁμολογεῖν τὴν ἀλήθειαν, ἐφ' ὅσον ὁρῶ ὑμᾶς χάριτι Χριστοῦ βελτιωθέντας καὶ ἐν προκοπῇ μᾶλλον καὶ μᾶλλον γεγενημένους, διὰ τῆς κατὰ μικρὸν ἐπ' ἀρετῇ ἐπαυξήσεως ὑμῶν. καὶ ὑμεῖς μάρτυρες τῶν λεγομένων· οὐχὶ γὰρ ἄρτι πλεῖον βλέπετε οὖσαν τὴν εὐταξίαν καὶ τὴν εἰρηνικὴν κατάστασιν ἐν μέσῳ ὑμῶν; οὐχὶ μᾶλλον συνεδέθητε καὶ συνεφράχθητε τῇ μιᾷ ψυχῇ τε καὶ καρδίᾳ εἰς πίστιν ἀκράδαντον καὶ συνάφειαν ἀδιάσπαστον;· οὐχὶ μειζόνως ἄρτι ἐκινήθητε πρὸς τὴν ἐργασίαν τῶν ζωοποιῶν τοῦ Χριστοῦ ἐντολῶν, διὰ τῆς κατὰ τὸ ἔργον τῶν χειρῶν ὑμῶν ἐπιδόσεως, ὅπερ ἐστὶν ἀποστολικὸν καὶ πατρικὸν τὸ καύχημα καὶ τῆς κατὰ ψυχὴν ἐπιδηλωτικὸν διεγέρσεως; ναί, ὄντως ὁμολογῶ καὶ συνεπισφραγίζομαι· οὔτε γὰρ μερικαὶ φιλίαι εἰσὶν ἐν ὑμῖν, διαιροῦσαι καὶ διαχωρίζουσαι τὸ σῶμα τῆς ἀδελφότητος πρὸς ἀρέσκειαν τοῦ διαβόλου, οὔτε συσκηνίαι καὶ φατρίαι αὐτὸ τοῦτο περιεργαζόμεναι, οὐ μὴν αὐταρεσκίαι καὶ ἰδιορρυθμίαι πρὸς ὅπερ ἕκαστος βούλοιτ' ἂν πορεύεσθαι ἐξ ἐναντίας τῆς ὁμονοητικῆς καὶ κατὰ θεὸν ζωῆς ὑμῶν, οὔτε μὴν ἀδιαφορίαι καὶ

7 κῶδ. *εὐθυνοῦσαν*.

ἀφέσεις πρὸς τὸ φέρεσθαι καὶ ἀποφέρεσθαι ὧδε κἀκεῖσε ἐπὶ ἀσυστροφίᾳ καὶ διαλύσει τοῦ παντός, ἀλλ' εὐδοκίᾳ θεοῦ τάξει τε καὶ καταστάσει, σταθμῷ καὶ μέτρῳ καὶ κανόνι ἐπὶ πᾶσι καὶ ἐν πᾶσι καὶ κατὰ πάντα, βρώσει λέγω καὶ πόσει, ἐγρηγόρσει καὶ καθευδήσει, ἐργασίᾳ καὶ ἀναπαύσει, προόδῳ τε καὶ εἰσόδῳ, ὁμιλίᾳ τε καὶ σιωπήσει, ἀναγνώσει τε καὶ ψαλμῳδίᾳ, προσευχῇ τε καὶ ἡσυχίᾳ, ἐνδύσει τε καὶ ὑποδήσει. οὔτε οὖν πᾶσιν ἴσως πάντα ἐπιτελεῖται, ὅτι μηδὲ πάντες ἴσοι κατά τε ἡλικίαν καὶ ἕξιν, ἀνατροφὴν καὶ γέννησιν, ἀρετήν τε καὶ ἔλλειψιν, μακροχρονίαν τε καὶ ὀλιγοχρονίαν, ἀστειότητά τε καὶ ἀγροικότητα, εὐεξίαν τε καὶ ἀῤῥωστίαν, καὶ ταύτην ἥνπερ ἂν καὶ εἴποιμεν. οὔτε ἔν τινι παροπτέον τὸ κατ' ἀξίαν, ἐπειδὴ πάντες μέλη οἰκεῖα τοῦ ἑνὸς ὅλου σώματος, εἰ καὶ οὐ τὴν ἴσην τιμὴν ἀπαιτεῖ ὁ λόγος· ἄλλως γὰρ ὀφθαλμός, ὡς προβεβλημένος ὅλον τὸ σῶμα δίκην λύχνου, δοξάζεται, καὶ ἄλλως χείρ, ὡς ὑπουργικὴ τῆς δεούσης ἐργασίας, καὶ ἑτέρως πούς, ὡς ἐπιστηρικτικὸς τοῦ ἐπικειμένου αὐτῷ βάρους πάντων τῶν οἰκείων μελῶν. καὶ οὗς μὲν ἀκούει, ῥὶς δὲ ὀσφραίνεται, λάρυγξ τε σῖτα γεύεται, καὶ ἓν ἕκαστον ἑτεροτρόπως κινούμενον τὴν κοινωφελῆ χρείαν συνεισφέρει, μὴ κατεξανιστάμενα ἀλλήλων, μεμνηκότα δέ, καθὼς ὑπὸ θεοῦ κέκληται ἕκαστον. οὕτως οὖν καὶ ἐφ' ὑμῖν ὁρᾶται καὶ γνωρίζεται· σῶμα γὰρ ἐστὲ Χριστοῦ καὶ μέλη, ἐκ μέρους συναρμολογούμενοι καὶ συμβιβαζόμενοι τῇ συναφείᾳ τοῦ ἁγίου πνεύματος.

Λοιπὸν τὸ ζητούμενον, ἵνα κατὰ τὸ τέλος τῆς γεηπονίας, ὅπερ ἐστὶν ὁ ἀμητὸς τῶν καρπῶν καὶ ἡ ἐν ἀποθήκαις ἀσφάλεια, φθάσωμεν τελειῶσαι καὶ ἡμεῖς τὸ ἔργον ἡμῶν καὶ ἀπαρτῆσαι καὶ οἷον ἀποδραγματίσαι καὶ ἀπαλωῆσαι καὶ ἀποθέσθαι διὰ θανάτου, ἵν', ἅπερ ἐσπείραμεν ἐν δάκρυσιν ἐνταῦθα, ἐν ἀγαλλιάσει θερίσωμεν ἐν τῷ μέλλοντι αἰῶνι, εὐφραινόμενοι καὶ ἐναπολαύοντες τῶν ἱερῶν πόνων καὶ ἀγώνων ἡμῶν, καὶ τοῦτο εἰς ἀπεράντους αἰῶνας καὶ εἰς ἀκαταλήκτους εὐφροσύνας τῶν ἀῤῥήτων καὶ ἀφράστων ἐκείνων ἀγαθῶν. διὰ τοῦτο προσεκτέον καὶ διεγερτέον ἔτι καὶ ἔτι, τέκνα καὶ ἀδελφοί, καὶ μή ποτέ τις ἀπονυστάζειν ἐν ὑμῖν εἰς κακίαν, πάντες δὲ γρηγοροῦμεν καὶ νήφωμεν, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες, ταῖς ἐλπίσι χαίροντες, ταῖς ἑτοιμασίαις τῶν μελλόντων ἀναπαύσεων κουφιζόμενοι, ταῖς προσδοκίαις τῶν ἀκηράτων ἀνταποδόσεων, ὡς ἐπιλανθανόμενοι τῶν παρουσῶν στενώσεων καὶ καταθλίψεων, ἐκβιαζόμενοι ἡμέραν ἐξ ἡμέρας αὐτὴν τὴν φύσιν πρὸς ὑπομονήν, πρὸς καρτερίαν, ὑποτάσσοντες τὴν σάρκα τῷ πνεύματι, νικῶντες ἐν τῷ καλῶς ἡττᾶσθαι, τιμώμενοι ἐν τῷ διὰ κύριον καταισχύνεσθαι, πρωτεύοντες ἐν τῷ τὰ ἔσχατα ἐπιλέγεσθαι, ἐμφαινόμενοι ἐν τῷ διὰ θεὸν ὑποφέρειν τὸ ἀψήφιστον· καὶ οὕτω τρέχοντες, οὕτω πυκτεύοντες, οὕτως ἀγωνιζόμενοι τὸν τῆς δικαιοσύνης στέφανον ἀπολήψεσθε, μετὰ μαρτύρων χορεύσοιτε, μετὰ ὁσίων ἀγαλλιάσοισθε, εἴπερ ταῖς ἁγίαις εὐχαῖς ὑμῶν κἀμὲ τὸν δείλαιον συναντιλάβοισθε, ὡς ἂν εὑρεθείημεν πάντες ἐν τῇ δεξιᾷ τοῦ Χριστοῦ παραστάσει "ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως", ἐν χοροστασίαις ἀγγελικῶν ὑμνολογιῶν, ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων πάντων ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ϛΔ'.

Περι τοῦ γενναίως καὶ ἀνδρείως διανύειν τὸ τῆς ὑποταγῆς σκάμμα, καὶ τοῦ μετὰ φόβου θεοῦ καὶ συνέσεως τοὺς τὰς διακονίας ἀνειληφότας διεξέρχεσθαι, εἰς δόξαν τοῦ προσκυνητοῦ αὐτοῦ ὀνόματος.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ἡ ἡμέρα τῆς κατηχήσεως πάντοτε ἡμέρα εὐφροσύνης καὶ ἀγαλλιάσεώς μοι γίνεται· οὐχ

---

20 κῶδ. *προβεβλημμένος*. 23 κῶδ. *ἕτερος* 25 κῶδ. *ῥὶν*.

1 κῶδ. *ὑμῶν*. 9/10 μελλόντων] οὕτως ἐν τῷ κώδικι. 13 κῶδ. *καταθλήψεων*. 27 Ψαλμ. μα', 5.

οὕτω γὰρ μνήστωρ εἰς ὁμιλίαν τῆς μνηστευθείσης αὐτῷ ἐπείγεται ἐλθεῖν, ὡς ἐγὼ ἐρῶ ἀεὶ τῆς συντυχίας ὑμῶν ἀποπληροῦσθαι· εἴθε δὲ καὶ ὑμῖν τὸ ἴσον εἴη, πρὸς ἀντιπόθησιν ἀκροάσεως τοῦ ταπεινοῦ μου λόγου. ἀλλ' ὑμῖν μὲν οὐκ οἶδ' ὅσον ἔξει τὸ ὠφέλιμον, ἐμοὶ δὲ καὶ λίαν· ἀνακαλύπτω γάρ μου τὰ τῆς ταπεινῆς ψυχῆς, κοινωνοὺς ὑμᾶς λαμβάνων τῶν εἴτε λυπηρῶν, εἴτε χρηστῶν. φέρει δὲ τοῦτο ῥαστώνην οὐ μετρίαν. εἶθ' οὕτως ὑπομιμνήσκω ὑμᾶς τὰ περὶ τῆς κοινῆς σωτηρίας τῶν παρισταμένων ἡμῖν ἀγώνων, προθυμῶν ἕνα ἕκαστον εἰς τὴν ἀσκητικὴν αὐτοῦ ζωήν, εἰς τὴν μακαρίαν αὐτοῦ ὑποταγήν, εἰς τὴν ἐργασίαν τῆς ὑπακοῆς, εἰς τὴν ἔνστασιν τῆς ὑπομονῆς, εἰς τὴν κτῆσιν τῶν ἀρετῶν, εἰς ὅ τι ἄλλο τύχῃ τῶν δεόντων καὶ ἐπιζητουμένων.

Ταῦτα οὖν οὐκ ἀξίως ἐραστὰ καὶ ὑμῖν καὶ ἐμοί; καὶ πῶς οὐχὶ καὶ μάλα; διὰ τοῦτο χαίρομεν κατηχοῦντες καὶ χαίρετε ἐπαΐοντες, ἕνθους γινόμενοι ἀμφότεροι, ὅτι ἀξιούμεθα ἐν τοιούτῳ μακαρίῳ ἀξιώματι γενέσθαι, λαλεῖν καὶ μεριμνᾶν καὶ πυκτεύειν, οὐχ ὅπως ἐμπορευσώμεθα φιληδόνως τὸν βίον τοῦτον, οὐχ ὅπως πλουτήσωμεν πλοῦτον τὸν ἀπολλύμενον καὶ κάτω μένοντα, οὐδ' ὅπως γήμωμεν καὶ τεκνοποιήσωμεν, ἢ ἐπιτύχωμεν τοῦδε ἢ τοῦδε τοῦ ἐπικήρου κτήματος, ἢ ἀξιώματος, ἤ τινος ἄλλου τῶν ὑλικῶν καὶ φθειρομένων· ἀλλ' ὅπως εἰς δόξαν αὐτοῦ τοῦ πεποιηκότος καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος ἡμᾶς θεοῦ ἐν τῷ παρόντι αἰῶνι διαβιώσαντες κληρονόμοι τῶν αἰωνίων ἀγαθῶν γενώμεθα· οὗτινος ἕνεκα κατελείψαμεν γονεῖς, ἀδελφούς, φίλους, ἰδίους, γένος, πατρίδα, ὕπαρξιν, ἀξίαν, ἕκαστος καθ' ὃ ἦν κεκτημένος· καὶ γάρ τις καὶ γυναῖκα καὶ τέκνα ἐγκαταλέλοιπεν. μακαρία τοίνυν ἡ διαγωγὴ ὑμῶν αὕτη, καὶ τρισμακαρία ἡ πολιτεία, καὶ πανύμνητος ἡ διαβεβαίωσις. καὶ τίνες ἐσμὲν καὶ ἐκ ποίων ἀγαθῶν εἰς τόδε κατηντήσαμεν τὸ μέτρον, ἀλλ' ἢ ἐκ μόνης τῆς περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρώπου κηδεμονίας καὶ φιλοδώρου περιποιήσεως; ὃς ἐξελέξατο ἡμᾶς ἐκ τῆς σκοτεινῆς συγχύσεως τοῦ ματαίου κόσμου τούτου καὶ ἔθετο εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς τῆς ἀγγελικῆς καὶ οὐρανίου διαβιώσεως. τί οὖν λοιπὸν ἀνταποδώσωμεν αὐτῷ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν; ἢ τὸ ψάλλειν μετὰ τοῦ θείου Δαυὶδ ἐν προθέσει ἀληθινῇ, "ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι". τὸ δὲ ποτήριον μαρτυρίου λῆψις ἐστίν. τοίνυν, εἰ καὶ οὐκ ἐν αἵματι τὸ μαρτύριον ἡμῶν, ἀλλ' οὖν διὰ συνειδήσεως ἑκάστοτε ἀθλεῖτε, μὴ κάμπτοντες γόνυ τῇ Βάαλ, φημὶ δὴ τῇ ἡδονῇ τῆς σαρκός, μὴ ἐνδιδόντες πρὸς τὰς ἐπαγωγὰς τῶν ἀοράτως καὶ ὁρωμένως ἐπισυμβαινόντων πειρασμῶν, τυπτόμενοι καὶ φέροντες τοῖς λογισμοῖς, καιόμενοι ταῖς στερήσεσι τῶν ἐπιθυμιῶν καὶ θελημάτων, ξεόμενοι ταῖς ἐλεγκτικαῖς καὶ ἐπιτιμητικαῖς ἀνενδότοις φιλεργίαις.

Ὦ καλλιμάρτυρες, ὦ στρατιῶται τοῦ παμβασιλέως Χριστοῦ, ὦ βιασταὶ καὶ ἁρπακταὶ τῆς βασιλείας τῶν οὐρανῶν, χαίρετε, εὐθυμεῖτε, ἀνδρίζεσθε, ἐπείγεσθε, τρέχετε, εὐδρομεῖτε, εἰσέρχεσθε καὶ μετέρχεσθε ἐκ δυνάμεως εἰς δύναμιν τῶν ἱερῶν ἐπιτηδευμάτων· ἀναβαίνετε καὶ ὑψοῦσθε εἰς τὰ τῶν ἀρετῶν ὕψη, μετεωροπορεῖσθε ταῖς οὐρανίαις θεωρίαις. οὕτω καθ' ἑκάστην ποιεῖτε, οὕτως ἀδιαλείπτως πράττετε, μέχρις ἂν ἔλθῃ τὸ πέρας τοῦ βίου, μετάγον ὑμᾶς εἰς "τὴν ἡτοιμασμένην ὑμῖν χαρὰν καὶ ἀγαλλίασιν ἀπὸ καταβολῆς κόσμου". καί γε μακάριος καὶ ὑπερευλογημένος ὁ νηφαλέως ἀκούων καὶ εἰς ἔργον προάγων τὰ λαλούμενα, καὶ πῦρ πυρὶ συνεισβάλλων ἐν τῇ καρδίᾳ, καὶ ἀνάπτων πυρσὸν θείας ἀγάπης, ἀπὸ γῆς εἰς οὐρανὸν ἀφικνούμενον· ἐλεεινὸς δὲ καὶ πανάθλιος, ὃς τὰς ἀκοὰς ἀποβύσσων, ἀγαπῶν ματαιότητα καὶ ζητῶν τὴν προσωρινὴν καὶ ἀπολλυμένην ἀπόλαυσιν τῆς σαρκός. ἀλλ' ἵνα μηδεὶς ἡμῶν τῆς ἐναντίας μερίδος ᾖ, μὴ μόνον τὰ ἑαυ-

17 κῶδ. *τύχει*. 22 κῶδ. *ἠξιώμεθα*.

8/9 Ψαλμ. ριε', 4. 22 πρβλ. Ματθ. ια', 12. 28 κῶδ. *μεταιωροπ*. 32/33 πρβλ. Ματθ. κε', 34. 39 ἀγαπῶν ματαιότ. καὶ ζητῶν] πρβλ. Ψαλμ. δ', 3.

τοῦ ἀλλὰ καὶ τὰ τῶν πλησίον ἕκαστος οἰκειοπαθῶν (καὶ γὰρ μέλη ἐσμὲν ἀλλήλων) φροντίσει καὶ ἀγαπήσει καὶ ἐπιδοίη λόγον, χεῖρα, τρόπον, βοήθειαν, καθόσον οἷόν τε· οὕτω γὰρ χαίρει κύριος καὶ ἡμεῖς οἱ ἁμαρτωλοί· οὕτω καὶ ἑαυτόν τις βελτιώτερον καὶ ἐνθεέστερον ἀπεργάζεται διὰ τῆς πρὸς τὸν πέλας, μᾶλλον δὲ πρὸς τὸ οἰκεῖον μέλος συναντιλήψεως καὶ ἐπικουρήσεως.

Γρηγόρως οὖν λοιπὸν στῶμεν οἱ δευτερεύοντες, οἱ ἐπιστημοναρχοῦντες, οἱ ἐπιτηροῦντες καὶ μάλιστά γε ἐν ταῖς νυξίν, ὧν πολὺ τὸ ψυχικὸν κέρδος καὶ ὁ μισθός· οἱ ἀφυπνίζοντες, ὧν οὐχ ὁ τυχὼν καὶ ὁ αὐτῶν σωτήριος κάματος· οἱ κανοναρχοῦντες, οἱ ταξιαρχοῦντες, ὧν ἡ ἐργασία ἐπωφελὴς καὶ πολυκερδής· οἱ κελλαρεύοντες, οἱ ἀριστοποιοῦντες, οἱ ἀρτοποιοῦντες, οἱ πρωτοορδινάριοι, αὐτοὶ οἱ τῆς ὀρδινείας, ὧν ἅγιον τὸ ἐργόχειρον· οἱ διακονοῦντες, οἱ δερματοποιοῦντες, οἱ ὑποδηματορράφοι, οἱ ἱστουργοῦντες, ὧν χάρις ἐκ τοῦ ὑψίστου· οἱ μεμβρανοποιοῦντες, οἱ ἁλιεύοντες, οἱ θυροφυλακοῦντες, οἱ καλλιγραφοῦντες, εἴπερ ἀμφοτέρωθεν εὖ γράφουσιν· οἱ ἀροτριῶντες, οἱ ἀμπελουργοῦντες, οἱ κηπουρεύοντες, οἱ οἰκοδομοῦντες, οἱ πλοιοπορροῦντες, οἱ ἐν πάσῃ ἄλλῃ διακονίᾳ, ὧν τὸ ἔργον ἔργον θεοῦ καὶ πρόξενον τῆς αἰωνίου ἀναπαύσεως· μόνον εἰ πάντες, οὓς ἠριθμησάμην, φόβῳ καὶ τρόμῳ, ὡς ὑπὸ θεοῦ τὰς διακονίας εἰληφότες, μετὰ πάσης συνέσεως καὶ εὐταξίας πορεύονται. οὕτω μὲν ταῦτα καὶ πρὸς τὸ παρὸν ὑμῖν διελέχθην, νεαροποιῶν τὸ τῆς ψυχῆς ὑμῶν πρόθυμον, ἵνα μᾶλλον βελτιώτερον γένηται ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΕ′

Κατανυκτική, καὶ περὶ τῆς κοιμήσεως τοῦ κυρίου Ῥαφαήλ, τοῦ ἀληθῶς ὑποτακτίτου.

Ἀδελφοὶ καὶ πατέρες, ἀεὶ μὲν ἐπωφελὴς καὶ σωτήριος ἡ τοῦ θανάτου μνήμη, καὶ δεῖ, εἴπερ ἐφιέμεθα ἀναμαρτήτως ζῆν, καθὼς ὁρίζονται οἱ ἅγιοι πατέρες, ταύτην κατασπάζεσθαι, μάλιστα δὲ ἐν καιρῷ ἐξόδου ἀδελφοῦ ἡμῶν, ὥσπερ καὶ ἐπὶ τοῦ παρόντος· ὁρῶμεν γὰρ πάλιν τὸ ξένον μυστήριον, τὸν ἤδη πρὸ μικροῦ μεθ' ἡμῶν ὄντα ἀπόντα τῷ πνεύματι, τὸν προσφθεγγόμενον ἡμῖν ἀπὸ στόματος σιωπήσαντα ὄντως τὴν τελείαν σιωπήν· οὗ καὶ ἡ φωνὴ ἔτι ἔνηχος ἐν τοῖς ὠσὶν ἡμῶν τάχα ἐνιζάνει. τί οὖν τὸ παράδοξον τοῦτο θέαμα; ὅτι ἐβλέπομεν αὐτὸν καὶ οὐκ ἐβλέπομεν· σαρκὶ μὲν γὰρ ἐβλέπετο, πνεύματι δὲ ἀφίστατο, κείμενος ἀκίνητος, ἀνενέργητος· πνοή, καὶ οὐκ ἦν· λαλιὰ καὶ ὅρασις, καὶ οὐ παρῆν· αἱ ἄλλαι αἰσθήσεις, καὶ οὐδαμοῦ ἐνέργεια ζωτική, ὡς ἐπὶ λίθου ἤ τινος ἄλλου τῶν ἀψύχων δεικνυμένου. ἐνεκύψαμεν δὲ καὶ εἰς τὸν τάφον, ἕκαστος κατιδόντες τοὺς προκεκοιμημένους. τί οὖν ἐκεῖσε εἴδομεν, ἀδελφοί; ἀπαγγείλατε, διδάξατε· οὐχὶ τέφραν καὶ κόνιν; οὐχὶ μελανίαν καὶ δυσωδίαν; οὐ διεφθορότα σώματα; οὐ κρανία σεσηρότα; οὐκ ὀστέα γεγυμνωμένα; οὐχὶ σχηματισμοὺς ἀηδεῖς καὶ ὅλα διόλου σωρείαν ἐλεεινὴν καὶ ἄπευκτον; διεκρίνομεν τοίνυν ἐκεῖ ἀδελφὸν ἀπὸ ἀδελφοῦ, εὐειδῆ ἀπὸ δυσειδοῦς, φιλόκαλον ἀπὸ δυσείμου, νέον ἀπὸ γεγηρακότος; οὐδαμῶς. πάντα ἠφάνισται, πάντα διέφθαρται. μία ἡ ὕλη, ὥσπερ καὶ ἡ φύσις, τεθεώρηται. καί γε εἰ ἐξηρευνήσατό τις ποῦ ποτε ἦν ἐν ἐκείνοις τὸ ἐπιθυμητικὸν τῆς ἡδονῆς, ἢ τὸ ἀπολαυστικὸν τῆς τροφῆς, ἢ τὸ ἀναπαυστικὸν τοῦ ὕπνου, ἤ τινος ἄλλου τῶν κατ' ἔφεσιν σαρκὸς ἐγκειμένων τῷ δυστήνῳ ἡμῶν σαρκίῳ, οὔμενουν γέλωτός φημι, μετεωρισμοῦ τε καὶ φιλιασμοῦ, καλλωπισμοῦ τε καὶ στρηνιασμοῦ, βλακευμοῦ τε καὶ περιεργασμοῦ, οὐδαμῶς εὑρήσει· πάντα γὰρ ἀπέδρασε καὶ συμπεπόρευται τῷ παρελθόντι, εἰς τιμωρίαν αἰώνιον· ὅπερ ἀπείη ἐπί τινος τῶν ἀδελφῶν ἡμῶν λέγειν, καὶ μάλιστα ὅτι ὁ νυνὶ ὁσίως κοιμηθεὶς εἰς ζωὴν ἀτελεύτητον καλῶς ἀμείψας τὰ ἐνταῦθα διὰ τῆς ἀνοθεύτου ὑποταγῆς καὶ ὑπακοῆς αὐτοῦ· νέος, ἀλλὰ

2 μέλη ἐσμὲν ἀλλήλων] πρβλ. Ῥωμ. ιβ′, 5. 3 κῶδ. *ἐπιδοίει.*

23 κῶδ. *σεσειρότα.*

πολιὸς τῷ φρονήματι· μικρὸς τῇ ἡλικίᾳ, ἀλλὰ μέγας τῷ πνεύματι, οὗ οὐκ ἔστιν ἁμαρτία ὡς ἐμὲ γινώσκειν μᾶλλον ὑμῶν σαρκός, καθ' ὅσον οἷόν τε· καὶ τὰ ἔξω δὲ καὶ ὑμῖν διέγνωσται πάντα καλὰ καὶ ἐπαίνου ἄξια. Ῥαφαὴλ ὁ καλός, ὁ εὐγενὴς ὡς ἀληθῶς τῇ τηρήσει τῆς θεομιμήτου εἰκόνος, τολμῶ καὶ λέγειν ὁ ἀξίως ὁμώνυμος τοῦ πρωτοστάτου τῶν ἀγγέλων. τοσοῦτον ἐγὼ περὶ τοῦ παιδὸς ἔχω ἤδη τὴν πληροφορίαν, ἔχοιτε δὲ καὶ αὐτοί· δίκαιον γάρ. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, ὅτι οὕτως καὶ τοιῶσδε μικρὸν ὕστερον καὶ ἡμεῖς παρελευσόμεθα, τὸ αὐτὸ ὅπερ ὁρῶμεν ἐν τοῖς ἀδελφοῖς ἡμῶν πεισόμενοι, ἤγουν ἀποθανούμενοι καὶ προτεθησόμενοι καὶ ἐνταφησόμενοι, οὐ μὴν ἀλλὰ καὶ διαῤῥυησόμενοι καὶ ἀποτεφρωθησόμενοι.

Ἐπεὶ οὖν τοῦτο πάντως καὶ οὐκ ἔστιν, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον, κατὰ τὸ ᾄδόμενον, παρακαλῶ καὶ δέομαι, ὁσίως βιωτεύσωμεν, καθαρῶς πολιτευσώμεθα, ἀνενόχως καὶ ἀκατακρίτως, ἀμολύντως καὶ ἀῤῥύπως, οὐ μόνον τὴν σάρκα, ἀλλὰ καὶ τὴν ψυχὴν ἁγνὴν διαφυλάττοντες, τὴν μὲν ἀπὸ παντὸς πτώματος δουλαγωγοῦντες καὶ ὑποτάσσοντες αὐτὴν τῷ πνεύματι (ὡς ἂν μὴ ἐξαγριαίνοιτο καὶ κατεπανίσταιτο διὰ τῆς ἐπ' ὀμφαλοῦ γαστρὸς κινήσεως, μᾶλλον δὲ καθέλκοιτο καὶ ὑποπιάζοιτο, ἠρεμοῦσα καὶ οὐ σφριγῶσα τοῖς ἐξ αὐταρκείας καὶ εὐταξίας μέτροις καὶ σταθμοῖς ἐπὶ βρώσεως καὶ πόσεως, ὕπνου καὶ ἀναπαύσεως, χαλινουμένη τῷ θείῳ φόβῳ ἄριστα), τὴν δὲ ἐκ λογισμῶν ἀκαθάρτων καὶ ἐννοιῶν τηροῦντες ἀσυνδύαστον, ὅλην πρὸς θεὸν ἀναπτερουμένην, τὸ κάλλος ἐκείνου ὁρῶσαν καὶ φανταζομένην, ὅτι καὶ μόνον αὐτὸ ἐράσμιον καὶ ὡραῖον καὶ ἀγαπητὸν ὡς ἀληθῶς, τὰ δ' ἄλλα πάντα εἴδωλα ἔρωτος καὶ οὐκ ἔρωτες, φαντασία κάλλους καὶ οὐ κάλλος, τῇ προσευχῇ καὶ ταῖς ψαλμῳδίαις καὶ θείαις μελέταις περιφρουροῦντες αὐτήν, ὅπως ἀμφοτέρωθεν εὐαρεστῶμεν τῷ καλῷ νυμφίῳ, Χριστῷ τῷ θεῷ. καὶ εἰ οὕτως διανύσωμεν τὸν δρόμον, εὖ καὶ μακάριον· οὐ γὰρ ἀποθανούμεθα, ἀλλὰ ζήσομεν, οὐ διαῤῥυησόμεθα. εἰ καὶ διαῤῥυώμεθα, ἀλλὰ συστησόμεθα μικρὸν ὕστερον διὰ τῆς παλιγγενεσίας, ἐπαινεθησόμεθα δὲ παρὰ τῶν ἔτι ζώντων τὰ εἰκότα, καὶ ψαλοῦσιν ἐφ' ἡμῖν εὐκταῖα τὰ ἐπιτάφια, ἐγκώμια ἡμῖν συνείροντες καὶ ἀξίους ψαλμοὺς ἐπᾴδοντες, τὸ "μακαρία ἡ ὁδός, ἣν πορεύῃ σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως καὶ ὅπου χορὸς ὁ τῶν ἀγγέλων"· καὶ τὸ "ἐν σκηναῖς δικαίων" καὶ ὅσα ἄλλα ἐπιφημίζεται, ἀναμνηστικὰ τῆς ὑπακοῆς καὶ ταπεινώσεως ἡμῶν, τῶν κόπων καὶ τῶν ἀγώνων ἡμῶν, τῆς ἀγάπης καὶ πίστεως ἡμῶν, ἣν πρὸς ἀλλήλους καὶ πρὸς τὸν καθηγούμενον εἰλικρινῶς ἐνεδειξάμεθα, τῆς ὑπομονῆς καὶ καρτερίας ἡμῶν μέχρις αὐτοῦ θανάτου, ἣν ἐν τῇ ἀθλητικῇ ἡμῶν ὑποταγῇ ἐφυλαξάμεθα. καὶ ταῦτα τί πρὸς τὰ μέλλοντα; μικρὰ καὶ μηδαμινὰ ἀπεικονίσματα καὶ ἰνδάλματα. σκόπει γάρ μοι ἐκεῖνα, ἃ μέλλομεν ἀπολαύειν οἱ θείως βιοτεύοντες, ἡνίκα ὁ θεὸς ἐμφανῶς ἥξει, ἡνίκα "προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ", ἡνίκα καθίσει κριτήριον φοβερὸν καὶ τῶν πράξεων ἡμῶν αἱ βίβλοι ἀνοιγήσονται, τῆς ἐκ δεξιῶν παραστάσεως, τῆς ἀγγελικῆς ἀναῤῥήσεως, τῆς εὐλογημένης φωνῆς καλούσης ἡμᾶς ἐπὶ βασιλείαν οὐρανῶν, ἐπὶ παραδείσου ἀπόλαυσιν, ἐπὶ κόλπους Ἀβραάμ, ἐπὶ σκηνὰς ἁγίων καὶ ὁσίων. ἐκεῖ εὐφρανθησόμεθα, ἐκεῖ ἀγαλλιασόμεθα, ἐκεῖ ἀπολαύσομεν, "ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη", χαρὰν ὑπὲρ χαράν, φῶς ὑπὲρ φῶς, ζωὴν ὑπὲρ ζωήν, δόξαν ὑπὲρ δόξαν, τιμὴν ὑπὲρ τιμήν. καὶ τίς εἴπῃ; τίς λαλήσῃ; τίς ἐννοηθῇ τὰ ἀλάλητα καὶ ἀδιανόητα; πρὸς ταῦτα οὐκ ἐπειχθησόμεθα μᾶλλον καὶ μᾶλλον, ἀδελφοί μου; οὐκ ὀξυποδήσομεν ἔτι καὶ ἔτι; οὐκ ἐπιδραμούμεθα θερμότερον μᾶλλον πρὸς ὑπακοήν, πρὸς ταπεινοφροσύνην, πρὸς ἁγνείαν,

28 κῶδ. *ἐπομφαλοῦ*. 32 κῶδ. *χαλινοῦμεν*.

2 κῶδ. *διαῤῥοιησόμεθα, διαῤῥοιώμεθα*. 5 κῶδ. *ψαλλοῦσιν*. 6 κῶδ. *ὑμῖν*. 8 κῶδ. *πορεύει*. 11 Ψαλμ. ριζ', 15. 13 κῶδ. *ὑμῶν*· οὕτω καὶ ἑξῆς. 22 κῶδ. *βιωτεύοντες*. 23/25 Ψαλμ. μθ', 4. 25 κῶδ. *καθίση*. 33/34 Κορινθ. 1, β', 9. 37 κῶδ. *εἴπει, λαλήσει, ἐννοηθεῖ*.

πρὸς εὐχαριστίαν, πρὸς προσευχήν, πρὸς ἀγογγυσίαν, πρὸς ὑπομονήν, πρὸς ἐργασίαν, πρὸς εὐθύτητα, πρὸς καθαριότητα, πρὸς πάντα τὰ τελειοῦντα καὶ καταρτίζοντα τὸν ἔσω ἄνθρωπον, πρὸς πτωχείαν, πρὸς πένθος, πρὸς κατάνυξιν, πρὸς εὐλάβειαν, πρὸς ὀνειδισμόν, πρὸς χλευασμόν, πρὸς ῥαπισμὸν καὶ κολαφισμόν, πρὸς αὐτὸν ὡς εἰπεῖν τὸν σταυρόν, ἵνα σταυρούμενοι ὡς συμπάσχοντες τῷ Χριστῷ καὶ συνδοξασθῶμεν αὐτῷ ἐν τῷ μέλλοντι αἰῶνι; ἀλλ' ἀτονήσωμεν ἄρα ὅλως, ἢ ἀναπέσωμεν, ἢ ἀχθεσθῶμεν, ἢ ὀλιγωρήσωμεν, ἢ εἴπωμεν "ἀρκεῖ ἕως τοῦδε"; ἢ ξενοπαθήσωμεν ἐπιτιμώμενοι, ἢ γογγύσωμεν, ἢ ἀπαυθαδιάσωμεν, ἢ μεγαλορρημονήσωμεν, ἢ ἀνυποτακτήσωμεν, ἢ τέλεον ἀπορράγησώμεθα; φεῦ, μὴ γένοιτο, ἀλλὰ πάντα οἴσωμεν προθύμως καὶ γενναίως, ὦ ἀδελφοί, συμβουλεύω καὶ δέομαι ὑμῶν. εὖ δὲ ὄντως ἐφρόνησαν οἱ μακάριοι καὶ τρισμακάριοι μάρτυρες τοῦ Χριστοῦ, ὅσοί τε καὶ δίκαιοι, καὶ πρό γε τούτων ἀπόστολοι, προφῆται, πατριάρχαι καὶ πᾶς ὅστις οὖν τῶν σωθέντων, κενώσαντες τὰ αἵματα, συγκοπέντες ὑπὲρ Χριστοῦ, τὸ μαρτύριον τῆς συνειδήσεως τηρήσαντες διὰ θλίψεων καὶ ὀδυνῶν, διὰ περιστάσεων καὶ κοπετῶν· ὑστερούμενοι, ὡς γέγραπται, θλιβόμενοι, οἳ μὲν γὰρ δι' αἵματος, οἳ δὲ διὰ βίου, ἐπέτυχον τῶν ἐπαγγελιῶν. τί οὖν λείπει καὶ ἡμᾶς, τὰ αὐτὰ παθόντας, τὰ ἐκείνοις ὅμοια συναπολαῦσαι; οὐδέν, ἢ μόνον τὸ θελῆσαι· ἐθελήσαμεν δὲ ἤδη διὰ τῆς προλαβούσης ἀποταγῆς ἡμῶν, διὰ τῆς ἐκ κόσμου ἀναχωρήσεως, τῆς ἐνταῦθα ἕως τοῦ παρόντος κακουχίας καὶ ταλαιπωρίας, ὑπομονῆς καὶ καρτερίας ἐν τῇ ὑποταγῇ. ἔτι μικρὸν θελήσωμεν καὶ μακάριοί ἐσμεν, καὶ μακαρισθησόμεθα ἐξίσου τοῖς ἁγίοις καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

27/28 Ἑβρ. ια', 37. 39 κῶδ. *ἀπολαύσωμεν*.

ΚΑΤΗΧΗΣΙΣ ϛ'.

Ὅτι τοῖς ὅπλοις τῆς ἀρετῆς ἑαυτοὺς περιφράξαντες εὐχερῶς ἀντιπαραττόμεθα τὸν πικρὸν καὶ ἀσσύριον νοῦν διάβολον, καταβάλλοντες αὐτοῦ τὰς ποικίλας καὶ πολυτρόπους μηχανάς.

Ἀδελφοὶ καὶ πατέρες, καὶ κυβερνήτης τοὺς συμπλωτῆρας καὶ στρατηγὸς τοὺς συστρατιώτας προσφθέγγεται καὶ προθυμοποιεῖται, ὁ μὲν πρὸς τὴν δυσκολίαν τῶν ἀνέμων καὶ τὴν ἐπανάστασιν τῶν κυμάτων, ὁ δὲ πρὸς τὴν τῶν ἐναντίων παράστασιν καὶ τὴν συμβολικὴν τοῦ πολέμου πεῖραν, διεγείροντες ἑκάτεροι ἀμφοτέρους, εὐθαρσοποιοῦντες πρὸς τὰ περιιστάμενα. κἀγὼ τοίνυν ὁ ταπεινὸς καὶ ἐλάχιστος τὸ αὐτὸ ποιούμενος πρὸς ὑμᾶς τοὺς στρατιώτας τοῦ Χριστοῦ παρακαλῶ καὶ ἐκδυσωπῶ, στῆναι γενναίως πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, "ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη", ὡς ὁ λόγος, "πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου", πρὸς τὸν πικρὸν καὶ πολέμιον καὶ ἀσσύριον νοῦν διάβολον, πρὸς τὸν ἀρχέκακον καὶ σκολιὸν ὄφιν ἐκεῖνον, ὃς εὐθὺς κατ' ἀρχὰς τῆς κοσμοποιΐας ἐν Παραδείσῳ εἰσδύσας κατὰ τοῦ προπάτορος ἡμῶν Ἀδὰμ ἐκινήθη, καὶ τοῦτον δελεάσας τῇ γεύσει τῆς παρακοῆς τῆς ἀθανάτου τρυφῆς ἐξωστράκισεν, οἰκτιστον καὶ ταλαίπωρον βίον παρασχόμενος αὐτῷ τὴν ἐνταῦθα διατριβήν. αὐτὸς οὖν κατὰ γενεὰν καὶ γενεὰν ἐμπορευόμενος καὶ συμπλεκόμενος τῷ γένει τῶν ἀνθρώπων οἷα καὶ ἡλίκα ἐξετέλεσεν καὶ ἐκτελεῖ, ἴσμεν ἅπαντες ἀναγινώσκοντες τὰς Γραφάς. αὐτός ἐστι καὶ νῦν, ἀδελφοί μου, ὁ ἐφεδρεύων ἡμῖν, ὁ συρίζων καὶ ἕρπων, ὁ σαίνων καὶ κολακεύων, ὁ ὑποδυόμενος τὰ ποικίλα καὶ πολύτροπα πρόσωπα τῆς ἀπάτης καὶ λανθανόντως εἰσερχόμενος καὶ ἐκπορευόμενος καὶ θηρεύων ψυχὰς τὰς ἀστηρίκτους. πολλῆς οὖν πρὸς τοῦ-

3 κῶδ. *ἀσύριον*· οὕτω καὶ κατόπιν. 4 κῶδ. *ποικίλους*. 19/23 Ἐφεσ. ϛ', 12.

τον νήψεως λοιπόν, πολλῆς ἀγρυπνίας, πολλῆς ἐπισκέψεως καὶ ἐπιμελείας, ἵνα μὴ βάλλῃ καὶ τιτρώσκῃ, ἀλλ' ἵνα γινώσκηται οἷός ἐστι τοῖς νοήμασι καὶ τοῖς δελεάμασι, καὶ πρὸς τούτοις τὰ τρόπαια ἱστῶντες τῆς εὐσεβείας πολεμοῦμεν καὶ ἀποτρεπόμεθα αὐτόν, μὴ κατοκνοῦντες μηδὲ καταῤῥᾳθυμοῦντες, ὁσάκις ἂν καὶ ὑποπίπτωμεν, ὑπὸ τὸ πταιστὸν τυγχάνοντες· ἀλλ' ὥσπερ ἐκεῖνος οὐκ ἐνδίδωσιν, οὐδ' ἀποκάμνει ἀποτυχὼν τῆς ἀπωλείας ἡμῶν, ἐὰν καὶ πλειστάκις τῆς ἡμέρας ἐπιδράμῃ, ὁ αὐτὸς δέ ἐστιν ὡς μηδ' ἀρξάμενος, ἐπεμβαίνων αὖθις καὶ δριμύτερον ἴσως συμπαραλαμβάνων μεθ' ἑαυτοῦ καὶ ἕτερα πνεύματα τῆς πονηρίας, οὕτω παρακαλῶ καὶ ἡμεῖς μηδαμῶς ἀποστῶμεν, μηδ' ἀναπέσωμεν τῇ ῥᾳθυμίᾳ ἐν ταῖς καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἐλλείψεσι, κἂν πολὺ τὸ ἐπιμελὲς ἐνδεικνύμεθα, ἀλλ' εἰς ἀεὶ κατὰ τὸ ἴσον ἐκείνῳ ἀναφέρωμεν καὶ τὸ πρόθυμον καὶ τὸ διεγερτικόν, τὸ εὐμετάμελον καὶ ὑπαρκτικόν, τὸ ἀνανεωτικὸν καὶ ἀνατατικόν, ὡς ἂν ἀντιῤῥόπου οὔσης τῆς πρὸς τὸν ἐναντίον δυνάμεως ἡμῶν ὁρᾷ θεὸς καὶ εὐφραίνεται. ἐπικουροῦσιν ἡμῖν θεοκινήτως οἱ ἄγγελοι· οὐ γὰρ ἐφθάσαμεν, ἀδελφοί μου, εἰς τὸ μέτρον τῆς ἀπαθείας, ἤτουν ἀπολεμησίας, ἵν' ἡσυχάζῃ ὁ νοῦς ἀπὸ τῆς πρὸς αὐτοὺς πάλης· τοῦτο γὰρ ἤδη τοῖς πολλοῖς ἄθλοις καὶ ἱδρῶσι καὶ ἀγῶσι σὺν τῇ θείᾳ χάριτι ἀπεκληρώσαντο καὶ ἀποκληροῦνται οἱ ἀποκληρωσάμενοι· ἡμῖν δ', οἷς τὸ ἐμπαθὲς ἔτι ἐπικρατεῖ, χρεία τοῦ μὴ κατολιγωρεῖν τοῦ ἀγῶνος καὶ τῆς καθ' ἑκάστην ἡμέραν τε καὶ ὥραν μεταποιήσεως καὶ οἷον ἀρχοποιήσεως τῶν βελτιόνων. καὶ τοῦτο τῶν ἀγωνιζομένων, καὶ οὗτος τῶν ἀθλούντων ὁ στέφανος, καὶ ἅγιον μὲν τὸ ἐν ὅροις φθάσαι τῆς ἀπαθείας, μακάριον δὲ καὶ τὸ δεύτερον, τὸ μὴ ἡττηθῆναι ἐν τοῖς πολέμοις, ἀλλ' ἐν τῷ ἀεὶ διανίστασθαι οὕτω φθασθῆναι καὶ τελειοποιηθῆναι· τοῦ μαρτυρίου γὰρ καὶ οὗτος ἀπολήψεται τὸ στέφος, ἐπειδὴ οὐδεὶς στρατιώτης οἴκαδε ἐκ τοῦ πολέμου ἀναστρέφων καὶ τῷ βασιλεῖ ἐπιδεικνύων τὰ ἐκ τῶν βελῶν στίγματα, τὰς ὠτειλάς τε καὶ τὰ τραύματα, καταισχύνεται ἢ κατακρίνεται, τοὐναντίον δὲ ἐπαινεῖται καὶ εἰσοικίζεται καὶ δωροφορεῖται καὶ στεφανηφορῶν πορεύεται.

'Αγωνισώμεθα τοίνυν λοιπὸν ὡς στρατιῶται Χριστοῦ, καὶ τὸν καιρὸν μὴ ἄλλο τι ἡγησώμεθα, ἢ καιρὸν συμβολῆς ἐχθρῶν, τόξων καὶ βελῶν ἐπαναστάσεις, ὅτι "πολλοὶ οἱ πολεμοῦντες ἡμᾶς ἀπὸ ὕψους", καθὼς γέγραπται, ὅλην τὴν ἡμέραν παρατάσσοντες πολέμους, παγίδα ἱστῶντες, ἐνεδρεύοντες, ὀρύσσοντες βόθρον, μυρία μηχανώμενοι, ἀπλήρωτα διατιθέμενοι καὶ ὑποκρινόμενοι. τίς οὖν αὐτοὺς φύγῃ; τίς διαδράσει; τίς οὐ προσκόψει τὸν πόδα; τίς οὐ περισχεθήσεται τοῖς σχοινίοις αὐτῶν, ταῖς παγίσι, ταῖς ἐπιβουλαῖς, τοῖς ὀλέθροις; τίς ἄλλος ἤ, καθὼς τῷ μεγάλῳ 'Αντωνίῳ ἀπεκαλύφθη, ἡ ταπεινοφροσύνη, ἡ σύζυγος ὑπακοή, ἡ ἄοκνος προσευχή, ἡ τοῦ ἔργου προθυμία, ἡ ἀναντίλογος εὐπείθεια, ἡ ἀγόγγυστος εὐκινησία, ἡ ἔπειξις τοῦ ἀνυστάκτου λογισμοῦ, πρὸς ἀποτροπὴν τῶν αἰσχρῶν ἐννοιῶν, πρὸς εἰσδοχὴν τῶν ἀγαθῶν θεωρημάτων, ἡ κατεγρήγορσις ὕπνου, εὐχῆς, ψαλμῳδίας, ἀγρυπνίας, γονυκλησίας· ἐργασία καὶ σπουδὴ ἡ πρὸς τούτων καὶ μετὰ τούτων ἐξαγόρευσις τῶν κρυπτῶν, φυγὴ παῤῥησίας, συμμετρία λόγου· τούτοις γὰρ καὶ τοῖς τοιούτοις ἠσφάλισται ὁ ἔνδον ἡμῶν ἄνθρωπος, ἀποτρέπεται ὁ δι' ἐναντίας μηδὲν ἰσχύων καθ' ἡμῶν. τοιγαροῦν, τέκνα καὶ ἀδελφοί, πρόσσχωμεν, μὴ διαβιβάσωμεν τὰς ἡμέρας ἡμῶν ἀκερδῶς. ἤδη ἡ ἡμέρα παρῆλθεν αὕτη καὶ ποῦ ποτε αὐτὴν ἔτι ὀψόμεθα καὶ τὸ ἔργον, ὃ εἰργασάμεθα, ἀπογέγραπται; καὶ εἰ μὲν καλόν, εὖγε· εἰδ' οὐχ οὕτως, ἀβάλε. φυλαττώμεθα οὖν τας αἰσθήσεις ἀσύλους, κάτω νενευκότες ὡς τὰ πολλά. ὁ ὀφθαλμὸς ἔστω σύννους, μὴ διαχεόμενος, μηδὲ περιελκόμενος ὧδε κἀκεῖσε· οὐ γάρ ἐστιν ὁρᾶν ἐν ὀφθαλμῷ· βλέπειν ἔστιν ἐν ψυχῇ· εἰκονίζει γὰρ ταύτην ὁ

15 πνεύματα τῆς πονηρίας] προβλ. Ἐφεσ. ς', 12. 22 κῶδ. *ἀνατατικόν*.

11 πρβλ. Ψαλμ. νε', 3.

ἔξω ἄνθρωπος· τὸ πρόσωπον μήτε σκυθρωπόν, μήτε διακεχυμένον, ἀλλ' οἷον εὔκρατόν τε καὶ ἥμερον, τῇ κατηφείᾳ τὰ πολλὰ λαμπρυνόμενον, ἐκ δακρύων καὶ κατανύξεως ἐπιλαμπόμενον· τὸ βάδισμα ὑμῶν ταπεινὸν καὶ ἀνέκπληκτον, μὴ σοβαρευόμενον διὰ τῆς ἀνατάσεως τῶν ὤμων καὶ τῆς συνδήσεως τῶν ὀφρύων, τῆς τε στρεπτικῆς βηματίσεως καὶ τῆς σεισματικῆς ἀνατινάξεως· ἡ λαλιὰ ὡσαύτως κεχαριτωμένη ἐν συμμετρίᾳ τοῦ λόγου καὶ ἐν συντονίᾳ τῆς φωνῆς, καὶ ἐν καταστάσει τῶν ὀφθαλμῶν καὶ τῶν λοιπῶν μελῶν· οὐχὶ ἐν ἀνοίξει μυκτήρων, οὐδ' ἐν κινήσει χειρῶν καὶ συστροφῇ προσώπου· ἄρτιος γάρ ἐστιν ὁ τοῦ θεοῦ ἄνθρωπος κατὰ πάντα, ὄργανόν τι ὢν καὶ ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῷ πνεύματος κινούμενον καὶ πρὸς τὸ λέγειν, καὶ πρὸς τὸ ὁρᾶν, καὶ πρὸς τὸ ἐσθίειν, καὶ πρὸς τὸ πίνειν· μηδὲ γὰρ ὧδε λυσσωδῶς ὅλον τὸν νοῦν εἰς τὸ βρῶμα ἐνιλυσπῶντες, ἀλλ' ἐν ἀκροάσει τῆς προσοχῆς τῶν ἀναγνωσμάτων, ἢ καὶ εὐσεβοῦς ἐννοίας τοὺς δαγμοὺς ἡμῶν ποιούμεθα· μὴ πενταδακτυλοῦντες, μηδ' ἐπαλλήλως μηδὲ γοργῶς αἴροντες καὶ φέροντες ἐν τῷ στόματι, μηδὲ ὑπερμεγέθη τὰ δαγμεῖα λαμβάνοντες· ἀλλὰ κἂν ἐκ καμάτου τις εἴη, κἂν ἐκ κόπου τοῦ τυχόντος, αἱρέτω μὲν τὰ μείζονα τυχὸν πρὸς τὸν ἕτερον, τοσοῦτον δ' ὅσον καθήκει, ἵνα μὴ αἰσχύνην ἑαυτῷ ἐνεργάζηται διὰ τῆς ἀσχήμου ἐσθιάσεως· πάντα γὰρ εὐσχημόνως διδασκόμεθα καὶ κατὰ τάξιν ποιεῖν. οὕτως δέον παρατηρεῖσθαι ταῦτα, ὥσπερ καὶ ἐν ἐνδύμασι καὶ ἐν ὑποδήμασι· μὴ παραχρᾶσθαι, μηδ' ὡς ἀλλοτρίων καταφρονεῖν, ἀλλ' ὡς δεσποτικοῖς προσέχειν. καὶ περὶ πάντα ἔστω κύριος ὁ θεὸς μεθ' ὑμῶν, ἵνα μὴ εἰς μακρὸν ἐκτείνωμεν τὴν κατήχησιν, εὐλογῶν καὶ κατευοδῶν καὶ συνετίζων ὑμᾶς εἰς ἀνάληψιν τῶν ἀγαθῶν ἐπιτηδευμάτων, εἰς διόρθωσιν τῶν ἐσφαλμένων, εἰς καταρτισμὸν τῶν ἐγκεκριμένων, εἰς πᾶσαν εὐστάθειαν καὶ ἀγαθοσύνην, πληρῶν καὶ ἀποπληρῶν ὑμᾶς τῶν θείων αὐτοῦ δωρημάτων, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΚΖ'.

Περὶ προκοπῆς τοῦ σεμνοῦ ἡμῶν βίου καὶ τοῦ θερμῶς διεγείρεσθαι πρὸς τὰς διακονίας, ὡς τῷ θεῷ ἀναφερομένης τῆς ἐργασίας, καὶ τοῦ μὴ δουλικῶς ἐνάγειν τὴν ἀδελφότητα, ἀλλ' ἀδελφικῶς.

Ἀδελφοὶ καὶ πατέρες, τῆς κατηχήσεως ἤδη κατὰ τὸ ἔθος γινομένης, ἴσως ἔστι τινὰς ὑπολαμβάνειν καὶ λέγειν, ὅτι ἴσον ἐστὶ τὸ κατηχεῖσθαι ἡμᾶς τοῦ μὴ κατηχεῖσθαι, διὰ τὸ κατηχουμένους μηδόλως προβαίνειν εἴς τι χρησιμώτερον τοὺς ἀκούοντας. ἀλλ' οὐχ οὕτως ἔχει· πρὸς μὲν γὰρ τὸ ἀκρότατον ἀρετῆς, εἰ τοῦτο ἀποσκοπήσειέ τις, εὑρήσει πάντως οὐ ψευδῶς τὸ λεγόμενον, ἐπειδὴ ὅσον τις δοκεῖ προκόπτειν ἐν τῷ ἀγαθῷ, τοσοῦτον ἐπαισθάνεται ἀπολιμπάνεσθαι τοῦ τελείου· φύσις γὰρ τοιαύτη τῆς ἀρετῆς, πρὸς δὲ τὴν ἀλήθειαν ἐπιδίδωσιν ἕκαστος χάριτι Χριστοῦ εἰς τὸ βελτιώτερον, καὶ ἐπαύξει ἐν ταῖς ἀγαθαῖς ἐργασίαις. πῶς γὰρ ἂν καὶ μὴ ἐπιδώσειεν ψυχή, ὡς οἷον φυτόν τι ἀρδευομένη καὶ κατασκαπτομένη ταῖς συνεχέσιν ὑπομνήσεσιν; ἐπεὶ "καὶ ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν", κατὰ τὸν παροιμιώδη λόγον, ὥσπερ καὶ "ὁμιλίαι κακαὶ φθείρουσιν ἤθη χρηστά", κατὰ τὸν ἀπόστολον. ἐπιλογισώμεθα δὲ παρακαλῶ, ὅτι εἰ τῆς κατηχήσεως γινομένης ἐνισταμένην ἐν ἡμῖν ὁρῶμεν τὴν κακίαν, πόσῳ γε μᾶλλον, εἰ μὴ λόγος ἐλαλεῖτο καὶ ὑπόμνησις ἐζητεῖτο καὶ ἀνεκαλύπτετο ταῦτα οὕτως καὶ ἑτέρως; ἀναγκαία οὖν ἡ κατήχησις καὶ λυσιτελοῦσα τὰ κράτιστα, πάτριος γάρ ἐστι καὶ πᾶν τὸ ἀρχαιότητι διαφέρον αἰδέσιμον. ὤφελον δὲ τοιαῦτά με παραινεῖν ὑμᾶς, ὡς ἔχειν δύναμιν ἑλκύσαι πάντας εἰς ἀγάπην θεοῦ, εἰς ὁμόνοιαν εἰρηνικήν, εἰς εὐταξίαν θεοπρεπῆ, εἰς πᾶσαν ἀγαθὴν ἐπι-

---

2 κῶδ. *διακεχυμμένον*. 21 κῶδ. *ἐνιλύσποντες*.

27 Corpus paroem. II, σ. 632. 29 Κορινθ. 1, ιε', 33.

τήδευσιν. ἐγὼ δ' ὁρῶ ἐμαυτόν, ἀδελφοί μου, ἀπολιμπανόμενον τοῦ κατ' ἀξίαν, καὶ λόγου καὶ βίου, καὶ λυποῦμαι καὶ ἀσχάλλω καὶ ἀγωνιῶ καὶ ἀδημονῶ, καὶ σφαδάζει μου ἡ ψυχὴ κάμνουσα τόνῳ, πῶς καὶ ἡλίκως εὑρεθῶ ὑμῖν χρήσιμος ἀμφοτέρωθεν. ἀλλ' εἰ καὶ ἀπολιμπάνομαι, αὐτοί, δέομαι, μηδόλως ὑπονοστήσητε, μηδὲ εἰς τὸ κατόπιν ἔλθοιτε, προβαίνοιτε δ' ἀεὶ καὶ προκόπτοιτε· καὶ ἀναβάσεις ἀγαθὰς ἐν ταῖς καρδίαις ὑμῶν διατίθεσθε, ἐκ δόξης εἰς δόξαν ἀρετῆς μετερχόμενοι· καὶ ἀναθεωροῦντες τοὺς βίους τῶν ἁγίων μιμεῖσθε τοὺς αὐτῶν τρόπους· πῶς γὰρ ἐκεῖνοι βεβιώκασι καὶ πῶς εὐηρεστήκεισαν τῷ κυρίῳ; ἀλλ' ἢ διὰ ταπεινοφροσύνης καὶ ὑπακοῆς, ὑποταγῆς καὶ εὐπειθείας, ὑπομονῆς καὶ καρτερίας, φέροντες καὶ ἔλκοντες τοὺς πόνους καὶ ἱδρῶτας τοὺς ἀσκητικούς, κατ' ἐγκράτειαν βρώματος καὶ πόματος, καθ' ὑπομονὴν ἐργοχείρου εὐτονίας· εἶτα τὴν εἰς ἀλλήλους ἀγάπην ἀσπαζόμενοι, ἀποδιδράσκοντες φθόνου, ἔριδος, μίσους, ζήλου, προσπαθείας τῶν ἰδίων, ἐγκρατευόμενοι ῥημάτων ἀργῶν, συντυχιῶν ἀνωφελῶν, στρήνων καὶ γελώτων καὶ τῶν ἄλλων ὀλεθρίων παθῶν. ζηλωταὶ τοίνυν αὐτῶν, εἴπερ καὶ τῆς μερίδος ἐφιέμεθα τούτων γενέσθαι, ἀδελφοὶ τιμιώτατοι, καὶ μηδαμῶς ἐκλύεσθαι ταῖς ἀτονίαις, μηδὲ σαθροῦσθαι ταῖς ὀλιγοψυχίαις, ἀλλὰ πυρὸς θερμότερον τὸ καθ' ἡμέραν διεγείρεσθαι εἰς τὰς προσούσας ἡμῖν ἐργασίας, πνευματικάς τε λέγω λειτουργίας καὶ σωματικὰς διακονίας, τὸ δ' ὅλον εἰπεῖν, ἐπὶ παντὸς θεϊκάς.

Βλέπετε λοιπὸν οἷοι ἐστέ, ἐν αἷς κατειλημμένοι ὑπάρχετε, ὅτι οὐκ ἐμοί, ἀλλὰ θεῷ ἀναπέμπεται ὑμῶν ἡ ἐργασία. βλέπε ὁ κατὰ τὸ κελλάριον, πῶς ἀόκνως ἐπιστήκεις τῇ διακονίᾳ, διανέμων ἑκάστῳ τὰ πρὸς χρείαν ἀπροσπαθῶς καὶ ἀπροσκλήτως. βλέπε ὁ κατὰ τὸ ἀριστητήριον, πῶς ἀσφαλῶς διατίθεσαι τὰς τραπέζας, μή τι σφαλερὸν καὶ κρύφιον ἐν ὑμῖν γίνεται ἀτόπημα, ὅτι οὐ κέκρυπται τῷ παντεφόρῳ βλέμματι τοῦ θεοῦ, εἰ καὶ λανθάνειν οἴεταί τις ἄνθρωπον. βλέπε ὁ κατὰ τὸ ἐψητήριον, πῶς τὰ ἐδέσματα τῶν ἀδελφῶν ἐψεῖς καὶ ἀπαρτίζεις, μή τι κατ' ἀμέλειαν ὡς τὰ ὀφείλοντα ἡδέα γενέσθαι ἀνήδεα ἀπεργαζόμενος διὰ ῥαθυμίας καὶ καταφρονήσεως. βλέπε ὁ κατὰ τὸ βεστιάριον ἐφιστάμενος, ὅτι καὶ μᾶλλον ἡ διακονία ἐπίπονος πρὸς τὰς ἑβδομαρησίους ὑπαλλαγάς· μὴ δῷς ὕπνον τοῖς ὀφθαλμοῖς σου, μηδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ εὕροις τὸ δέον προσαρμόζειν ἑκάστῳ, στεργόντων ὑμῶν πάλιν τῶν λαμβανόντων καὶ ἀρκουμένων τῇ παροχῇ τοῦ δεδομένου, κἂν ὁποῖον ἂν εἴη εὐτελὲς καὶ διερρωγὸς καὶ ῥυπῶδες, ἔχοντος ἐκείνου μὲν τὸ κρῖμα τῆς ἐπιδόσεως, σοῦ δὲ ἐξανύοντος τὸν τῆς ἀθλήσεως μισθὸν ὡς κατ' ὀφθαλμῶν τοῦ κυρίου. πρὸς τὰς ἄλλας διακονίας (τὴν τοῦ σκυτείου καὶ μεμβραναρίου, τὴν τοῦ κανισκαρίου καὶ ὑφανταρίου, τὴν τοῦ χαλκείου καὶ βυρσείου, τὴν τοῦ κηπουροῦ καὶ τεκτοναρίου, τὴν τοῦ ἁλιέως καὶ κανδηλαρίου, τὴν τοῦ μάγκιπός τε καὶ εἴ τινος ἄλλου) οἱ προέχοντες ὡς ἐν προσώπῳ κυρίου οὕτως παρίστασθε, οὕτως ἐργάζεσθε, οὕτως ἄγοιτε τοὺς μεθ' ὑμᾶς, καὶ μάλιστα οἱ τοῦ ἀμπελῶνος ἐργάται· μὴ δουλοπρεπῶς, μηδὲ μισθοπρεπῶς, ἀλλ' υἱϊκῶς καὶ ἀδελφικῶς ἐξερχόμενοι καὶ ἐργαζόμενοι, τινὶ μὲν καιρῷ ἀναπαυόμενοι, ἡνίκα πάρεστιν ὁ τοιοῦτος, αὖθις δὲ διανιστάμενοι καὶ προθύμως τὸ διὰ χεῖρας ἔχοντες ἐργαλεῖον, ὡς ἁγιάζεσθαι ὑμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· μηδεὶς προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, μηδὲ ψευδολογείτω ὡς πρὸς τὰ ἐλαφρότερα ἔργα μεταβιβάζεσθαι διὰ ἀδυναμίαν· εἰ μὲν γὰρ ἀληθές, ἐπιγνωσθήσεται παρὰ τῶν ἐπιστημόνως τὰ τοιαῦτα ἐπιτηρούντων· εἰ δὲ χάριν ἑτεροθρησκείας καὶ ὀλιγοψυχίας, μὴ ὑποκρινέσθω τὴν ἁμαρτίαν, ὅτι οὐκ εἰς ἀγαθὸν τάχα ἐνεχθήσεται ἡ τοιαύτη σκαιωρία. χρὴ δὲ ἕκαστον τὰ ταπεινὰ καὶ

35/36 κῶδ. *κατηλημμένοι.*

10/11 πρβλ. Ψαλμ. ρλα', 4. 34 προφ. προφάσεις ἐν ἁμαρτίαις] πρβλ. Ψαλμ. ρμ', 4. 39 κῶδ. *ἑτεροθρησκίας.*

βαρύτερα ἐκλέγεσθαι, τὸ ὅσον δὲ ἐφ' ἑαυτῷ καὶ μὴ τὰ ἐναντία, εἴ περ ζητεῖ γενέσθαι θεοῦ ἐργάτης. τοῦτο δὲ λέγω οὐχ ἵνα τὰ παρὰ τὴν δύναμίν τις πράσσοι, ἀλλ' ἵνα μὴ ψευδηγορίας εἶδος καὶ τρόπος ἐπιφαίνηται μεταξὺ ὑμῶν (ἐντεῦθεν γὰρ αἱ ταραχαὶ καὶ αἱ ἀκαταστασίαι καὶ αἱ τῶν ἔργων ἀσυμφθασίαι), ἀλλ' ἵνα τὰ πάντα καθαρῶς καὶ ἀδελφικῶς ἐκτελῆτε, μιᾶς οὔσης ἐπὶ πάντων καὶ κοινῆς καὶ τῆς ζημίας τῶν κακῶν, καὶ τῆς ἐπιτυχίας τῶν ἀγαθῶν, καὶ τῆς τῶν πνευματικῶν ἔργων ἐπαυξήσεως, καὶ τῆς τῶν σωματικῶν ἔργων ἀπαρτίσεως· καὶ εἰ οὕτω φρονῶμεν καὶ ἐν ἀλλήλοις περιχωρῶμεν ἀγαπητικῶς καὶ ἀδελφικῶς, ὡς ἐν μιᾷ ψυχῇ οἱ πάντες, οὐδὲν συμβήσεται κατὰ τὸ ἐλλιπές, ἀλλ' εὐθυπορήσομεν ἡμέραν ἐξ ἡμέρας ἀμείβοντες τὸν τῆς ζωῆς ἡμῶν χρόνον, καὶ φθάζοντες εἰς τὸ τῆς μεταστάσεως στάδιον· ἐν ᾧ καταξιώσειεν ἡμᾶς ὁ ἀγαθὸς θεὸς ἡμῶν τῶν ἀφθάρτων καὶ αἰωνίων αὐτοῦ ἀγαθῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΗ'.

Διδασκαλία παραινετικὴ περὶ τοῦ διατηρῆσαι τὴν ἀθλητικὴν ἡμῶν ὑποταγὴν ἄψευστον καὶ ἀνόθευτον, ἣν ὡμολογήσαμεν ἐνώπιον θεοῦ καὶ ἀνθρώπων.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, τί διδάσκει ἡμᾶς ὁ θεῖος ἀπόστολος; τί παραινεῖ λέγων "ἰδοὺ καιρὸς εὐπρόσδεκτος, ἰδοὺ ἡμέρα σωτηρίας; ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν". ὡς ἀγαθὸς τοίνυν πατὴρ καὶ διδάσκαλος διεγείρει ἡμῶν τὸ ῥάθυμον, τὸν τῆς ψυχῆς νυσταγμὸν ἀποτινάσσων ἐκ τῶν νοητῶν ἡμῶν ὀφθαλμῶν· καταρτίζει ἡμῶν τὰ κατὰ θεὸν διαβήματα, ἐμβιβάζων ἡμᾶς εἰς τὴν τρίβον τῆς ἀγαθοεργίας. ὑπακούσωμεν τοιγαροῦν τῆς θείας διδασκαλίας· διαναστῶμεν προθύμως· ἐκνήψωμεν ἔτι καὶ ἔτι· βαδίσωμεν προθυμότερον, ὅτι ἤδη ἡ ἡμέρα κέκληκε τῆς ἑκάστου ἡμῶν ζωῆς, καθὼς ὁρῶμεν τοὺς ἀδελφοὺς ἡμῶν προαρπαζομένους καὶ τὸ ὀλιγοστὸν διάστημα τοῦ βίου ἡμῶν ἐν ἑκάστῃ ἡλικίᾳ ἐνθεωρούμενον· ἁρπάζονται γὰρ οὐ μόνον πρεσβύται, μεσηλικιοῦντές τε καὶ νεάζοντες, ἀλλὰ καὶ παῖδες καὶ βρέφη. καὶ εἰ μέν, ἕως ἔτι ὁ καιρὸς ἐνδοίη καὶ τῆς ζωῆς ἡμῶν λείποιτο χρόνος, σπουδάσωμεν καὶ ἀγωνισώμεθα, εὖ ἂν ἔχοι· ζησόμεθα γὰρ εἰς αἰῶνας καὶ ἀπολαύσομεν χαρᾶς ἀνεκλαλήτου· εἰ δ' ἀπαρασκευάστοις τῶν ἀγαθῶν ἔργων καὶ ἀνετοίμοις τοῦ κατὰ ψυχὴν εὐτρεπισμοῦ ἐπισταίη ἡμῖν τὸ πέρας τοῦ παρόντος βίου καὶ ἐπιδύοι ἡμῖν ὁ τῆς ζωῆς ἥλιος, οὐαὶ ἐπὶ οὐαὶ ὄντως, καὶ σκότος ἐπὶ σκότῳ, καὶ ἀγγελία πονηρὰ ἐπ' ἀγγελίαν πονηροτέραν. καὶ τίς ἐξαιρήσεται ἡμᾶς ἐκ τῶν χειρῶν τοῦ δράκοντος, ἢ τίς ἔσται ἄνεσις ἡμῖν κολαζομένοις ὑπὲρ τῆς ἀπροσεξίας, ἐν ᾗ κακῶς τὸν παραυτίκα βίον μετηλλαξάμεθα; λοιπὸν "ὁ ἀθετῶν ἀθετείτω, ὁ ἀνομῶν ἀνομείτω", καθὼς γέγραπται. πρὸς τοὺς ἀποδράσαντας ὁ λόγος, μᾶλλον δὲ προσευκτέον ὑπὲρ αὐτῶν καὶ ἀνακλητέον· οὐ γάρ τοι θέλει ὁ θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὑμεῖς δὲ χάριτι Χριστοῦ, οἱ ἐν τῇ ἀθλητικῇ ὑμῶν ὑποταγῇ ὑπομενηκότες καὶ ἀδιαψεύστους ὑμῶν τὰς ὁμολογίας καὶ συνθήκας διαφυλάξαντες ἐνώπιον θεοῦ καὶ ἀνθρώπων, χαίρετε καὶ εὐφραίνεσθε, ὅτι πολὺς ὁ μισθὸς ὑμῶν ἐν οὐρανοῖς ἀποθησαυρίζεται, εἴπερ προσέχετε καὶ ἐμμένετε, ἀκούοιτε καὶ πράττοιτε, τηρεῖτε καὶ φυλάσσετε πάντα τὰ διατεταγμένα ὑμῖν ἐν κυρίῳ καὶ πρὸς τῆς ἡμῶν ταπεινώσεως ὑπομιμνησκόμενα· οὐ γὰρ ὀφείλουσιν οἱ τινὸς δεσπότου πιστοὶ θεράποντες ταῖς ἐπί τινων ὁμοδούλων ἀθετήσεσι πτοεῖσθαι καὶ παρασαλεύεσθαι τοῦ δέοντος, τοὐναντίον δὲ καὶ προσεκτικώτεροι καὶ φιλοδεσποτώτεροι καὶ

---

13 κῶδ. *ἀπαρτήσεως*. 32 Κορινθ. 2, ς', 2. 33/35 Ῥωμ. ιγ', 12, 13.

5 κῶδ. *ὀλιγωστὸν*. 12 κῶδ. *ζησώμεθα*. 17 κῶδ. *ξπιδύϊ*. 24 Ἡσαΐου κα', 2. 27/29 Ἰεζεκιὴλ λγ', 11.

στερεώτεροι τῷ φόβῳ καθίστασθαι, ὥσπερ οὐδὲ πιστοὶ στρατιῶται κατολιγωρεῖν ἐκ τῆς βασιλικῆς παραστάσεώς τε καὶ δουλείας, ἐσθ' ὅτε τῶν τινῶν συστρατιωτῶν κακοβουλίαις φατρίαις τε καὶ ἀθετητικαῖς συσκευαῖς εἰσβληθέντων. εἰ δ' ἐπὶ τῶν κάτω καὶ λυομένων ταῦτα, τί ἐπὶ τοῦ μεγάλου καὶ πρώτου καὶ μόνου καὶ ἀληθινοῦ δεσπότου τε καὶ βασιλέως τῶν βασιλέων; ἐκείνῳ γὰρ ἐστρατεύθητε, τέκνα καὶ ἀδελφοί, καὶ ὑπ' ἐκείνῳ τάττεσθε, καὶ αὐτῷ δουλεύετε νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ ὁ ἀθετῶν εἰς αὐτὸν ἀθετεῖ, καὶ ὁ ἀνομῶν εἰς αὐτὸν ἀνομεῖ, εἴπερ μὴ παρέργως ἀναγινώσκητε τὰ παρὰ τοῦ θείου καὶ μεγάλου Βασιλείου νομοθετούμενα, ἢ καὶ τὰ κατὰ τὴν ὁσίαν Κλίμακα κηρυττόμενα.

Ἀλλ' ὅμως, καίπερ τηλικούτων ὄντων φοβερῶν τῶν κριμάτων τῆς ἀποστασίας, κατὰ τὰς ἁμαρτίας μου οὐ παύονταί τινες ἀπορρήγνυσθαι τῆς συναφείας, οὐχ ὑμῶν, ἀλλὰ δι' ὑμῶν τοῦ ἁγίου πνεύματος, ὡς φησιν ὁ αὐτὸς μέγας Βασίλειος· εἶτα καὶ τὸν Ἰούδαν μιμούμενοι, καθ' ἡμῶν καὶ καθ' ὑμῶν κινοῦντες τινάς — οὐκ οἶδ' ὅ τι εἴπω φυγὼν τὸ κατηγόρημα —, ἵνα εἰ οἷόν τε ὅσον τὸ κατ' αὐτοὺς διὰ τὸ μὴ λύεσθαι καὶ συμπαρανομεῖν ἡμᾶς ἄρωσι καὶ τὸ μνημονεύεσθαί με ἐν ζῶσιν. ἀλλὰ ταῖς ἐμαῖς ἁμαρτίαις ἐπιγραφέσθω τὸ αἴτιον· ἐγὼ γὰρ ὁ κακὸς ποιμήν, καὶ ἐγὼ ἀποτίσω τὸ κρῖμα, πλὴν ὅτι ἀνήγγειλα τὴν ῥομφαίαν ἐρχομένην· ἀλλ' ὡς δοκῶ οὐδ' ὀλιγάκις οὐδὲ χαύνως. καὶ βλέπετε πῶς οἱ δοκοῦντες στήκειν στήκετε, πῶς οἱ λογιζόμενοι ἑαυτοὺς ἀκινήτους εἶναι ἐν τῷ καλῷ ἀπαρασάλευτοι διαμένετε, πῶς οἱ ὁμολογοῦντες τὴν ψυχὴν ὑπὲρ ἐμοῦ τιθεῖν ἕνεκεν ἀγάπης θεοῦ τὰς ἐπηρείας ὑποφέρετε· "οὐ γὰρ ὁ λέγων μοι", φησί, "κύριε, κύριε, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς", ἐκεῖνός μού ἐστιν. ἃ ἐπιφέρετε, ἐσαλεύθητε ἀκηκοότες; ἀλλὰ μηδαμῶς, στηρίζοισθε δ' ἐν κυρίῳ μᾶλλον καὶ μένοιτε ἀδιάπτωτοι, βεβηκότες ἐν τῷ τῆς ταπεινοφροσύνης ἐρείσματι. πλὴν προσέχετε καὶ γνωρίζετε οἵοις τρόποις ἁλίσκονται οἱ ἁλισκόμενοι· θέλεις γάρ, φησί, μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει καὶ ἕξεις ἔπαινον παρ' αὐτῆς. θέλετε καὶ αὐτοὶ μὴ φοβεῖσθαι τὸ πτῶμα; τὸ μαρτύριον διασώσασθε τῆς ὁμολογίας ὑμῶν, τὰ κατ' αὐτὴν διατεταγμένα πράσσοιτε καὶ μηδαμῶς εἰς τὰ ὀπίσω ὑπονοστήσητε, κατὰ τὰς ἐπιφορὰς τῆς πολυθλιψίας αὐτῆς· ἐκ γὰρ τοῦ ὀλιγωρεῖν καὶ ἀνοικείως τοῦ ἐπαγγέλματος πορεύεσθαι, ἤγουν τοῦ ἄρχεσθαι σκληρύνεσθαι, τραχύνεσθαι, αὐθαδίζεσθαι, ἀλαζονεύεσθαι, ὑπερηφανεύεσθαι, εἴτουν ἐκ τοῦ γογγύζειν, ἐκ τοῦ λαθροφαγεῖν, ἐκ τοῦ ψιθυρίζειν, ἐκ τοῦ περπερεύεσθαι, ἐκ τοῦ ἰδιορρυθμεῖν, ἐκ τοῦ μὴ ἐξαγορεύειν ἢ ἐκ τοῦ ἀφιέναι σαπρὸν λόγον, ῥῆμα ὑβριστικόν, ἢ ἐκ τοῦ μὴ ἐπιδέχεσθαι εὐπειθῶς τὰ προστεταγμένα, τὰ διδόμενα κατὰ χρείαν ἐπὶ ἐνδύματος, βρώσεως, ὑποδήματος, ἀλλὰ ζητεῖν καὶ ἀναζητεῖν ἐκ τοῦ "δός μοι τοῦτο καὶ ἐκεῖνο", καὶ "οὐκ ἀρέσκει μοι τόδε παρὰ τόδε", καὶ "οὗτινος χάριν οὐκ ἔλαβον παρα τὸν ὁδεῖνα τὸ κάλλιον καὶ χρησιμώτερον; ἐπεὶ πρότερός εἰμι τῷ σχήματι καὶ πηλίκος καὶ τηλικοῦτος". ἐκ τούτου κατὰ μικρόν, ὥσπερ ἀπὸ κλίμακός τινος ὑψηλῆς, τῆς ἀρετῆς καταβιβαζόμενος καὶ οὐχὶ ἀναβιβαζόμενος, ἀποπίπτει εἰς τὸν βόθρον τῆς ἀποστασίας. ὥστε, εἰ μὴ βούλησθε, μηδὲ θέλητε ἀποστῆσαι, τὰ ἐφόδια αὐτῆς φεύγοιτε, ἅπερ εἰσὶ τὰ προειρημένα· ὁ γὰρ μὴ ἐκεῖνα φυλαττόμενος, πάντως, κἂν μὴ παρευθύ, ἀλλὰ μικρὸν ὕστερον κρημνισθήσεται καὶ ἀπολεσθήσεται καὶ ἰουδαΐσει· ὅπερ μὴ γένοιτό τινι. διὰ τοῦτο γὰρ προλέγω καὶ οὐ ψεύδομαι, ὡς αὐτοὶ ἐπίστασθε καὶ ὡς οὐκ ἔστιν ἄλλως διὰ λείας ὁδοῦ καὶ εὐπόρου καὶ ἀγαθῆς ὁδεῦσαι ἐπὶ βασιλείαν οὐρανῶν, ἢ διὰ τῆς ἐναντίας, τῆς προειρημένης, ἤτοι δι' ὑπακοῆς καὶ εὐπειθείας, μακροθυμίας καὶ ὑπομονῆς, εὐχαρι-

27 κῶδ. *συνπαρανομεῖν*. 39/41 Ματθ ζ'. 21.

42 κῶδ. *εἴ τοι*.

στίας ἐπὶ τοῖς διανεμομένοις καὶ ἀποδοχῆς, κἂν εὐτελές ἐστι τὸ διδόμενον, κἂν πενιχρόν, κἂν παρ' ἀξίαν πρὸς τὴν τοῦ πέλας θεωρίαν. ἄλλος γάρ ἐστιν ὁ κριτὴς καὶ ὁ διανομεύς, καὶ ἀποδώσει κύριος κατὰ τὰ ἔργα αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως. σοῦ δὲ ἔστω τὸ ὑπομονητικόν, ἀδελφέ, τὸ εὐχάριστον, τὸ ἀτάραχον, τὸ ἀγόγγυστον, κἂν παραθεωρηθῇς πρὸς τοὺς ἄλλους, κἂν ἀπρονόητος ὅλως διαμένοις. ὥστε εἰ καὶ ἀνιμάντης περιπατοίης, εἰ καὶ ἀκούκουλλος, εἰ καὶ μονοχίτων, κατὰ τὸν παρόντα καιρὸν τοῦ κρύους, ὥστε σε τρομάσσειν ἐκ τοῦ ψύχους καὶ μὴ συγκρατεῖσθαι τοῖς μέλεσι, μηδαμῶς ἀγανακτήσῃς, παρακαλῶ· μηδαμῶς παρακούσῃς, μηδαμῶς ἐπιφθέγξῃ ῥῆμα βλάσφημον. τοῦτό σοι ἐγκελεύεται ὁ Χριστὸς διὰ τῶν ἁγίων αὐτοῦ τοῦτο καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ ἐπιφθεγγόμεθα· ταῦτα γὰρ τὰ ἆθλα τῶν ὑποτακτικῶν· διὰ ταῦτα μάρτυρες, διὰ ταῦτα στεφανῖται τῷ πρωτάθλῳ τοῦ κυρίου· εἰ δὲ μὴ ταῦτα, κενὸν τὸ ὄνομα, ματαία ἡ ἐλπίς. καὶ ὡς προεῖπον, ἐκ τῶν ἀνοικείων λόγων καὶ τρόπων ταῖς κατὰ μικρὸν ὑποβάσεσιν ἀντὶ μάρτυρος ἀρνητὴς ἀποδειχθήσῃ, καὶ ἀντὶ ἀθλητοῦ λιποτάκτης, ἀντὶ στεφανίτου κατῃσχυμμένος οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. ἀλλ' ἀπείη πᾶς κακίας ἀφ' ὑμῶν τρόπος καὶ λόγος, εἴη δ' ἐν ὑμῖν πᾶν παράδειγμα καὶ ὑπόδειγμα πατροπαράδοτον εἰς ἔτι πνευματικὸν ὑμῶν θησαύρισμα, εἰς ψυχῆς ἀγαλλίασμα, εἰς πλοῦτον περιουσίας ἀρετῶν, εἰς ἐφόδιον ζωῆς αἰωνίου ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ϟΘ'.

Παραινετικὸς εἰς τὴν εἴσοδον τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ περὶ τῆς δευτέρας παρουσίας.

Ἀδελφοί μου καὶ πατέρες, οὐχ οὕτως περὶ ὑμῶν ἐστι λέγειν νῦν, καθάπερ πάλαι ἐν τοῖς προφήταις, ὅτι "ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν". ἐστὲ γὰρ χάριτι Χριστοῦ νήφοντές τε καὶ γρηγοροῦντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι. ἐπὰν γὰρ τὴν λήμην τῆς τοῦ κόσμου προσπαθείας περιήρατε ἐκ τῶν τῆς ψυχῆς ὀφθαλμῶν ὑμῶν διὰ τῆς κατὰ τὴν ὑποταγὴν ἱερᾶς πολιτείας ὑμῶν, καὶ καθαρῶς βλέπετε τὰ πράγματα, τὴν τοῦ βίου λέγω ματαιότητα, τὴν ἐπάλληλον φορὰν ἐν πᾶσι τρόποις τῆς ἀνθρωπίνης περιδονήσεως, καὶ ὅτι ἓν μόνον ἐστὶ στάσιμον καὶ ἀγαπητὸν καὶ ἐραστόν, ὁ θεός, καὶ τὸ πρὸς αὐτὸν φέρεσθαι διὰ τῆς ἐναρέτου βιώσεως.

Εὐλογητὸς οὖν κύριος ὁ θεὸς τῶν πατέρων, ὁ καταξιώσας ὑμᾶς τῆς μερίδος ταύτης μετόχους γενέσθαι καὶ ἐντὸς τοῦ κατὰ φιλοσοφίαν εἶναι βίου. τὰ ἄνω λοιπὸν βλέπωμεν, οὗ ἡ κεφαλὴ ἡμῶν ὁ Χριστός. περινοούμεθα μή τι τῶν χαμαιζήλων καὶ φθειρομένων καὶ ῥεόντων, ἀλλὰ τῶν οὐρανίων καὶ ἐπουρανίων τὰ κάλλη, τῶν ἐκεῖσε ἀῤῥήτων καὶ ἀπορῥήτων ἀγαθῶν τὰς ἀναπαύσεις καὶ ἀπολαύσεις, ὧν οὔτε νοῦς ἐφικέσθαι, οὔτε οὖς σημανθῆναι, οὔτε καρδία ἀναλήψεσθαι οἷόν τέ ποτε, διὰ τὸ ὑπερβάλλον τῆς ἀγαθότητος. ἐν τούτοις, εἴπερ δῴη ὑμῖν δύναμιν κύριος ὑπομονῆς μέχρι τέλους ἐνεγκεῖν τὸν ἀγῶνα τὸν προκείμενον ὑμῖν τῆς ἀσκήσεως, εὖ οἶδ' ὅτι φθάσετε καὶ ἐπαναπαύσεσθε ἔνθα "ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμός", κατὰ τὸ γεγραμμένον, μέγα τότε εὐχαριστοῦντες τῷ κυρίῳ, τῷ κεκληκότι ὑμᾶς εἰς τόδε τὸ ἱερὸν σχῆμα καὶ ὑπὲρ οὗ ἕκαστος κεκοπίακεν ἀποφυγῆς τοῦδε τοῦ κακοῦ καὶ αἱρέσεως τοῦδε τοῦ ἀγαθοῦ· καὶ οὐδεμία αἴσθησις τῶν παρόντων ἀλγεινῶν, ἀλλ' ὅτι καὶ μὴ πλείονας ἠγωνίσμεθα καὶ δεδώκαμεν πόνους, ὀδυρμούς τε καὶ κόπους μέχρις αἵματος, μᾶλλον

---

1 κῶδ. *διανειμομένοις*. 10 ἀνιμάντης] κῶδ. *ἀμιάντης*. 11 κῶδ. *ἀκούκουλος*.

1/6 Ἡσαΐου ς', 9, 10. 1 κῶδ. *ἀκούσητε*. 2 κῶδ *βλέψητε*. 34/35 Ἡσαΐου λε', 10.

διαπληκτισόμεθα· οἷον γάρ ἐστι, τέκνα καὶ ἀδελφοί, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἰδέσθαι, ὁπόταν ἥξῃ ἐμφανῶς μετὰ τῶν ἀναριθμήτων μυριάδων ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ καθίσῃ κριτήριον παγκόσμιον, συνάγων ἐκ τῶν τεσσάρων γωνιῶν τῆς γῆς πάντα τὰ ἔθνη, πᾶσαν ψυχὴν καὶ πνοήν, ἀνακαλύπτων τὰ ἔργα τοῦ σκότους καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν, εὐθύνων τε ἑκάστου τὸ ἔργον καὶ τὴν πρᾶξιν, πῶς οἳ μὲν ἀρθήσονται μετὰ χαρᾶς ἐν τῇ δεξιᾷ στάσει τοῦ κυρίου, οἳ δὲ μετὰ αἰσχύνης ἀνυποίστου ἐν τῇ εὐωνύμῳ, καὶ οἳ μὲν ἀποκληρωθήσονται ἐν μοναῖς φωτειναῖς, ἐν κόλποις Ἀβραάμ, ἐν τῇ τρυφῇ τοῦ Παραδείσου, ἐν χοροῖς ἀγγέλων, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἳ δὲ ἀπενεχθήσονται ἐν πυρὶ ἀσβέστῳ, ἐν βορᾷ σκωλήκων, ἐν ἀφεγγεῖ σκότει, ἐν βρυγμῷ ὀδόντων, ἐν τόποις ταρτάρων, ἐν δεσμοῖς ἀλύτοις, ἐν καταχθονίοις ᾅδου, ἐν ταῖς λοιπαῖς τιμωρίαις, κατὰ τὴν ἀναλογίαν τῶν ἁμαρτημάτων· οἷον τότε οἳ μὲν ἐκλάμψουσιν ὡς ὁ ἥλιος, σκιρτήσουσιν ἐν εὐφροσύνῃ, ἀγαλλιάσονται ἐν θυμηδίᾳ καρδίας, δοξάσουσιν ἐν ὕμνοις ἀσιγήτοις, συνέσονται, ᾧ καλῶς δεδουλεύκασιν ἀγαθῷ δεσπότῃ, μάρτυρες τῆς αὐτοῦ ὁμολογίας, κενώσαντες τὰ αἵματα· ἀπόστολοι, προφῆται, ὁμολογηταί, ὅσιοι καὶ δίκαιοι, κατόπιν τούτων τὸ μαρτύριον τῆς συνειδήσεως ἐπιδειξάμενοι, ἀρχιερεῖς, ἱερεῖς, μονασταί, λαϊκοί, πάντες ἐν παντὶ ἀγαθῷ πληρώματι καὶ ἐπιτηδεύματι· οἳ δε οἷον βρύξουσι καὶ στενάξουσι καὶ ἀποκλαύσονται καὶ κατατακήσονται καὶ ὀλολύξουσιν, οὐαὶ ἐπὶ οὐαὶ λέγοντες καὶ ἀβουλίαν ἐπὶ ἀβουλίαν καταμεμφόμενοι καὶ τῆς ἀνακλήσεως καιρὸν οὐκ ἔχοντες, ἐξαγκωνισμένοι τε καὶ δεδεμένοι καὶ ὑπὸ ἀποτόμων ἀγγέλων κατεπειγόμενοι καὶ κατατυπτόμενοι, μᾶλλον δὲ αὐτοὶ ὑφ' ἑαυτῶν αὐτοκατάκριτοι καὶ αὐτοκατάδικοι εἰσερχόμενοι εἰς ἃς ἀπενεμήθησαν κατ' ἀξίαν βασάνους, οὐχὶ ἕως τόσου καὶ τόσου—οὐ γὰρ χρονικὴ ἔμφασις ἐκεῖσε—, ἀλλ' εἰς αἰῶνας αἰώνων· "ἀπελεύσονται γάρ", φησίν, "οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον, οἱ δὲ ἁμαρτωλοὶ εἰς κόλασιν ἀτελεύτητον".

Εἰ τοίνυν ἄρα ταῦτα ἐπιλογιζόμενοι ἐν αἰσθήσει καὶ οὐ κατὰ δόνησιν (οὐ γὰρ φάσμα τι, ἀλλὰ μικρὰ εἰκασία τῶν ἐκεῖσε λεγομένων), ἀκηδιάσωμεν ἐν οἷς ἐσμεν πόνοις καὶ ἱδρῶσιν; ἢ ὑπονοστήσωμεν κἂν μικρὸν εἰς τὰ ὀπίσω ἐκ τοῦ κατ' ἀρετὴν βίου; ἢ ὀλιγωρήσωμεν τὸ ἐπίμονον τῆς παραυτίκα ζωῆς; ἢ οὐχὶ καὶ μᾶλλον διασεισθησώμεθα τὰς καρδίας καὶ διαναστησώμεθα θερμότερον πυρός, εἰς τὸ τελέσαι τὰ δέοντα πρὶν ἡμέρας μεταστατικῆς; διὸ πρόσσχωμεν, ἀδελφοί μου, οὕτως ἀναλαμβάνειν· ὁ γὰρ μὴ ἐν τούτοις ὤν, ἤλω ὑπὸ τῶν παθῶν πάντως, ῥέγχει, καθεύδει, μυοπάζει, βαρυκαρδεῖ, φιληδονεῖ, φιλονικεῖ, ζηλοῖ, περπερεύεται, ὀκνεῖ, ἀναδύεται, κύπτει κάτω ὡς ἄρκος ζητῶν μόνον τί φάγῃ καὶ πίῃ· βρύχει ὡς λέων, ἐπὰν ἀποτύχῃ τῶν πονηρῶν βουλευμάτων· πηδᾷ ὡς πάρδος, ποικιλολογῶν καὶ πολυτροπῶν διὰ τὰς ἡδονάς· δολιεύεται ὡς ἀλώπηξ φθάσαι τὸ κατ' ἔφεσιν ζητούμενον· μηνιᾷ ὡς κάμηλος, ἀποδιδοὺς τὴν χρονίαν τὸ πέλας ἀντιλύπησιν· γαυριᾷ ὡς ἵππος θηλυμανῶν κατὰ σωμάτων ἐμψύχων καὶ ἀψύχων· ἀναιδεύεται ὡς λύκος παῤῥησιαζόμενος, εἰς τὸ ἀπολέσαι τὴν ψυχὴν αὐτοῦ ἢ καὶ ἑτέρου. καὶ τί δεῖ λέγειν τὰ πολύμορφα τῆς κακίας πάθη, θηρίοις παντοίοις ἀτιθάσοις οὐ μόνον παραβαλλόμενα, ἀλλὰ καὶ ὑπερβάλλοντα ἐν ἀγριότητι; ὁ δὲ ἐστὼς ἐν τῷ τόπῳ τοῦ ἀγαθοῦ λογισμοῦ, τῆς παραδειχθείσης εἰκόνος ἀλλοίως ὡς ἄγγελος φωτίζεται, ὡς τὰ Χερουβὶμ ἐξαστράπτεται, ὡς τὰ Σεραφὶμ πολυομματεῖ, μή πού πώς ποτε εὑρὼν χώραν εἰσπηδήσῃ ὁ δράκων· ἀνδρίζεται ὡς στρατιώτης, ῥομφαίαν πυρίνην τοῦ τιμητικοῦ λογισμοῦ ἐπιφέρων κατὰ τῆς ἁμαρτίας· πυρο-

---

1 κῶδ. *διαπληκτησόμεθα* 6 κῶδ. *καθήσῃ*. 19 κῶδ. *σκολήκων*. 24 κῶδ. *σκηρτήσουσιν*. 38 ἐξαγκωνισμένοι] οὕτως ἀναυξήτως ἐν τῷ κώδικι.

3/6 πρβλ. Ματθ. κε', 46. 19 κῶδ. *εἴλω*. 23 κῶδ. *φάγει καὶ πίει*. 29 κ ὸ. *γαβριᾶ*.

καυστεῖ τοὺς δαίμονας ταῖς ἀνάψεσι τῶν ἀγαθῶν ἐννοιῶν· πηγάζει ὡς κρήνη ἀέναος τὰ καθαρὰ νάματα τῆς κατανύξεως τῶν δακρύων· ἀνοικοδομεῖται ὡς ναὸς κυρίου τοῖς χρυσέοις λίθοις τῶν ἀρετῶν· πλήρης ἐστὶ δόξης, ταπεινώσεως, φωτός, προσευχῆς, ὡς ἀμνὸς ἄκακος, κατὰ μίμησιν τοῦ δεσπότου αὐτοῦ· οὐκ ἐρίζει, οὐδὲ κραυγάζει, ἀλλ', εἰ καὶ δέει τυθῆναι αὐτόν, εἶκει καὶ πείθεται τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς· υἱός ἐστιν ὑψίστου, δι' ὑπακοῆς καὶ ταπεινώσεως κατιὼν εἰς ὅπερ ἂν προσταγῇ. καὶ μακρὸν ἂν εἴη καταλέγειν τὰ εἰκονίσματα τοῦ θεοειδοῦς ἀνδρός, διὰ τὸ μὴ μηκύνεσθαι τὴν κατήχησιν.

Δέδεικται οὖν ὑμῖν "ἡ ζωὴ καὶ ὁ θάνατος", ὥς φησιν ἡ Γραφή· ὃ θέλει ἕκαστος αἱρήσεται. ὑμεῖς δ', ἀδελφοὶ καὶ πατέρες, ὡς προηρήμεθα καὶ νῦν, παρακαλῶ, ἑλώμεθα τὸ ἀγαθόν, μᾶλλον καὶ μᾶλλον ἀλλήλους παραθήγοντες εἰς εὐσέβειαν, ἀλλήλους ὑπερβάλλοντες εἰς ταπείνωσιν, καί γε μάλιστα ὅτι καὶ ὁ καιρὸς τῆς Τεσσαρακοστῆς ὑφέστηκε, μηδὲν πλέον τῶν διατεταγμένων πράττοντες· οὐ γὰρ ὃ θέλει τις ποιῶν, ἀλλ' ὃ ἐντέταλται πράττων, ἐπὶ βρώσεώς τε καὶ πόσεως καὶ τῶν λοιπῶν, τὸ πρωτεῖον ἔχει τῆς ἀσκήσεως. ὅμως τὸ εἰς δύναμιν ἐπιδεικνύτω ἕκαστος· καθάρσιον γὰρ τοῦ παντὸς ἐνιαυτοῦ οἱ ἅγιοι πατέρες ἡμῶν τάσδε τὰς ἡμέρας διηγορεύκασιν· ἐν αἷς φωτισθείητε, ἁγνισθείητε, λαμπρυνθείητε, θεοποιηθείητε ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ρ'.

Παραινετικός, καὶ τὸ πῶς δεῖ ἀνθίστασθαι καὶ τροποῦσθαι τὰς προσβολὰς τοῦ διαβόλου, καὶ ὅτι πολλῆς ἡμῖν χρεία νήψεως καθ' ἑκάστην ἡμέραν.

Ἀδελφοὶ καὶ πατέρες, εἰ ἀκούειν ζητεῖτε τοῦ ταπεινοῦ μου λόγου, ἐγὼ δ' ὡς χρέος ὑμῖν τοῦτον ἑκάστοτε διανέμω (δι' ὑμᾶς γὰρ δύναμίς μοι τοῦ λέγειν τι μικρόν), ὁμολογῶ συνεργείᾳ τῆς τοῦ πατρός μου εὐχῆς τοῦτο μὲν ἐν τῇ παρούσῃ κατηχήσει, τοῦτο δὲ καὶ ἐν ἄλλαις συνθέσεσι ποιημάτων καὶ συγγραμμάτων, μελισμοῦ τε καὶ εἴ τινος ἄλλης εὐφυΐας λογικῆς τε καὶ πρακτικῆς. ὅθεν δέδοικα καὶ τρέμω, μήπως εἰς κρῖμά μοι περιστήσεται τὸ δῶρον, διὰ τὴν ἀσύνθετον καὶ ταλαίπωρόν μου ψυχήν· ἀλλὰ δέομαι ὑμῶν ἐκτενῶς, παρακαλεῖτε, ἐκδυσωπεῖτε τὸν φιλάνθρωπον θεόν, ἀκατάκριτόν με διατηρεῖσθαι ἐν τοῖς ὑπὲρ ἐμὲ δι' ὑμᾶς διδομένοις μοι καὶ δέχεσθαι τὰ οἰκεῖα ὡς ὀφειλὴν ἀνυπέρθετον.

Τίς δὲ ὁ νῦν λόγος; "ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου", κατὰ τὸν ἀπόστολον. ὅθεν πολλῆς ἡμῖν χρεία τῆς νήψεως, τῆς γρηγορήσεως, τῆς φροντίδος, τῆς ἐπιμελείας, τῆς ἐπείξεως καὶ γοργεύσεως, καὶ μέντοι τῆς τῶν πνευματικῶν περιφράξεως, οἷον πίστεως ἀδιστάκτου ὡς περικεφαλαίας λαμβανομένης, ὑπακοῆς ἀνυποκρίτου καὶ ταπεινώσεως ἀπροσποιήτου, ὡς ἀσπίδος καὶ θυρεοῦ προβεβλημένων, ἑκάστου ἄλλου εἴδους τῶν ἐν ἀρετῇ κατηριθμημένων, ἵν' οὕτως δυνηθείημεν τροποῦσθαι τοὺς ἀοράτως ἡμῖν ἐφισταμένους· πάρεστι γάρ, ὡς ἴστε, ἑκάστοτε ὁ μέγιστος οὗτος καὶ δεινὸς πόλεμος, καὶ οὐδὲ μέχρις αὐτῆς τῆς προσευχῆς καὶ ἱερᾶς κοινωνίας ὑποστέλλεται· ἀνακινεῖ δὲ καὶ ἀναῤῥιπίζει λογισμούς, οὓς οὐ θέμις καὶ γλώσσῃ φθέγγεσθαι κατ' αὐτῶν τῶν θείων δώρων, κατ' αὐτῆς τῆς πίστεως ἡμῶν, κατ' αὐτοῦ τοῦ θεοῦ. περιτρύζει οὖν λοιπὸν κεντουμένη ἡ ταπεινὴ ψυχὴ καὶ σφαδάζει τοῖς ἀντιῤῥητικοῖς λογισμοῖς; ἀλλ' εὐθὺς ἡ βοήθεια παρὰ κυρίου καὶ ἡ ἀνατολὴ ἐξ ὕψους, τοῦ ἀποσοβεῖσθαι τὸν δράκοντα. διὸ οὐ δέον ἡμᾶς ἀθυμεῖν, οὐδὲ καταπίπτειν ἐν τοῖς τοιούτοις· τῇ γὰρ ἀφοβίᾳ τῆς καρδίας ἀπερικτύπητος ὁ νοῦς διαμένει τῆς τοιαύτης ἐνέδρας, οὐ

---

15 πρβλ. Σειρὰχ ιε', 17. 27 κῶδ. *ἐπιδεικνύτο*.
41 κῶδ. *διανείμω*.

15/19 Ἐφεσ. ς', 12.

μόνον λέγω ἐπὶ τοῦ τῆς μεταλήψεως καιροῦ, ἀλλὰ καὶ ἐπὶ πάσης ἄλλης ὥρας, ὅτι καλῶς ἡμῶν ἀναστρεφομένων καὶ γαληνιώντων κατὰ διάνοιαν, ἢ ἐκ φθασάσης κατανύξεως, ἢ ἐκ καθαρᾶς προσευχῆς, ἢ ἐξ ἀναγνώσματος, ἤ τινος ἄλλης ἱερολογίας, κατεπίσταται ὁ ἀντίδικος ταράσσων καὶ διασείων τὴν καρδίαν καὶ ὡς ἀπὸ λιμένος εἰς κλύδωνα εἰσβάλλων, ἢ ὡς ἀπὸ ἡμέρας εἰς ζόφον ἡμᾶς λογισμῶν ἀνθυπεισάγων, καὶ γὰρ οὕτως ἔστιν ὁρᾶν ἐφ' ἡμῖν, ὡς ἐν διαστήματί τινος ἡμέρας, ὅτι πῇ μὲν φαιδρύνεται τῇ λάμψει τοῦ ἡλίου, πῇ δὲ στυγνάζει τῇ τῶν νεφῶν ἐπιῤῥοίᾳ, καὶ αὖθις ἀνατέλλει καὶ πάλιν σκυθρωπάζει τῇ τοῦ ἀέρος πολυτρόπῳ ἀλλοιώσει. μὴ γὰρ οὐχὶ καὶ ἡμεῖς ἐσθ' ὅτε λαμπρυνόμεθα καὶ πεφωτίσμεθα ἐν τῷ μέρει τῆς ἡμέρας διὰ τῆς ἀγαθῆς ἐπινοίας, εἶτα στυγνάζομεν καὶ ἐζοφώμεθα διὰ τῶν σκοτεινῶν λογισμῶν, καὶ πάλιν ἀποκαθιστάμεθα εἰς φωτισμόν, ἐπιλαμβανόμενοι προσευχῆς ἢ ἄλλης τινὸς ἀγαθῆς ἐργασίας, καὶ τοῦτο πολλαχῶς τῆς ἡμέρας; ἀλλ' ἐπὶ μὲν τοῦ ἀέρος ἄλλως ἡ ἀλλοίωσις, φυσικὴ γὰρ καὶ ὡς ἡ τοῦ δημιουργοῦ τῶν ὅλων θεοῦ σοφία οἰκονομοῦσα τὰ καθ' ἡμᾶς διοικεῖται· ἐπὶ δὲ ἡμῶν προαιρετικὴ καὶ τοῦ αὐτεξουσίου. εἰ γὰρ καὶ πειρᾶται διὰ τῆς προσβολῆς ὁ διάβολος τὸ φῶς ἡμῶν σκῦλαι τῆς ἀγαθῆς καταστάσεως, ἰσχὺς ἡμῖν ἀποκρούεσθαι αὐτὸν καὶ ἀεὶ ἔχειν τὸν ἥλιον τῆς δικαιοσύνης καταλάμποντα τὸν νοῦν ἡμῶν, ὥσπερ εἶχον οἱ ἅγιοι καὶ ἔχουσιν οἱ καλῶς πολιτευόμενοι· καὶ νῦν γὰρ πολλοὶ ἅγιοι τυγχάνουσι καὶ ὡς "λίθοι τίμιοι κυλίονται ἐπὶ τῆς γῆς", κατὰ τὸ γεγραμμένον, οὐκ ἐν τῷ σημεῖα καὶ τέρατα ποιεῖν (οὐ γὰρ ἐν τούτῳ ἡ ἁγιότης μόνον), ἀλλ' ἐν τῷ τὴν πίστιν ὀρθὴν τηρεῖν καὶ τὰς ἐντολὰς ἀπαρατρώτους, τῷ ἀγάπην ἔχειν εἰλικρινῆ μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, τῷ καθαρεύειν μίσους, φθόνου, ἔριδος, τῷ συγχαίρειν τῇ τοῦ πέλας εὐδοκιμήσει, τῷ ἀνώτερον εἶναι δόξης ἀνθρωπίνης, τῷ εἴσω τῶν ὅρων τῆς αὐταρκείας μένειν ἐπὶ βρώσεως, πόσεως καὶ τῶν ἄλλων χρειῶν τοῦ σώματος. καὶ τοῦτο περὶ πάντα ἄνθρωπον, περὶ δὲ ὑμῶν καὶ μάλα τῶν ἐκβεβηκότων τοῦ κόσμου καὶ ἐσταυρωμένων τῷ κυρίῳ, καὶ δῶρα μᾶλλον προσφερόντων, τὴν ἀκτημοσύνην καὶ τὴν παρθενίαν, οὓς οὐκ ἄν πώς τις εἴποι ἁγίους· ἀλλ' ἐπιμεινωμεν φέροντες γενναίως τοὺς ὑποτακτικοὺς ἄθλους, τὰ τῆς ἀσκήσεως ἀλγεινά, τὴν ὀλιγοδεείαν κατὰ τὸν παρόντα καιρὸν τῆς νηστείας, τὴν κοπωτικὴν ἐργασίαν, τὴν εὐτελῆ φορεσίαν τῶν ἐνδυμάτων, τῶν ὑποδημάτων, τὴν λοιπὴν ἄλλην κακουχίαν, ἥνπερ καθ' ἑκάστην ἀνατλᾶται· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα καθυπομένοντες καὶ μὴ ὑπενδιδόντες ὅλως, μηδ' ἀποῤῥηγνύμενοι τῆς ὑποταγῆς ὑμῶν, μηδ' αὖ ἐν τοῖς πάθεσιν ὑποπίπτοντες, ἀλλὰ πάντοτε πᾶσι τρόποις πολεμοῦντες ἅγιοι καὶ μετὰ ἁγίων ταχθήσεσθε, καὶ ὁ χορὸς ὑμᾶς δέξεται τῶν ὁσίων, καὶ ἐναγαλλιάσεσθε ἐν σκηναῖς τῶν μαρτύρων ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

10 κῶδ. *ἀνθ' ὑπεισάγων.* 31 ἥλ. τῆς δικαιοσύνης] Μαλαχ. δ', 2. 34/35 Ζαχαρ. θ', 16. 39 κῶδ. *εἰλικρηνῆ.*

ΚΑΤΗΧΗΣΙΣ ΡΑ'.

Παραινετικὸς καὶ εἰς ἑαυτὸν ἐκ ταπεινώσεως κατάγνωσις, καὶ τὸ ὁποῖον δεῖ εἶναι τὸν προεστῶτα ἐν ἀδελφότητι.

Πατέρες μου καὶ ἀδελφοί, ἐννοούμενος τῆς προστασίας τὸ ἄξίωμα καὶ τὴν ἐμαυτοῦ ἐπαισθανόμενος ἀναξιότητα, ἡνίκα λάβω καιρὸν νήψεως, δεδιῶ καὶ τρέμω, θρηνῶ καὶ καταπίπτω καὶ οἷον εὔχομαι διαστῆναί μοι τὴν γῆν, τοῦ καταπιεῖν με τὸν δείλαιον, ὅτι τῷ ὄντι ἀνδρός ἐστι τὸ ἐπιστατεῖν, ὡς αἱ ὑποθῆκαι τῶν ἁγίων διαγορεύουσιν, δυνατοῦ ἔργῳ καὶ λόγῳ "ἀκαπηλεύτως πρεσβεύειν δυναμένου τὸν λόγον τῆς ἀληθείας", ἑαυτόν τε τύπον παντὸς προτιθέντος τοῖς ἐπομένοις, ὡς ἂν ἐγγύθεν ἔχόντες τὸ τῆς ἀρετῆς παρά-

17 κῶδ. *ἀποῤῥυγνύμενοι.* 38/39 Ἐφεσ. ι', 13.

δειγμα χαρακτηρίζοιεν ἑαυτοὺς πρὸς τὸν θεοειδῆ καὶ οὐράνιον βίον τῆς ὑψηλῆς πολιτείας. ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ἄναγνος, ἀσύνθετος, περιπαθής, περιδεής, ἀσθενής τε ὁμοῦ τῇ ψυχῇ καὶ τῷ σώματι· ἴστε γάρ, ὅτι καὶ ἐν ταύταις ταῖς ἁγίαις ἡμέραις οἰνοποτῶν εἰμί. πῶς οὐκ ἂν λοιπὸν στενάξω καὶ ἀγωνιάσω καὶ καταγάγω τοῖς ὀφθαλμοῖς μου δάκρυα, τὸν ἐπηρτημένον μοι κίνδυνον τῆς πάντων ὑμῶν ἀπολογίας ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ ὑφορώμενος, ὅτε εὐθυνόμενος εὐθυνθήσομαι ὑπὲρ ἑνὸς ἑκάστου, ὅπως τε διετέθην καὶ ἐφ' ὅσον ἐπέδωκα ἐμαυτὸν τὰ κατ' ἀξίαν ποιῶν καὶ λέγων, ὡς μὴ ἐλλιμπάνεσθαί τι τῶν εἰς ἀρέσκειαν αὐτοῦ ὀφειλομένων γενέσθαι ἔν τε ὑμῖν τοῖς ἤδη σεσωσμένοις, διὰ τῆς ἀκαταγωνίστου ὑμῶν ἐνστάσεως, καὶ ἐν τοῖς δι' ἀπροσεξίαν καὶ ἀκρασίαν ἀποδεδράκόσι τῆς καλῆς ὑμῶν συνοδίας, ὥδέ τε κἀκεῖσε φερομένοις καὶ ζῶσι βίον τὸν αὐτόνομον καὶ ἀπολλύμενον; εἰκότως οὖν ἐν ἐμοὶ ἡ ἀγωνία καὶ ἡ καταφόβησις.

Τί δεῖ οὖν πρᾶξαι, ἢ ὡς ἐπὶ πέλαγος τινὸς κυβερνήτου ἐμπεσόντος, ἐν ᾧ πολλοῦ διὰ τῆς ἀντιπνεύσεως τῶν ἀνέμων ἐγερθέντος κλύδωνος καὶ ἤδη καταποντίζεσθαι μέλλοντος, ἐπᾶραί με χεῖρας εἰς οὐρανὸν καὶ τὴν ἐκεῖθεν ἐπικουρίαν ἐπιζητεῖν εἰς τὸ διασωθῆναι μέχρι τινὸς λιμένος, συνεπιλαμβανομένου ὑμῶν ὡς συμπλωτήρων τῆς ἐπὶ τῇ καθηκούσῃ χρείᾳ ἑκάστοτε διαχειρίσεως, ὡς ἂν ὁ πρωρεὺς γρηγοροίη, ὅστις εἴη, καὶ ἐπισκήπτοιτο πρὸς ὅπερ δεῖ ἀπευθύνεσθαι τὴν ναῦν, οἵ τε ἐγγύθεν συμπαρόντες τῷ κυβερνήτῃ, συναιρούμενοι τὰ κατὰ ἀδυναμίαν αὐτῷ παραλιμπανόμενα, οἵ τε πρὸς ἕτερόν τι ἀποτεταγμένοι ἀνολιγώρως διανύοιντο τὸ χρειῶδες, πάντων ὑπακουόντων, πάντων διεγηγερμένων πρὸς τὸ κοινῇ συμφέρον, πάντων εὐηκοούντων ἐκ πρωτολογίας, πάντων συννευόντων εἰς ἀλλήλους ἐν ὁμοψυχίᾳ, οὐδενὸς ὄντος ἀργοῦ καὶ ἀκινήτου, οὐδὲ καθεύδοντος καὶ ῥέγχοντος; καὶ εἰ ἐκεῖσε οὕτως καὶ οὐδὲ πάντα καταλέγειν ὥρα καὶ πεῖρα, πόσον ἂν ἐπὶ τοῦ καθ' ἡμᾶς πλοίου, τούτου δὴ τοῦ πλέοντος, πέλαγος ἀχανὲς καὶ ἀπεριόριστον, τοῦ ἔχοντος πολλὰ καὶ σφοδρότατα τῆς πονηρίας τὰ πνεύματα, τρικυμίας τῶν παθῶν ἀνιούσας ὡς εἰπεῖν ἕως αὐτοῦ τοῦ οὐρανοῦ καὶ κατιούσας πάλιν ἕως τῶν ἀβύσσων τῆς γῆς (τοιαῦτα γὰρ τὰ ἐναντία πάθη), πέτρας τε ὑφάλους καὶ δυσκολίας ἄλλας μυρίας, μεμεστωμένου καὶ οὔποτε ἀπολήγοντος τῆς ταραχῆς, οὐδ' αὖ πάλιν σώματα ἀπολλύντος ἀλλ' αὐτὰς τὰς ψυχὰς διὰ τῆς ναυαγήσεως εἰς αἰῶνας αἰώνων; οὗ φύγοιμεν καὶ λυτρωθείημεν, μέχρις ἂν καταντήσωμεν εἰς τὸ πέρας τοῦ βίου ὡς ἐν λιμένι εὐδίῳ, εὐχαῖς ἁγίων καὶ πρό γε πάντων τῆς Θεοτόκου, τοῦ Προδρόμου τε καὶ τοῦ Θεολόγου, τῶν δεσποτῶν ἡμῶν, καὶ τῶν ἐξαιρέτων ἁγίων, ὧν ἐπικαλούμεθα τὰ σεβάσμια ὀνόματα κατὰ συνήθειαν.

Δῶμεν τοιγαροῦν λοιπὸν ἑαυτούς, ἀδελφοί, ὁλοτελῶς, παρακαλῶ, εἰς τὴν προκειμένην θεωρίαν· μοχθήσωμεν, ἀγωνισώμεθα, ἐλάσωμεν καὶ καταφθάσωμεν εἰς γῆν σωτηρίας· μηδόλως ἀθυμήσωμεν, μηδόλως ἀκηδιάσωμεν. εἰ καὶ τὰ πνεύματα πολλὰ τῆς πονηρίας, εἰ καὶ οἱ ἄνεμοι ἐναντίοι τῆς ἁμαρτίας, εἰ καὶ τὸ πέλαγος μέγα τῆς διαβιώσεως, εἰ καὶ ὁ κλύδων σφοδρὸς τῶν παθῶν, εἰ καὶ πέτραι πονηραὶ ἀφανεῖς τῆς ἀγνοίας, ἀλλ' ἔχομεν τὸν μέγαν βοηθὸν καὶ ὑπερασπιστὴν ἡμῶν θεόν, τὸν καὶ τοὺς ἀνέμους ἐπιτιμῶντα καὶ τὴν θάλασσαν φιμοῦντα καὶ τὸν κλύδωνα κοπάζοντα καὶ ἐμποιοῦντα ἡμῶν ταῖς ψυχαῖς γαλήνην ἀπαθείας θυμηρεστάτην, μόνον ἐὰν ἐν ἀληθείᾳ ἐπικαλώμεθα, μόνον ἐὰν ἐν καιρῷ ἐπαναστάσεως διεγειρόμενοι λέγωμεν "σῶσον ἡμᾶς, ἐπιστάτα· ἀπολλύμεθα". φιλόστοργός ἐστι, πατὴρ γὰρ ὑπάρχει· φιλοσυμπαθής ἐστι πρὸς τοὺς δούλους, δεσπότης γὰρ φιλάνθρωπος ὑπάρχει· ἐπικαμπτόμενός ἐστι πρὸς τοὺς οἰκείους μαθητάς,

28 κῶδ. *ἐπαίραι*. 32 κῶδ. *διαχειρήσεως*. 33 κῶδ. *γρηγοροῖ*. 38 κῶδ. *ἀνωλιγώρως*.

8 κῶδ. *ἀβύσσον*. 11 κῶδ. *ἱπολίγοντος*. 12 κῶδ. *ἀπολλύντως*. 14 κῶδ. *λυτροθ*. 33 κῶδ. *φημοῦντα*. 38/39 πρβλ. Λουκᾶ η', 24.

διδάσκαλος γὰρ ἀγαθὸς τυγχάνει· δι' οὗς γὰρ ἐξ οὐρανοῦ κατεφοίτησε, δι' οὓς δούλου μορφὴν ἀνέλαβε, δι' οὓς ἐσταυρώθη καὶ ἀπέθανεν, πῶς οὐχὶ τούτους ἐπικαλουμένους ἐν ἡμέρᾳ θλίψεως ἐξελεῖται τῶν κινδύνων καὶ ἐπικουρήσει ἐν σπλάγχνοις εὐμενείας, διατηρῶν αὐτοὺς ἀβλαβεῖς ἐκ παντὸς νοουμένου κινδύνου; μόνον νηφόντως καὶ γρηγορότως καὶ ἐπιστημόνως διερχώμεθα τὰς ἡμέρας ἡμῶν, πρὸς ὃ ἕκαστος ἀποτέτακται, τηρῶν τὴν διακονίαν αὐτοῦ μετὰ συνειδήσεως ἀκαταγνώστου, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, εἴτε ὁ νουθετῶν ἐν τῇ νουθεσίᾳ, εἴτε ὁ ἐπιτιμῶν ἐν τῇ ἐπιτιμήσει, ὁ ἐγκελευόμενος ἐν τῇ εὐδιακρισίᾳ τῆς κατὰ δύναμιν τοῦ ἐργαζομένου ἰσχύος, ὁ ὑπακούων ἐν τῇ ἀνυποκρίτῳ καὶ ἀγογγύστῳ μέχρις αὐτῶν τῶν ἀδυνάτων, εἰ τοῦτο τύχοι ἐπιταχθέν, εὐπειθείᾳ, μηδενὸς τὸ παράπαν ἀνταναστα-
μένου καὶ ἀντιλογοῦντος· "ἀντιλογίας γάρ" φησίν "ἐγείρει πᾶς κακός, ὁ δὲ κύριος ἄγγελον ἀνελεήμονα ἐπιπέμπει αὐτῷ", ὁ διανέμων τὰς χρείας ἐν ἱλαρότητι τῆς μεταδόσεως καὶ μὴν καὶ στυφότητι, ὅταν τινὲς ἀτακτοῖεν καὶ παρὰ τὸ εἰκὸς ἐπιζητοῦσι τὰ μὴ ὀφειλόμενα. ἐπὶ τοῦ κελλαρίτου ὁ λόγος, ἐπὶ τοῦ σκευτέως, ἐπὶ τοῦ βεστιαρίου, ἐπὶ τοῦ τραπεζαρίου, ἐπὶ τοῦ νοσοκόμου καὶ μέντοι ἐπὶ τοῦ πρωτοκαλλιγράφου, τοῦ κανονάρχου, τοῦ ταξιάρχου, ἐπὶ οὕτινος ἄλλου τῶν διανεμόντων, πρὸ πάντων ἐπὶ τοῦ οἰκονόμου. οἱ ἐπιτηροῦντες ἐν τῇ ἀνολιγώρῳ τῆς ἐπιτηρήσεως προθυμίᾳ, μή πού πώς τις παρὰ τὸ δέον κινοῖτο λέγων τι ἢ πράττων τῶν μὴ ἀνηκόντων εἰς τὸ φανεροῦσθαι πρὸς διόρθωσιν. ὡσαύτως ἐπὶ τῶν ἀφυπνιστῶν κἀν τούτοις καὶ ἐπὶ τῶν παιδευτῶν, εἰς τὸ ἔργον ἔχειν τὴν παιδείαν καὶ νουθεσίαν καὶ μὴ παραλογίζεσθαι ὡς μικρὸν τὸ ἀξίωμα· εἰ γὰρ τοῦ οὐαὶ κληρονόμος ὁ ποτίζων ἀνατροπὴν θολερὰν τῷ πλησίον αὐτοῦ, πόσης οὐκ ἂν ἄξιος εἴη εὐλογίας ὁ διὰ νουθεσίας ἐπανάγων τὸν ἀδελφὸν αὐτοῦ ἐκ πλάνης ὁδοῦ αὐτοῦ;

Οὕτως ἔστω πᾶς ἐνεργῶν τὰ οἰκεῖα, πᾶς εὖ πράττων τὰ ὀφειλόμενα, τὰ ἀνήκοντα, τὰ σωτήρια, καὶ μισθὸς ὑμῖν οὐ χρυσίον καὶ ἀργύριον, οὐ κτῆσις καὶ κατάσχεσις γῆς τινος καὶ περιουσίας, ὥσπερ ἐπὶ τοῦ πατριάρχου 'Αβραάμ, λέγοντος τοῦ θεοῦ πρὸς αὐτόν "σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου", ἀλλ' αὐτὴ ἡ βασιλεία τῶν οὐρανῶν, τῶν αἰωνίων ἀγαθῶν ἡ ἀπόλαυσις, ἡ ἁγία γῆ τῶν πραέων, οἱ κλῆροι οἱ ἄϊδιοι, αἱ σκηναὶ τῶν ἁγίων· ἧς καταξιωθείημεν, τελοῦντες ὁσίως τὸν βίον ἡμῶν ἐν Χριστῷ 'Ιησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΒ'.

Περὶ ἀπροσπαθείας τοῦ ματαίου καὶ φθαρτοῦ βίου, εὐτονίας τε καὶ προθυμίας τοῦ θεοπολιτεύτου καὶ ἀσκητικοῦ ἡμῶν δρόμου.

'Αδελφοὶ καὶ πατέρες, δρόμος τίς ἐστιν ὁ καθ' ἡμᾶς βίος, καὶ δρόμος οὐκ ἐν μιᾷ ἢ δευτέρᾳ ἢ πλείσταις ἡμέραις ἀποπληρούμενος, ἀλλ' εἰς ἀεὶ τῷ τῆς ζωῆς ἡμῶν μέτρῳ παρεκτεινόμενος, ἕως ἂν ἐκ τῶν ἐνθένδε πρὸς τὸν μέλλοντα αἰῶνα χωρήσωμεν. πόσης οὐκ ἂν λοιπὸν εὐτονίας χρεία; πόσης δυνάμεως καὶ νήψεως καὶ προθυμίας, ἵνα μὴ ὀκλάζωμεν, ἵνα μὴ ἀπείπωμεν πρὸς τὸ τηλικοῦτον διάστημα, καὶ ταῦτα ἔχοντες καὶ τὸν ἀντίδικον ἡμῶν ἐχθρὸν ἐμποδιστὴν καὶ ὑποσκελιστὴν τῶν κατὰ θεὸν διαβημάτων ἡμῶν, ἀλλ' οὖν καὶ ἀντιλήπτορα καὶ ἀλείπτην πρὸς τοὺς ἀγῶνας καὶ συμποριστὴν τοῦ δρόμου πάλιν οὐ τὸν δεῖνα καὶ τὸν δεῖνα, ἀλλὰ τὸν κύριον καὶ δεσπότην τοῦ παντός, τάς τε τῶν ἁγίων ἀγγέλων ἐπικουρίας καὶ φυλακάς; "ἰδοὺ γὰρ οὐ νυστάξει οὐδ' ὑπνώσει", φησίν, "ὁ φυλάσσων τὸν 'Ισραήλ". διὸ προθύμως ἐχώμεθα τοῦ δρόμου ἡμῶν, εὐτόνως

---

2 δούλου μορφὴν κέ] Φιλιπ. β', 7. 9 κῶδ. *διερχόμεθα*. 20/22 Παροιμ. ιζ', 11. 30 κῶδ *διανεμούντων*. 38 πρβλ. 'Εφεσ. ς', 4.

7 Γεν. ιγ', 15, 17. ιε', 18. 10 γῇ τῶν πραέων] Ψαλμ. λς', 11. 32 κῶδ. *ὑποσκελλιστὴν*. 38/39 Ψαλμ. ρκ', 4.

τῆς ἐνστάσεως ἡμῶν, ἐπιθυμητικῶς τῆς προθυμίας ἡμῶν, μὴ πρὸς τὰ κάτω βλέποντες, ἀλλ' εἰς τὰ ἄνω ἀποσκοποῦντες· ὅπερ ἰδίωμα τῶν τρεχόντων. εἰ μὲν οὖν πρὸς τὰ κάτω ἀπίδωμεν, πάντως ὀκνηρία καὶ ἀθυμία καὶ ἀτονία προσγενήσεται, ἐμπειρομένης τῆς διανοίας ἡμῶν ὧδε κἀκεῖσε εἰς τὰ μάταια καὶ εἰς τὰ ἡδονικὰ τοῦ βίου τούτου, πρὸς πορνείαν, πρὸς γαστριμαργίαν, πρὸς φιλοκτημοσύνην, πρὸς ἀπάτην τῶν ὀφθαλμῶν, πρὸς θέατρα, πρὸς πανηγύρεις, πρὸς καλλωπισμούς, πρὸς φαντασίας, πρὸς πᾶν οὖν ἄλλο τῶν τάχιστα ἀφισταμένων καὶ ἀπολλυμένων. τί γὰρ ἐπίμονον τῶν ἐν τῷ βίῳ καὶ οὐ παρερχόμενον ἐν ἰσότητι ὀνείρου καὶ σκιᾶς δραπετευούσης; ἐμβλέψατε γὰρ καὶ ἴδετε ἀπὸ ἀρχαίων γενεῶν ἕως τοῦ παρόντος τίς ἢ τί ἔμεινεν ἐπὶ τῆς αὐτῆς καταστάσεως· ἀλλ' οὐχὶ ἠλλοίωται καὶ ἠφάνισται καὶ ἀπόλωλεν ὡς εἰπεῖν μετ' ἦχου καὶ τοῦ μνημονεύεσθαι, βασιλεῖς, σατράπαι, ἄρχοντες, δυνάσται, τρυφῶντες καὶ γαυριῶντες, πλουτοῦντες καὶ δοξαζόμενοι, ἀνεγείροντες οἰκίας καὶ πόλεις, φυτεύοντες ἀμπελῶνας καὶ παραδείσους, ἐγκαλλωπιζόμενοι καὶ ὡραϊζόμενοι, νυμφαγωγοῦντες καὶ νυμφαγωγούμενοι, πολυτεκνοῦντες καὶ εὐτεκνούμενοι, πλεονεκτοῦντες καὶ χρυσομανοῦντες, πάντα δρῶντες καὶ πάσχοντες, ὅσα κατ' εὐεξίαν σώματος καὶ αἵματος; οὐδὲν οὖν ἐκ τοῦ αἰῶνος ἕως τοῦ δεῦρο μεμένηκε καὶ διασέσωσται, ἀλλ' ὡς εἴρηται ἀπόλωλε καὶ ἠφάνισται, καὶ εἴθε τοῦτο ἀλλὰ μὴ τετήρηται εἰς ἡμέραν ἀνταποδόσεως καὶ δικαιοκρισίας θεοῦ, ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ταῦτα τοῦ παρόντος αἰῶνος· εἰ δὲ πρὸς τὸν μέλλοντα ἀποσκοπήσωμεν, εἰ καὶ θλιβερὰ τὰ παρόντα καὶ ὀδυνηρά, εἰ καὶ κόπος καὶ μόχθος, εἰ καὶ νηστεία καὶ ἀγρυπνία, εἰ καὶ κοπὴ θελήματος, εἰ καὶ στέρησις ἐφέσεως, εἰ καὶ τοῦτο καὶ ἐκεῖνο, ὅσα κατὰ τὸν ἀσκητικὸν βίον καὶ τὴν ἀθλητικὴν ὑποταγὴν τεθεώρηται, οὐδαμῶς ἀκηδιάσωμεν, οὐδαμῶς ὀλιγωρήσωμεν, οὐδαμῶς ἐπιστυγνάσωμεν τοῖς προσπίπτουσι λυπηροῖς, οὐδαμῶς ἀπείπωμεν τοῖς ἐνισταμένοις πάθεσιν, ἀλλὰ θαρσαλέῳ φρονήματι καὶ πνεύματι τρέχοντες τρέξωμεν καὶ βαδίζοντες βαδίσωμεν, πρὸς οὐρανὸν ὁρῶντες, πρὸς θεὸν ἀποβλέποντες, πρὸς βασιλείαν οὐρανῶν ἀνατεινόμενοι, πρὸς κτῆσιν τῶν ἀποκειμένων ἀγαθῶν, πρὸς ἀπόλαυσιν τοῦ Παραδείσου, πρὸς τρυφὴν τῆς ἀφθάρτου δόξης ἐκείνης, πρὸς τὸ φῶς τὸ ἀνέσπερον, πρὸς τὴν μακαριότητα τῶν ἀγγέλων. καὶ τίς ὁ ἐφικνούμενος νοῦς ἢ λόγος τὴν ἐκεῖσε χαρὰν καὶ εὐφροσύνην καὶ ἀπόλαυσιν; οὐκ ἔστιν, οὐκ ἔστιν οὐκ ἐννοῆσαι, οὐκ ἀκοῦσαι, οὐ φράσαι. οὕτως οὖν οἱ ἅγιοι πάντες δεδραμηκότες ἔδραμον καὶ νενικηκότες ἐνίκησαν, μάρτυρες, ὅσιοι, δίκαιοι, εὐσεβεῖς, θεοφιλεῖς, μονάζοντες, λαικοί, ἄνδρες, γυναῖκες, νεώτεροι, πρεσβῦται, παιδείαν τινὰ ἠγησάμενοι τὰ ἐνταῦθα καὶ δερόμενοι καὶ τυπτόμενοι καὶ κοπτόμενοι καὶ ἀσκούμενοι καὶ ἐγκρατευόμενοι καὶ ἀγνευόμενοι, αἱρησάμενοι ὄναρ λυπηρὸν ἰδεῖν καὶ παθεῖν καὶ ἡμέραν πραγματείαν ἀληθινὴν καὶ ἀγαθὴν ἐπιτεύξασθαι.

Οὕτως οὖν καὶ ἡμεῖς, εἴπερ τῆς αὐτῶν ἐπιθυμοῦμεν δόξης καὶ ἐπιτυχίας, ταῦτα καὶ δρᾶσαι καὶ παθεῖν ἐν ταύτῃ τῇ θεοποθήτῳ ἡμῶν πολιτείᾳ. διὸ στέργωμεν, ἀδελφοί· ὑπομένωμεν, καρτερῶμεν ἀνδρείῳ φρονήματι, ἀκαταπονήτῳ προθυμίᾳ, μὴ γυναικιζόμενοι, μὴ καταθηλυνόμενοι, μὴ καθηδονευόμενοι, μᾶλλον δὲ μὴ ἀποκτηνούμενοι καὶ τοὺς ὀφθαλμοὺς ἐπὶ πόδας φέροντες, ἀνθ' ὧν ἐπὶ κεφαλῆς τὸν σοφὸν διακελεύει ὁ λόγος ἔχειν· οἱ γὰρ τὰ οὐράνια ἐννοούμενοι καὶ ἐν αὐτοῖς ἐνασχολούμενοι ὄντως ἐπὶ κεφαλῆς τοὺς ὀφθαλμοὺς ἔχουσιν, οἱ δὲ εἰς τὰ μάταια καὶ ἐν αὐτοῖς ἐγκαλινδούμενοι ἀληθῶς ἐπὶ πόδας τοὺς ὀφθαλμοὺς φέρουσι, τὸ σχέτλιον καὶ τερατῶδες ἄνθρωπόν τινα κάτω τὴν κεφα-

---

6 κῶδ. *ἐμπειρωμένης.* 19 κῶδ. *ἐπάλωλεν.* 34/35 πρβλ. Ῥωμ. β', 6.

1/3 κῶδ. *ἀκηδιάσομεν, ὀλιγωρήσομεν, ἐπιστυγνάσομεν.* 5 κῶδ. *θαρσαλαίῳ.* 6 κῶδ. *θρέξομεν, βαδίσομεν.* 33 κῶδ. *κατεθηλινόμενοι.* 36 Ἐκκλ. β', 14. 40 κῶδ. *ἐγκυλινδούμενοι.*

λὴν ἔχοντα, ἄνω δὲ τοὺς πόδας περιπατεῖν· σχετλιώτερον δ' αὖ μᾶλλον καὶ ἀπανθρωπότερον εἴη δ' ἄν, εἰ κατὰ ψυχὴν τοῦτο πάσχειν. ἀλλ' ἡμεῖς, πατέρες καὶ ἀδελφοί, ὡς σοφοὶ ἐπὶ κεφαλῆς τοὺς ὀφθαλμοὺς ἔχοντες οὕτω περιπατῶμεν, τὰ θεοῦ καὶ θεῖα ἐννοούμενοι καὶ πράττοντες, ἅ ἐστι πίστις, ἐλπίς, ἀγάπη, ἐν κεφαλαίῳ· ἐξ ὧν ὑπομονὴ κραταιά, ἀγνεία, φιλαδελφία, εἰρήνη, πραότης, ἐπιείκεια, ἀνδρεία, εὐστάθεια, ἐγκράτεια, πᾶσα ἀγαθωσύνη, "πᾶν δώρημα τέλειον", πᾶσα ἀρετῶν ἀνθοφορία καὶ καρποφορία· τὰ γὰρ ἐναντία τῶν ἐναντίων, ἄτινά ἐστιν ἀπιστία, ἀνελπιστία, μῖσος· ἐξ ὧν ἀνυπομονησίαι, ὀλιγωρίαι, πορνεῖαι, μοιχεῖαι, παῤῥησίαι, φιληδονίαι, γαστριμαργίαι, περπερίαι, καλλωπισμοί, γέλωτες, ὕβρεις, φθόνοι, φόνοι, πᾶσά τις ἄλλη σατανικὴ πρᾶξις καὶ ἐνέργεια. οἱ τοῦ θεοῦ τὰ τοῦ θεοῦ διώξωμεν, οἱ καθαροὶ τὰ τοῦ φωτός, οἱ ἁγνοὶ τὰ τῆς παρθενίας, οἱ εὐλαβεῖς τὰ τῆς ὁσιότητος, οἱ εἰρηνικοὶ τὰ τῆς φιλαδελφίας, οἱ ἀκενόδοξοι τὰ ἐν οὐρανῷ, οἱ ἀποτακτῖται κόσμου τὰ ὑπὲρ κόσμον. μὴ ἀμειφθήτω ἡ τάξις ἐν ἀταξίᾳ, ἵν' οἱ τοῦ φωτὸς τὰ τοῦ σκότους διώκωμεν, οἱ τῆς ἁγνείας τὰ τῆς πορνείας, οἱ τῆς εὐλαβείας τὰ τῆς ἀταξίας, οἱ τῆς μισοδοξίας τὰ τῆς φιλοδοξίας, ἐπεὶ ἐλεεινόν, ἐπεὶ πονηρόν, ἐπεὶ θεομαχές, ἐπεὶ φιλοδαιμόνιον, ἐπεὶ ὑπέκκαυμα τοῦ αἰωνίου πυρός· οἱ τοῦ κόσμου τὰ τοῦ κόσμου, οἱ φιλοθέατροι τὰ τῶν θεάτρων, οἱ φιλοπαιγνεῖς τὰ τῶν παιγνίων, οἱ φιλόσαρκοι τὰ τῆς σαρκός, οἱ φιλόπορνοι τὰ τῶν πορνευόντων· ὅπερ μὴ εἴη τις, κἂν οὕτω λέγωμεν· ἀλλ' ἡμεῖς γε, ὦ ἀδελφοί, τὰ τοῦ θεοῦ, ὡς θεοῦ, ὃ κατ' αὐτὸ τὸ ἐπάγγελμα καὶ τὸ ὄνομα λεγόμεθα· μοναχοὶ γὰρ καὶ ἀποτακτῖται καὶ ἀναχωρηταὶ καὶ παρθένοι καὶ θεραπευταὶ καὶ ἅγιοι κεκλήμεθα καὶ ὑπονοούμεθα παρὰ ἀνθρώπων εἶναι.

Μηδεὶς οὖν λοιπὸν ἐξ ἡμῶν εἴη ἄθεος, μηδεὶς ταραχώδης, μηδεὶς ὑβριστής, μηδεὶς φιλόπορνος, μηδεὶς γόγγυσος, μηδεὶς ψίθυρος, μηδεὶς ἀκηδιαστής, μηδεὶς ὀλίγωρος, ἐπεὶ ἡ ὀργὴ τοῦ θεοῦ μεγάλη καὶ ἐγγὺς καὶ ἀνταποδοτική· καὶ οὐχ οὕτως παροργίζεται θεός, εἰ καὶ παροργίζεται ἐπὶ τοῖς ἐν τῷ λαϊκῷ τάγματι κακουμένοις κατὰ ψυχήν, ὅσον ἐφ' ἡμῖν τοῖς ἀνακειμένοις αὐτῷ ἐξ ὁλοκλήρου· ὥσπερ δαὶ δεσπότης πλείω ἀγανάκτησιν πάντως ἐνέγκοι ἐπὶ τῶν κατὰ πρόσωπον πταιόντων δούλων, παρὰ τοὺς πόῤῥω καὶ ἐν ἀποβύστῳ ὄντας. ταῦτα δ' εἴρηταί μοι πολλαχῶς, εἰ καὶ ἀλλοτρόπως, διὰ τὸ ἐπιμένειν τὴν κακίαν καὶ διὰ τὸ πῆ μὲν διορθοῦσθαι καὶ πάλιν ὑποπίπτειν· καὶ οὐδὲ διὰ τοὺς ἀτάκτους μόνον, ἀλλὰ καὶ διὰ τοὺς εὐτάκτους, καὶ οὐ διὰ τοὺς ἄρτι τὸ σχῆμα λαβόντας, ἀλλὰ καὶ διὰ τοὺς πεπαλαιωμένους ἐν τῷ σχήματι· ὅσον γὰρ ὁ χρόνος, τοσοῦτον καὶ τὸ διάφορον τῆς πολιτείας διαφαίνεσθαι ὀφείλει, ἐπεὶ πρὸς τὸ μηδὲν ὀνᾶσθαι ἐν τῇ παλαιότητι κατακρίσεως καὶ γελοίου αἴτιον ἡ παλαιότης, ὥσπερ καὶ πεπολιωμένον ἰδέσθαι ἄνδρα εἰς σχολεῖον φοιτῶντα μετὰ νηπίων. αἱ διακονίαι τοίνυν οὐ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἀλλὰ παρὰ θεοῦ δι' ἐμοῦ δίδονται τῷ δεχομένῳ, καὶ οὐ μικραί, ἀλλὰ καὶ λίαν μεγάλαι, καὶ οὐκ ἄτιμοι, ἀλλὰ καὶ σφόδρα ἔντιμοι, ὑπὲρ ἃς δίδωσι βασιλεὺς ὁ ἐπὶ γῆς· εἰς γὰρ θεοῦ λειτουργίαν καὶ δόξαν αὗται. ἡγήσεται ἄρα μικρὰν εἶναι ὁ ἀφυπνιστὴς τὴν οἰκείαν, ὁ ἐπιτηρητὴς τὴν ἰδίαν, ὁ παιδευτὴς τὴν σφετέραν, ὁ ἐπιστημονάρχης τὴν ἰδιαιτάτην; καὶ πῶς οὐχὶ μωρόν; καὶ πῶς οὐχὶ ψεκτόν; καὶ πῶς οὐχὶ θεὸν παροξύνει ὁ τοῦτο ὑπονοῶν καὶ τὴν προκριτωτέραν, ὑπὲρ ἧς ἔστιν, αὐθαδείᾳ ἀνθαιρούμενος; ἀλλ' ὁ τοιοῦτος ἀγνοεῖν μοι δοκεῖ καὶ ἐπ' αὐτῆς, ἧς ἐστι διακονίας, τὴν δύναμιν. τί γάρ ἐστιν ἀφυπνιστής, ἀλλ' ἢ τὸ προκατωρθωκέναι αὐτὸν τὴν τοῦ ὕπνου τυραννίδα; ὅπερ ἐστὶ τῶν λίαν ἀσκητικῶν, ταγῆναι ὑπὸ θεοῦ ἄγγελός τις τοὺς λοιποὺς ἀδελφοὺς ἀφυπνίζων, πρὸς δόξαν καὶ αἶνον τῆς τριάδος. μέγιστον τὸ ἀξίωμα, ἀγγελικὸν τὸ διακόνημα.

---

2 κῶδ. *σχετλιότερον.* 4 κῶδ. *ὑμεῖς.* 11 κῶδ. *ἀγαθοσύνη* || Ἰακώβου α', 17. 24 κῶδ. *ἀμειφθείτω.*

35 κῶδ. *προκριττοτέραν.*

τί δ' ἐπιτηρητής, ἀλλ' ἢ τὸ αὐτὸν ἐν ἐπιτηρήσει θεοῦ ὄντα καὶ μὴ χρήζοντα τῆς ἑτέρων καὶ οὐ διασφαλλόμενον ἀπὸ τῆς ἐναρέτου διαγωγῆς, προκριθῆναι οἱονεὶ τῆς πάσης ἀδελφότητος ὀφθαλμὸν βλέποντα τὸ τῶν ἄλλων ἐνδιάστροφον; τί δὲ παιδευτής; οὐδὲν ἄλλο, ἢ διὰ τὸ πᾶσαν ἀταξίαν ἀποθέσθαι καὶ ἐπίμεστον πάσης εὐλαβείας γενέσθαι, προστῆναι τοῖς ἀπαιδεύτοις καὶ ἀνουθετήτοις, εἰς καταρτισμὸν καὶ ὠφελείας ὑπόθεσιν. μέγα τοῦ ἐπιτηρητοῦ, μειζότερον τοῦ παιδευτοῦ, ὅτι ὃ μὲν ὃ βλέπει ἀναφέρει, ὃ δὲ καὶ βλέπων φθέγγεται καὶ συνετίζει καὶ διαλύει τὰς ἀταξίας ὡς ἄγγελός τις ἢ ὡς χριστός, ἢ ὡς δεσπότης, τῇ οἰκείᾳ παρουσίᾳ ἀναστέλλων τὰς μάχας καὶ τὰς ἐν τῇ ἀδελφότητι δυσκολίας. πρόσθες καὶ τοῦ ἐπιστημονάρχου, ὡς πάσης ἐπιστήμης ἀποπληρωθέντος καὶ διὰ τοῦτο τοῖς ἄλλοις ἐπιστήμης ὑπόθεσις προκειμένου. ἀλλ' οἱ μὲν φρονοῦντες τρέμουσι καὶ δεδοίκασι καὶ ἐφ' ἧς εἰσι διακονίας, οὐ λέγω οἰκονόμου, ἢ κελλαρίτου, ἢ βεστιαρίου, ἢ ὑποδηματορράφου, ἢ πρωτεύοντος ἐν τοῖς πολλοῖς, ἢ πρωτοδιακονοῦντος, ἐν τῷ κήπῳ λέγω, ἐν τῷ σκυτείῳ, ἐν τῷ μεμβραναρίῳ, ἔν τινι ἄλλῃ διακονίᾳ, ἀλλ' εἰ καὶ ξυλοκοπῶν μόνον ἐστίν, ἢ λαχανοπλυτῶν· θεοῦ γὰρ καὶ ὑπὲρ θεοῦ τὰ γινόμενα διὰ τῶν ἀδελφῶν. ὁ δὲ ἄφρων καὶ ἀσύνετος καὶ ὑπερήφανος μηδὲν ἣν ἔχει λογιζόμενος, μηδὲ ὑψηλὴν καὶ ἁγίαν καὶ ὑπὲρ τὴν οἰκείαν κατάστασιν, ζητεῖ τὴν οὐκ οὖσαν αὐτῷ, καὶ εἰ μέν ἐστιν ἀφυπνίζων, ζητεῖ ἐπιτηρεῖν, καὶ εἰ ἔστιν ἐπιτηρῶν, ζητεῖ παιδεύειν, καὶ εἰ ἔστι παιδεύων, ἐπιστημοναρχεῖν, καὶ εἰ ἔστιν ἐπιστημοναρχῶν, ζητεῖ ἱερατεύειν ἢ ἡγουμενεύειν, καὶ ἕκαστος τῶν ἐν ταῖς λοιπαῖς διακονίαις κατὰ τὴν αὐτὴν ἀναλογίαν.

Ἰδοὺ ὑπέδειξα ὑμῖν τὴν δύναμιν τῶν διακονιῶν· παρακαλῶ ὑμᾶς μὴ ἀφρονεύειν, ἀλλὰ γινώσκειν ἐν ᾗ ἑστέ, καὶ μηδ' ἀξίους ἡγεῖσθαι τῆς ὑποδοχῆς· ἐὰν γὰρ οὕτως ἕκαστος χαίρων καὶ προθυμούμενος ἐνεργῇ τὴν διακονίαν, ἐν αὐτῇ εὑρίσκων τὸν θεὸν καὶ οὐ πρὸς ἄλλην ἐξ αὐτοῦ ἐπικινούμενος, εἰ μὴ ὅτε κρινεῖ ὁ κρίνων καὶ μεθιστᾷ ὁ μεθιστῶν· εἰ δὲ οὐχ οὕτως, ἐντεῦθεν αἱ ταραχαί, αἱ ἀταξίαι, ἀργούντων τῶν διακονιῶν καὶ ἐπεισερχομένης τῆς ἀταξίας. ἀλλὰ μηδαμῶς, παρακαλῶ· μὴ οὕτω πράττωμεν, ἀλλ' εὐσταθῶς καὶ θεοπρεπῶς, ὅπερ καὶ ποιεῖτε τινὲς ἐν ὑμῖν, καθ' ὃν εἴρηκα λόγον· ὁρῶ γὰρ καὶ σκοπῶ, καὶ ἐκ τῶν ἔξωθεν καὶ ἐκ τῶν ἔνδοθεν, τὰς τῆς ψυχῆς ὑμῶν διαθέσεις. εἰ ὅλως ζητεῖς εἶναι ὑψηλότερος καὶ ἀξιοῦσθαι τελεωτέρας διακονίας, ἣν ἔχεις τίμησον, ἁγίασον, δόξασον καὶ διὰ τῆς ἐν αὐτῇ ἐπιμελείας καὶ ἀγρυπνίας σου· καὶ μὴ θέλοντός σου πάντως ἥξει καιρὸς ἐπιλαβέσθαι σε οὐ παρὰ σεαυτοῦ, ἀλλὰ παρ' αὐτῆς τῆς ἀληθείας, καὶ τὴν ὑψηλοτέραν τῆς προκειμένης· "ὑπερηφάνοις γὰρ ἀντιτάσσεται κύριος" καὶ πᾶς ὑψηλοκάρδιος βδελυκτὸς ἐνώπιον αὐτοῦ. ὑμᾶς δὲ εἴη, πάντας ἐν φόβῳ θεοῦ διαβιοῦντας καὶ τῷ τῆς ταπεινώσεως χαρίσματι κατακεκοσμημένους, καὶ τὰ παρόντα καλῶς διαμείβειν καὶ πρὸς τὸ ἐξῆς εἴη καλλιώτερον διαφαίνεσθαι ἐν πάσῃ ἀγαθῇ καταστάσει ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΓ'.

Ὅτι δεῖ ἡμᾶς ἀγωνιστέον καὶ πολεμητέον ἐν τῇ πνευματικῇ ἡμῶν στρατείᾳ κατὰ τῶν ἐπιβαλλόντων ἡμῖν ἐναντίων λογισμῶν, ὡς ἂν ληψώμεθα παρὰ τοῦ ἀγωνοθέτου Χριστοῦ τὰ βραβεῖα τῆς νίκης.

Ἀδελφοὶ καὶ πατέρες, πορευόμενοι πορεύεσθε τὴν ὁδὸν ὑμῶν ἐν εἰρήνῃ, καὶ χαίρω ὁρῶν ὑμᾶς ἐπὶ τῇ ταιαύτῃ καταστάσει. ἀλλ' ἐπειδὴ στρατιῶταί ἐστε Χριστοῦ (στρατιώτου δὲ ἴδιον τὸ τὰ πολέμου ἀεὶ ἐκμελετᾶν, τήν τε πανοπλίαν κατηρτισμένην ἔχειν καὶ ἐμπαράσκευον πρὸς τὴν ἐν καιρῷ συμβολὴν

---

3 ἀργούντων] οὕτως ἐν τῷ κώδικι. 17 Παροιμ. γ', 34. 18 ὑψηλοκάρδιος] πρβλ. Παροιμ. ις', 5. 27 Mai, Novae patrum bibliothecae τ. IX, pars II, σ. 66-69. 28 σημειοῦ τὸ *δεῖ ἀγωνιστέον* κτλ. 37 ἀεὶ] ἐλλείπει τῷ V ‖ μελετᾶν V.

τῶν ἐναντίων), βλέπετε πῶς ἐστε ἡτοιμασμένοι, πῶς τὰ ὅπλα ὑμῶν τὰ πνευματικά, οἷον ἠκονημένα καὶ κεκαθαρμένα καὶ ἐστιλβωμένα, ἡ ῥομφαία τῆς ὑπακοῆς, ὁ θώραξ τῆς πίστεως, ἡ περικεφαλαία τῆς σωτηρίου ἐλπίδος, ὁ θυρεὸς τῆς ταπεινοφροσύνης, ἡ φαρέτρα τῶν ἀγαθῶν λογισμῶν καὶ μέντοι καὶ τὸ ὄχημα, ἤγουν τὸ τίμιον ὑμῶν σῶμα, καθάπερ τις ἵππος καλῶς γεγυμνασμένος, μήτε πολυσαρκῶν (ἐπειδὴ ἄχρηστος πρὸς τοὺς δρόμους), μήτε λίαν κατισχνωμένος (ἐπειδὴ ἀργὸς πρὸς τὰς κινήσεις), καλῶς φέρων τὸν χαλινὸν τοῦ θείου φόβου, ὡς ἂν μὴ ἔξω φέρηται τῆς ἡνιοχίας, μηδ' αὖ καταβάλλοι τὸν ἐπιβάτην νοῦν ἀπαιδευσίας σκιρτήματι. τοιούτους ὑμᾶς βούλεται ὁ λόγος ἀεὶ εἶναι, ἐπειδὴ καθ' ἑκάστην ὁ πόλεμος, καθ' ὥραν ἡ μάχη, κατὰ ῥοπὴν τὰ τόξα.

Τίς οὖν ἐν ὑμῖν ἀριστεύς; τίς ἰσχυρός; τίς πολεμιστής, κόπτων τοὺς ὑπεναντίους λογισμοὺς ἐν χιλιάσι καὶ μυριάσι, καὶ πρῶτόν γε τὸν ὑπερήφανον νοῦν κατασπάσας, ὡς τὸν Γολιὰθ ἐκεῖνον ὁ θεῖος Δαβίδ; ἐξ οὗ τί γινήσεται; τροπὴ τῶν πνευμάτων τῆς πονηρίας, τῶν πολυμόρφων καὶ ποικίλων παθῶν τῆς ἁμαρτίας· τοῦτο γάρ ἐστι τὸ πρῶτον τῶν κακῶν καὶ τελευταῖον, δι' οὗ ἐκπέπτωκεν ἐκ τῶν οὐρανίων ἁψίδων καὶ τῆς ἀγγελικῆς λαμπροφορίας ὁ νῦν πειράζων ἡμᾶς δράκων, καὶ ἐξ οὗ, ὥσπερ ἔκ τινος ῥίζης, ἔφυ τὰ μυρία βλαστήματα τῶν ἁμαρτημάτων. ἀγωνιστέον οὖν καὶ πολεμητέον πρὸς ἕκαστον τῶν ἐπιβαλλόντων ἡμῖν, ἐπειδὴ ἄλλῳ ἄλλος πεποίωται πάθει καὶ ἄλλον ἄλλως τοξεύει ὁ σοφιστὴς τῆς κακίας ὄφις· προστίθεται γὰρ ὁ μὲν τῇ πορνείᾳ, ἕτερος τῇ γαστριμαργίᾳ, ἄλλος τῇ ἀκηδίᾳ, ἄλλος τῷ φθόνῳ, ἕτερος τῇ κενοδοξίᾳ, ἄλλος τῇ ὀργῇ, ἕτερος τῇ ἀπιστίᾳ, ἄλλος τῇ ἀποδράσει, ἕτερος τῇ φιλαυτίᾳ, ἄλλος τῇ ἀργίᾳ, ἕτερος τῇ δυσμενείᾳ. ταῦτα πάντα ἓν καὶ τὸ αὐτὸ ἐνεργεῖ πνεῦμα, τὸ σατανικόν, καὶ πολὺς πρὸς ταῦτα ὁ ἀγών. πανταχόθεν ὁ ὀφθαλμός, ἑκατέρωθεν ὁ σκοπός, κυκλόθεν ὁ περιφραγμός. ὡς ἂν μὴ εἰσέλθῃ, μὴ πρόσῃ, μὴ λάβῃ, μὴ χειρώσηται, μὴ κτείνῃ καὶ ἀπολέσῃ, ἀντικαθεκτέον, ἀντιπολεμητέον. ἔστι λαβεῖν ἅπαξ καὶ δοῦναι δεκάκις, πληγῆναι μικρὸν καὶ πλῆξαι καιρίαν. ὁ κατὰ σῶμα τιτρωσκόμενος ἰατρείας χρῄζει· ὡσαύτως καὶ ὁ κατὰ πνεῦμα. ἰατρεία δὲ ἡ δι' ἐξαγορεύσεως ἐπιτιμία. καὶ πάλιν ἐπὶ τὸν πόλεμον ἐξιτέον. ὁ κατὰ σῶμα νικῶν ἓν εἴληφε στέφος, ὁ δὲ κατὰ πνεῦμα μυρία τὰ βραβεῖα. ὥστε καθ' ἡμέραν ἡ μάχη, καθ' ἡμέραν οἱ στέφανοι, καθ' ἑκάστην τὰ ἔπαθλα. καὶ μακάριοι ἐστέ, ἐφ' ὅσον ἐνίστασθε καὶ οὐ καταπίπτετε. ἐνισχύετε καὶ οὐκ ὀλιγωρεῖτε, μέχρις ἂν ὁ πόλεμος διαλυθείῃ διὰ τῆς ἐκ τῶν ἐνταῦθα ἡμῶν μεταστάσεως.

Θαρσεῖτε οὖν, τέκνα καὶ ἀδελφοί, θαρσεῖτε. θεὸν ἔχομεν βοηθόν, ἐπίκουρον τῆς ζωῆς ἡμῶν ἄγγελον, ἀντίληψιν παρὰ τῶν ἁγίων (ὧν τὰ ὀνόματα ἐπικαλούμεθα), ὅπλον ἀήττητον τὸν τύπον τοῦ σταυροῦ τοῦ Χριστοῦ, αὐτὴν τὴν πατρικὴν πίστιν, τὴν τῶν ἐπαγγελμάτων ἡμῶν πεποίθησιν, τὴν τῶν ἀδελφῶν σύμφραξιν. οὐ φοβηθησόμεθα ἀπὸ μυριάδων λαοῦ, τῶν κυκλούντων ἡμᾶς ἀοράτων λογισμῶν· οὐ κάμψομεν γόνυ τῇ Βάαλ τῶν ἡδονῶν, οὐ προησόμεθα τὴν σωφροσύνην ἡμῶν, ἣν ἐνυμφεύσατο κύριος ἐν ἁγιασμῷ· οὐ ποιήσομεν τὰ μέλη ἡμῶν πορνείας καὶ ἀκαθαρσίας σκεύη διὰ τῆς εἰς ἀλλήλους ὀλεθρίου παῤῥησίας καὶ μυσαρᾶς ἐργασίας, ὄντα Χριστοῦ μέλη, τοῦ ἀχράντου καὶ ἀθανάτου νυμφίου· οὐκ εἰσδεξόμεθα σύμβουλον τὸν ὄφιν, ἐκσκορακίσαι ἡμᾶς τοῦ παραδεισιακοῦ κοινοβίου βουλόμενον· οὐκ ἀνοίξομεν θύραν τοῖς κλέπταις δαίμοσι συλῆσαι ἡμῶν τὸν τῆς ψυχῆς θησαυρὸν καὶ αἰχμαλωτισθῆναι εἰς Ἀσσυρίους λογισμοὺς καὶ Βαβυλωνίους δουλείας. τί καλὸν μένειν ἡμᾶς ἐν τῇ πόλει, ἣν κύριος ὁ θεὸς ἡμῶν ᾠκοδόμησεν ἡμῖν

1 βλέπετε P, ἴδετε V. 2 τὰ] δὲ V. 8 οἴχημα V ‖ ὑμῶν] ἑλλ. τῷ V. 10 πολυσαρκῶς V. 15 καταβάλοι V. 35 γὰρ] ἑλλ. τῷ V.

9 *ἐξαγωρεύσεως* P. 26/27 Ψαλμ. γ', 4. 29 *προϊσόμεθα* P. 37 ἀνοίξωμεν V. 40 βαβυλωνίας V.

διὰ τῶν ποικίλων ἀρετῶν! τί μακάριον ἀδούλωτον τὸ τῆς ψυχῆς ἀξίωμα κεκτῆσθαι ἀπὸ τῆς δουλοπαθοῦς ἁμαρτίας! ψυχὴ ἀκυρίευτος ἐκ παθῶν ὅλη ἐστὶν ἐλευθέρα, ὅλη θεοειδής, ὅλη δεσπόσυνος, ὅλη φωτοειδής, ὅλη ἀγαλλιωμένη, εὐπράθυμος, εὐπρόσιτος, θεοσύναπτος, θεοσύγκρατος, οὐράνιος, λέγουσα ὡς δούλοις ταῖς φυσικαῖς ἐνεργείαις, ἡνίκα δέον ἐστί, "τόδε ποίησον" καὶ ποιεῖ, καὶ τῷ ἄλλῳ "πορεύου" καὶ πορεύεται ἐν εἰρήνῃ· ἀλλ' οὐχ ὡς ἡ ἀνδραποδισθεῖσα καὶ δουλωθεῖσα καὶ κρατηθεῖσα ὑπὸ τῶν τυράννων παθῶν, ἣν ἔστιν ὁρᾶν πολλὰ καὶ δεινὰ πάσχουσαν, ἑλκομένην ἔνθεν καὶ ἐκεῖθεν εἰς δουλείαν παντὸς πάθους, πάσης πράξεως βδελυρᾶς· προστασσομένη γὰρ ποιεῖ τὰ κελευόμενα παρὰ τῷ δαίμονι, καὶ εἴθε ἑνί, ἀλλὰ μὴ πολλοῖς. δεσπόζει αὐτῆς ὁ τῆς ἡδονῆς, ὁ τοῦ φθόνου, ὁ τοῦ μίσους, ὁ τῆς ἔριδος, ὁ τῆς κοιλιομανίας, ὁ τῆς ὀκνίας, ὁ τῆς ἀπιστίας. ὁ τῆς βλασφημίας, ὁ τοῦ θυμοῦ, ὁ τῆς ὑπερηφανίας, ὁ τοῦ ψεύδους, ὁ τῆς κλοπῆς, τῶν ἄλλων πάντων· ὧν τὰ ὀνόματα τίς ἂν καταριθμήσοιτο; καὶ ὡς ἕκαστος ἐπιγινώσκει, ἐξ ὧν δουλοῦται, ὥνπερ ἐστὶν ὑποχείριος, ἐν τούτοις ἐλεεινὴ ἡ ψυχή, παναθλία ἡ ζωὴ αὐτῆς, ὅλη πενιχρά, ὅλη δυσειδής, σκοτεινή, ἀφεγγής, ἀλαμπής, ἄθεος, ἄμορφος, δύσειμος, μισητὴ καὶ τὸ ὅλως ὁρᾶσθαι ὑπὸ τῶν εὖ φρονούντων.

Μὴ δὴ οὖν τὸ ἀξίωμα ἡμῶν καταβάλωμεν, ὦ τέκνα· μὴ δὴ τὴν ἐλευθερίαν ἡμῶν ἀπεμπολήσωμεν· δεσπόται τυγχάνοντες, μὴ γενώμεθα δοῦλοι· μὴ θώμεθα τὸ φῶς ἡμῶν σκότος, μὴ μεταβάλωμεν τὸ κάλλος ἡμῶν εἰς ἀμορφίαν, μὴ στρέψωμεν τὸ πρόσωπον ἡμῶν ἀπὸ θεοῦ ἐπὶ τὸν χαρακτῆρα τῆς κακίας· μὴ ἀπεκδυσώμεθα τοὺς φωτεινοὺς χιτῶνας τῶν ἀρετῶν, ἐνδιδυσκόμενοι τὰ μεμελανωμένα ῥακία τῶν ἀνομημάτων· μὴ χρηματίζοντες υἱοὶ θεοῦ χρηματίσωμεν τέκνα διαβόλου, φωτὸς ἔκγονα γεγενημένοι· μὴ φανῶμεν σκότους ἐκτρώματα. εἰ γὰρ ταῦτα σωματικῶς λαμβανόμενα πονηρὰ καὶ δύσχρηστα, πόσῳ γε πνευματικῶς οὐκ ἐλεεινὰ καὶ παγχάλεπα, καὶ λεγόμενα καὶ νοούμενα; ἀλλὰ τίς φρονῶν δουλείαν αἱρεῖται, τυγχάνων δεσπότης; ἀλλὰ τίς υἱοθεσίαν θεοῦ ἔχων γέννημα διαβόλου φιλεῖ καλεῖσθαι; ἀλλὰ τίς ῥίπτων τὴν ἄῤῥητον εὐγένειαν τῆς ἀρετῆς ἕλοιτο δυσγένειαν ἀναλαμβάνεσθαι τῆς ἐμπαθοῦς ζωῆς; ἀλλὰ τίς ἀπὸ πλούτου πνευματικοῦ εἰς πενίαν ζητεῖ σαρκὸς φθάσαι; ἀλλὰ τίς προαιρεῖται βασιλείαν οὐρανῶν ἀπολέσαι, κερδαίνων πῦρ καὶ σκότος καὶ τὰς αἰωνίους ἄλλας βασάνους; οὐ σωφρόνων τὸ πρᾶγμα, οὐ λογισμὸν ἐχόντων τὸ δρᾶμα, τινῶν δὲ ἀλογίστων ἢ ἀναισθήτων. ὡς ὤφελον τοὺς οὕτω πράττοντας οὕτω καὶ γενέσθαι, ἢ κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ κτισθέντας ἐπὶ κληρονομίᾳ τῶν αἰωνίων ἀγαθῶν, καταχθῆναι διὰ τῆς ἀλόγου φιλοπαθείας εἰς ταμεῖα ᾅδου, κρίσεως αἰωνίας. ἀλλὰ ἀνανήψωμεν οἱ μὴ νήφοντες, εἴπερ τὶς νυστάζει· ἀναβλέψωμεν οἱ μὴ βλέποντες, εἴπερ τὶς τυφλώττει· ἀκούσωμεν οἱ μὴ ἀκούοντες, εἴπερ τὶς κωφεύει· ἀναλάβωμεν τὰς δυνάμεις ἡμῶν, εἴπερ τὶς ὑπεχάλασε τοὺς τόνους τῆς εὐανδρίας· μοχθήσωμεν, διώξωμεν, ὡς ἂν διὰ τοῦ εὖ πράττειν ἡμᾶς ἐν ἕξει τοῦ καλοῦ γενόμενοι μεθ' ἡδύτητος καὶ εὐμαρείας πράττωμεν τὰ θεῖα καὶ σωτήρια. καὶ ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

18 αὐτῆς P, αὐτοῖς V. 19 τῶν ἡδονῶν V. 20 ὁ τῆς ὀκνίας - - - βλασβημίας| ἑλλ. ταῦτα τῷ V. 29 δυσείμων καὶ τὸ ὅλως μισητὴ V. 31 *καταβάλλωμεν* P. 32 μὴ δὴ P, μηδὲ V. 35 *μεταβάλλωμεν* P. 40 *μελανωμένα ῥακκία* P, ῥάκια V.

7 ἔχων θεοῦ V. 17 *ὤφελων* P. 24 *τυφλώττοι* P.

ΚΑΤΗΧΗΣΙΣ ΡΔ'.

Περὶ ἐπιμελείας καὶ καρποφορίας τοῦ πνευματικοῦ ἡμῶν ἀμπελῶνος.

Ἀδελφοὶ καὶ πατέρες, χθὲς ἐπειδὴ ἔτυχε τρυγᾶν ἡμᾶς τὰς ἀμπέλους, εὐλογήσατε

τάχα τὰ κλήματα, ἃ πολὺν εἶχον τὸν καρπὸν καὶ ὑπὸ χεῖρας ὑμῶν ἐτμήθη· ἠνιάθητε δὲ ἐφ' οἷς οὐχ ὑπῆρχον βότρυες, ἡδὺ θέαμα τοῖς ὁρῶσιν ὑποδεικνύμενοι. τί τοῦτο προοιμιασάμην; ὅτι καὶ ὑμεῖς ἀμπελὼν κυρίου γεγενημένοι, εἰ μὲν ἔχοιτε καρποὺς πνευματικοὺς καί ἐστε οἱονεὶ πολυστάφυλοι, ἀξιοθαύμαστοι τῷ γεωργῷ τῶν ψυχῶν ἡμῶν ἀναφαίνοισθε· εἰ δὲ μή, ἄξιοι κατάρας καὶ ἐκκοπῆς "πᾶν γὰρ κλῆμα μὴ ποιοῦν καρπὸν ἐκκόπτεται", φησί, "καὶ εἰς πῦρ βάλλεται". βλέπετε δέ, ὅτι οὐχ ὡς ἔτυχε καρποφοροῦσά ἐστιν ἡ ἄμπελος, ἀλλ' ἐπειδὴ φυτεύεται πολλοῖς κόποις πρότερον, αὐξουμένη καὶ τελειουμένη ἔρχεται εἰς καρπογονίαν, εἶθ' οὕτως τέμνεται, σκάπτεται, χαρακοῦται, βλαστοτομεῖται, καθαίρεται τῶν σκολόπων, τῶν ἀκανθῶν, τῆς ὅλης ὑλομανίας, καὶ οὕτως ἐν καιρῷ δίδωσι τὸν καρπόν, μετὰ τὸ πιανθῆναι καὶ κοπρισθῆναι καὶ φυλλολογηθῆναι καὶ τοῖς ἄλλοις, οἷς κατ' ἐμπειρίαν ὁ γεωργῶν αὐτὴν καταγίνεται. μὴ οὐχὶ καὶ ἐφ' ἡμῖν τὸ αὐτό ἐστιν ὁρᾶν; τίς γὰρ καρπὸν ἤνεγκε πνευματικόν, ταῦτα καὶ τὰ τοιαῦτα μὴ πεπονθὼς καὶ οἷον μὴ φυτευθεὶς καὶ αὐξηθεὶς καὶ ἀδρυνθεὶς ἐν τῇ νοουμένῃ κατὰ Χριστὸν ἡλικίᾳ, σκαφείς τε καὶ τμηθείς, χαρακωθείς τε καὶ περιφραχθεὶς τροπικῶς ταῖς τοῦ κυρίου ἐντολαῖς; ὁ δὲ μὴ οὕτως, ἀτελὴς καὶ ἄκαρπος, "καὶ τρυγῶσιν αὐτόν", κατὰ τὸ γεγραμμένον, "πάντες οἱ παραπορευόμενοι τὴν ὁδὸν" λυμαντικοὶ δαίμονες.

Διὰ τοῦτο καταδεχώμεθα, παρακαλῶ, τὴν κατὰ ψυχὴν γεωργίαν καὶ τὰς περὶ αὐτὴν ἐπιμελείας, αἵτινές εἰσιν αἱ ἀσκητικαὶ καταστάσεις, αἱ καθήκουσαι εὐταξίαι, οἱ τῆς ἐγκρατείας πόνοι, οἱ τῆς ἀγρυπνίας κόποι, αἱ τῶν ἐξαγορεύσεων ἐντροπαί, αἱ τῶν ἐπιτιμήσεων πληγαί, ἡ φυλακὴ τοῦ στόματος, ἡ ἀμετεώριστος καρδία, ἡ ἀκλινὴς πεποίθησις, ἡ ἀκαταμάχητος ἔνστασις τῶν λογισμῶν· ὁ γὰρ μὴ ταῦτα καταδεχόμενος, καρπὸν φέρειν οὐ δύναται, κλῆμα Χριστοῦ ὀνομάζεσθαι οὐχ οἷόν τε. καὶ τίνος ἕνεκεν ἐληλύθαμεν ἐνταῦθα, ὦ ἀδελφοί; ἀλλ' οὐχ ἵνα καρπὸν πολὺν φέρωμεν; οὐχ ἵνα θρέψωμεν τὸν κύριον τῇ νοητῇ ἡμῶν εὐκαρπίᾳ; πεινᾷ ἡμῶν τὴν σωτηρίαν ὁ ἀγαθὸς δεσπότης· καὶ εἰ μὲν εὕροι, εὐφραίνεται ἀπογευόμενος τοῦ καρποῦ, εἰ δὲ μή γε, ὡς τὴν ἀκαρπίαν τῆς συκῆς ὑπὸ κατάραν ἵστησιν· ἤδη γὰρ αὐτὸς παραβάλλει καθ' ἑκάστην καὶ ἐπισκέπτεται, οἷοι ἐσμέν, καὶ διὰ τοῦτο χρεία ἀγῶνος, ἐπιμελείας, ζέσεως ψυχῆς, φροντίδος, ταπεινώσεως, ὑπακοῆς, προσοχῆς, ὑμνολογίας, πραότητος, συνέσεως, φιλεργίας, φιλαδελφίας, ὑπομονῆς, κραταιότητος, ἐλπίδος, ὅπως ἂν ἀπαρτίσωμεν ἑαυτοὺς σκεύη ἐκλογῆς, κατηρτισμένους ἐν ἁγίῳ πνεύματι. κεκοπιάκατε, ὁμολογῶ, τεταλαιπωρήκατε ἐν τοῖς προλαβοῦσιν, ἠνέγκατε πολλά, ἠνύσατε διαύλους ἱκανούς, ἐνετρέψατε τὸν δόλιον, ἀπεκρούσασθε πολέμους, ἀπεσκορακίσασθε προσπαθείας, ἐγυμνώθητε τῷ κόσμῳ, ἐσταυρώθητε ταῖς ἐπιθυμίαις, ἐφυλάξατε ἐντολάς, ἐτηρήσατε πίστιν πατρικήν, γεγόνατε ἀπτόητοι τῶν ἀνθρωπίνων φόβων, ἡτοιμάσατε τὰς καρδίας ὑπὲρ ἀγάπης τοῦ κυρίου εἰς θάνατον· πάντα ὑμῶν ἀποδεκτὰ καὶ ἐπαινετὰ καὶ εὐπρόσιτα, πάντα ἡγιασμένα καὶ πολύευκτα καὶ οὐράνια. ἀλλ' ἔτι μικρὸν ὅσον ὅσον ὑπομείνωμεν, δέομαι ὑμῶν, ἀδελφοὶ τιμιώτατοι· στῶμεν ἀκλινεῖς ἐν τῇ πίστει· στῶμεν ἀπτόητοι ἐν ταῖς ἐπιβολαῖς τῶν πειρασμῶν, τῶν ἀοράτων τε καὶ ὁρατῶν· μὴ ἀκηδιάσωμεν τὸ ἐπίμονον τῆς ζωῆς ἡμῶν μέτρον. μὴ ἐνδώσωμεν πρὸς τὸν καθημερινὸν πόλεμον τοῦ Βελίαρ. "κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου", γέγραπται· "κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω; ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον", ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν.

10/12 πρβλ. Ματθ. γ', 10. ζ', 19. Ἰωάν. ιε', 2, 6. 26 κῶδ. *ἀνδρυνθεὶς*. 30/32 Ψαλμ. οθ', 13. 39 κῶδ. *ἐξαγωρεύσεων*.

5 κῶδ. *φέρομεν*. 10 Ματθ. κα', 19. 11 κῶδ. *παραβάλλη*. 17 κῶδ. *ἀπαρτήσωμεν* 36 Ψαλμ. ριζ', 7. 37/42 Ψαλμ. κς', 1, 2. 43 κῶδ. *ἀνορθώθημεν*.

Οὕτω τοίνυν ἐπάδωμεν τοῖς λογισμοῖς, οὕτως ἀνδρειώμεθα κατὰ ψυχήν, οὕτω μεταχειριζώμεθα ἐν προθυμίᾳ τὰς διακονίας, εὐτακτοῦντες κατὰ πάντα, μὴ προφέροντες λόγον σαπρόν, γογγυστικόν, ὑβριστικόν, καταλαλητικόν, φατριαστικόν, παῤῥησιαστικόν· οὕτω συναγειρώμεθα πρὸς τὰς ἐργασίας, πρὸς τὰς ἀγρυπνίας, πρὸς τὰς ψαλμῳδίας πρωτόκλητοι, εὐκίνητοι, ἀπροφάσιστοι, ἱλαροπρόσωποι· οὕτω συναπτώμεθα πρὸς ἀλλήλους ἀπαῤῥησίαστοι, καλομελέτητοι, ξενόκοσμοι, οὐρανόφρονες, ὀλιγολάλοι, ἀγελοίαστοι, ἀνεκτικοί, νικῶντες ἐν τῷ ἡττᾶσθαι, προβαλλομένου τοῦ "συγχώρησον" ὅπλον κατὰ τοῦ διαβόλου μέγιστον· ἄκακοι, εἰρηνικοί. εἶπεν ὁ κύριος πρὸς τὸν Πέτρον· "βόσκε τὰ ἀρνία μου· ποίμαινε τὰ πρόβατά μου". εἰ φιλεῖτε ἄρνες τοῦ κυρίου ἀκούειν καὶ πρόβατα ὀνομάζεσθαι, μὴ ὡς ἔριφοι σκιρτᾶτε, μὴ ἐπὶ τὰς τῶν παθῶν ἀκάνθας ἴητε, μὴ πολυκραυγάζετε, ἀλλ' ἡπίως καὶ εἰρηνικῶς ἄγοισθε, εἰς νομὰς ζωηφόρους τῶν ἐντολῶν τρεφόμενοι καὶ εἰς τόπον ἀπαθείας κατασκηνούμενοι ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΕ'.

Περὶ φυλακῆς καὶ καθάρσεως τῶν αἰσθήσεων ἡμῶν καὶ ἐξαγγέλσεως τῶν πονηρῶν ἐννοιῶν.

Ἀδελφοὶ καὶ πατέρες, χαίρω μὲν ἀεὶ ὁρῶν ὑμᾶς διεξαγομένους ἐν ὁμονοίᾳ καὶ περιπορευομένους ἐν τῇ ἐνεργείᾳ τῶν ἐντολῶν τοῦ θεοῦ· χαίρω δὲ μᾶλλον ἄρτι, ἐπὰν ἀκίνητοι μεμενήκατε καὶ διαμένετε ἐκ τῆς τῶν ἔξωθεν περιδονήσεως ἐδραιωμένοι, ἐν μηδενὶ πτυρόμενοι καὶ καταπίπτοντες τοῦ ἀθλητικοῦ καὶ θεοσθενοῦς φρονήματος. καὶ ὥσπερ τὰ ὑπὸ ἀνέμων σαλευόμενα δένδρη μᾶλλον εὐριζώτερα καὶ ἑδραιότερα καθέστηκε τῶν ἄλλων, οὕτω καὶ ἡμῖν συμβέβηκε, ταῖς τυχούσαις ἔξωθεν προσβολαῖς ῥιζωθεῖσί πως βαθύτερον καὶ ἀναδοθεῖσιν εἰς ὕψος εὐκαρπίας τῶν θεοδωρήτων ἐντολῶν· "δίκαιος γάρ", φησίν, "ὡς φοῖνιξ ἀνθήσει· ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται". ἀλλ' ἐπεὶ οὐχ ἅπαξ ἔστι σεισθῆναι, ἢ δίς, ὥσπερ οὐδὲ ῥιζωθῆναί τε καὶ ἑδρασθῆναι (πέφυκε γὰρ τοῦτο ἀεὶ γίνεσθαι, κατὰ τὸ ἀεικίνητον τῆς ἐνοχλήσεως, τῶν τε νοητῶς προσβαλλόντων καὶ αἰσθητῶς), ἀναγκαῖον ἀεὶ προσέχειν καὶ ἑκάστοτε συντηρεῖν ἑαυτοὺς ἐν τῷ νόμῳ τοῦ θεοῦ, μὴ ἐκκλίνοντας ἐκ τῶν ἐντολῶν δεξιᾷ τε καὶ ἀριστερᾷ, ἀλλὰ τὴν βασιλικωτάτην καὶ μέσην ἐξανύειν ὁδόν, ἐν ᾗ πέφυκεν ἡ σωτηρία καὶ τὸ ἀπλανὲς τῆς ψυχῆς καὶ εὐδιάβατον. τοῦτο σκοπητέον καὶ τοῦτο προσεκτέον καὶ τοῦτο γνωστέον, ὥσπερ ἀεὶ γρηγορῶν ἐστιν ὁ ὄφις τῆς ἁπάτης, ὁ ἁρπάκτης τῶν ψυχῶν διάβολος, ἵνα ταύτης ἡμᾶς ἀπαγάγῃ καὶ κρημνίσας που ἐν ἑνὶ τῶν παθῶν θήραμα λάβῃ τὸ ἐλεεινότατον. νικήσομεν δὲ αὐτὸν καὶ ἀπλανεῖς ἐσόμεθα, ἐὰν γρηγορῶμεν καὶ νήφωμεν, ἐὰν τὰς αἰσθήσεις ἡμῶν φυλαττώμεθα, τὸν ὀφθαλμὸν ἀπὸ τοῦ ὁρᾶν, ἃ μὴ θέμις, τὴν ἀκοὴν ἐκ τοῦ μὴ εἰσδέχεσθαι τοὺς ἀπατηλοὺς λόγους καὶ συρισμοὺς τοῦ δράκοντος, τὰς χεῖρας ἐκ τοῦ μὴ ἅπτεσθαί τι μήτε τῶν οἰκείων μελῶν, μήτε τῶν ἀλλοτρίων, κατὰ πάθος ἢ κίνησιν ἡδονῆς· τοὺς πόδας ἐκ τοῦ μὴ βαίνειν εἰς ὁδοὺς σκολιὰς καὶ τόπους ἀποκρύφους καὶ νοητῶς καὶ αἰσθητῶς· ἐὰν γὰρ ταῦτα ποιήσωμεν καὶ περιφυλαττώμεθα μετὰ τῆς ἐνδεχομένης ἐξαγορεύσεως καὶ τῆς ζητουμένης ταπεινοφροσύνης καὶ εὐπειθείας, νενίκηται ὁ δράκων, ἐκσκοράκισται τῆς καρδίας ὁ δόλιος. τρίζει μὲν τοὺς ὀδόντας, ἀλλὰ πόῤῥω ἱστάμενος· οὐδὲ γὰρ ἀποκάμνει ὁ δείλαιος ἐπὶ πολὺ ἡττώμενος καὶ ἀποπεμπόμενος. χαίρει δὲ ἡ ψυχὴ καὶ ἀνδρίζεται καὶ τὰς εἰς θεὸν πορείας μᾶλλον ἐν φωτὶ εὑρίσκουσα ἀνίησιν

2 κῶδ. *ἀνδρειούμεθα.* 9 κῶδ. *ἱλαρώπρ.* 16/17 Ἰωάν. κα', 16. 37 ἑδραιωμένοι] οὕτως ἐν τῷ κώδικι. 40 δένδρη] οὕτως ἐν τῷ κώδικι.

1 κῶδ. *εὐριζότερα.* 5/7 Ψαλμ. ρα', 13. 20 ἁρπάκτης] οὕτως ἐν τῷ κώδικι. 22 κῶδ. *κρημνήσας.* 23 κῶδ. *νικήσωμεν.*

εἰς τὰ ὑψηλότερα καὶ μετεωρότερα, θεοποιουμένη καὶ οὐρανοποροῦσα· ἐὰν δὲ τοὐναντίον, κεκράτηται καὶ δεδούλωται ᾧ ἥττηται πάθει, καὶ συσκοτάζουσα ταῖς πονηραῖς ἐννοίαις εἰς βάθη που κακῶν καταφέρεται ὀδυνωμένη καὶ κατατρυχομένη καὶ μὴ εὑρίσκουσα τόπον ἀναπαύσεως, ἀλλ' ἐντεῦθεν ἤδη τὸ τοῦ μέλλοντος αἰῶνος πικρὸν ἀποκαρπουμένη. ἀλλὰ μή ποτε τοῦτο πάθοιμεν, τέκνα καὶ ἀδελφοί, μηδὲ ὑποσυρθείημεν ταῖς ἐξαπάταις τῆς ἁμαρτίας· ἀλλ' εἰ καὶ γέγονε καὶ γίνεται, τάχιστα ἀνακοπτοίμεθα, ὥσπερ βέλος τι ἐνεχθὲν καὶ πλῆξαν τὸ προσπεσὸν ἀπορρίπτοντες καὶ τὸν πληγέντα τόπον ἰώμενοι τῷ φαρμάκῳ τῆς μεταμελείας, εἴτε ὀφθαλμός, εἴτε ἀκοή, εἴτε χεὶρ εἴη πταίσασα, καὶ ἐξ ὧν ἐστιν ἀεὶ γάννυσθαι τὴν ψυχὴν καὶ γήθειν καὶ φωτίζεσθαι καὶ ἀγάλλεσθαι. τί μὴ ἐντεῦθεν ἐρχόμεθα; τὸ γὰρ διὰ τῶν ἐναντίων ἡλίθιον καὶ μωρὸν καὶ οὐδὲ τῶν ἀλόγων ζῴων ἐφεκτικὸν καὶ ἐπιθυμητόν· κἀκεῖνα γὰρ ὀλισθήσαντα ἅπαξ που ἢ δίς, φύγοιεν ἂν τὸν τόπον διὰ παρατηρήσεως, μὴ εἰς τὸν αὐτὸν ὄλεθρον ἐμπεσεῖν. ἡμεῖς δὲ οἱ εἰκόνι θεοῦ τετιμημένοι καὶ λόγῳ σοφίας παιδαγωγούμενοι, χείρους ἵνα καὶ τῆς ἀλόγου φύσεως ἐσμέν, φιλοῦντες τὴν ταὐτοπάθειαν καὶ ζητοῦντες τὸν αὐτὸν κρημνὸν καὶ τὸν αὐτὸν βόθρον τοῦ τυχόντος ἁμαρτήματος.

Δεινὸν οὖν καὶ παγχάλεπον μετὰ τῆς τοῦ μέλλοντος αἰῶνος ἀπωλείας καὶ τὸ ἐνταῦθα περίλυπον καὶ ὀδυνηρὸν μεταλαμβάνειν· ἀλλ' ὡς σοφοὶ σοφῶς περιπατήσωμεν καὶ ὡς ἁγνοὶ παρθενικῶς διαβιώσωμεν, ἵνα καὶ πρὸς τοὺς ἔξω πειρασμοὺς εὐσθενέστεροι καὶ κραταιότεροι ἐσώμεθα· ψυχὴ γὰρ τὴν ἑαυτῆς φυλακὴν ἔχουσα καὶ ἀπόρθητος ἐκ τῆς τῶν παθῶν ἐφόδου διαμένουσα οὐ πτοηθήσεται πῦρ καὶ ξίφος καὶ θῆρας· οὐ δείσει βασιλεῖς καὶ ἄρχοντας καὶ δυνάστας, οὐ θλῖψιν καὶ στενοχωρίαν καὶ διωγμούς, οὐ μικρὸν οὐ μέγα, ἀλλ', ἑτοίμως ἔχει λέγειν "οὐ φοβηθήσομαι ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν". εἰ δὲ ἑτέρως ἔχουσα, πέφρικε καὶ καταδύεται, προπεπονθυῖα ἐκ τῶν ἔνδοθεν ἐπιβούλων. τοὺς ἔνδοθεν οὖν φυλαξώμεθα καὶ τοὺς ἔξωθεν οὐ φοβηθησόμεθα, ἐν οἷς στηρίξοιεν ἡμᾶς ἡ κραταιὰ χεὶρ τοῦ θεοῦ, ὁ κύριος τῶν δυνάμεων, τῇ εὐχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

11 κῶδ. *ἐξ ἀπάταις.* 42/44 Ψαλμ. με', 3.

1 κῶδ. *πέφρυκε* 2 κῶδ. *προπεπονθύα.* 17 κῶδ *πάντι.* 27 κῶδ. *ἀγαθοεργείαις.* 29 κῶδ. *ἡμᾶς.*

ΚΑΤΗΧΗΣΙΣ ΡϚ'.

Περὶ τοῦ στῆναι ἡμᾶς ἀνδρείως καὶ κραταιῶς πρὸς τὴν ἀθλητικὴν ἡμῶν ὑποταγὴν καὶ τοῦ μετ' εὐχαριστίας λαμβάνειν τὰ ἐσθήματα ἀπὸ τῶν διανεμόντων.

Ἀδελφοὶ καὶ πατέρες, πρὸς τὴν σμικρότητα τῶν νυκτῶν βραχυτάτην καὶ τὴν κατήχησιν ποιούμεθα· πάντῃ γὰρ ἀποσιωπῆσαι ἡμᾶς οὐκ ἔνι, ὅπου γε καὶ ταύτης γενομένης ἔτι τὰς ἀταξίας ἐνεργοῦμεν καὶ τὰς ἀπαιδευσίας ἐπιτελεῖν οὐ παυόμεθα. παρακαλῶ οὖν ὑμᾶς ἄρτι μᾶλλον, ἡνίκα καὶ πρὸς τοὺς ἔξω ἀγωνιζόμεθα δι' ἐντολὴν κυρίου, στῆναι κραταιότερον πρὸς τὴν ἀθλητικὴν ὑμῶν ὑποταγήν, καὶ ἀπευθύναι τὸν ἑαυτῶν βίον ἐπὶ πᾶσιν ὀρθοτομοῦντα καὶ κατὰ μηδὲν μολυνόμενόν τε καὶ κιβδηλευόμενον, ἵν' οὕτω μᾶλλον ἐπίδοι θεὸς καὶ ἀρεσθεὶς ταῖς ἀγαθοεργίαις ὑμῶν διεξαγάγῃ παραδόξως τὸν ἀγῶνα, ἀθλητὰς ὑμᾶς κατ' ἀμφότερα ἀποδεικνύων· οὐ γάρ ἐστι μικρὸν τὸ ἐν τῇ γενεᾷ ταύτῃ τῇ ταπεινῇ, τῶν ἄλλων πως ὑποπτησσόντων καὶ παραχωρούντων τοῖς πράγμασιν, ἡμᾶς σχεδὸν μόνους τοὺς ἁμαρτωλοὺς ἀνταγωνίζεσθαι καὶ ὑπεραθλεῖν τοῦ καλοῦ. νεανικῆς τὸ ἔργον ψυχῆς, ζήλῳ θεοῦ πεπυρωμένης τὸ κατόρθωμα καὶ τοὺς πατρικοὺς τρόπους ἰχνηλατούσης, μᾶλλον δὲ ἀγγελικῆς ἰσχύος ἐπικουρία καὶ θεοῦ τοῦ μεγάλου τὸ δῶρον, ὃς ζητεῖ πάντοτε ψυχὰς κεκαθαρμένας ἐκ παθῶν καὶ ἀνανευούσας ἐκ τῆς τῶν κοσμικῶν φρονημάτων μέθης, ἵνα τὴν αὐτοῦ

χάριν μεταδοίη καὶ ἐνδείξηται ἐν τοῖς υἱοῖς τῶν ἀνθρώπων ἔργα δυνάμεως τῆς αὐτοῦ μεγαλουργίας.

Ἂν τοίνυν οὕτως ἑαυτοὺς κατασκευάσωμεν, σκεύη ἐκλογῆς ἀποδεδειγμένοι (ἐκλογῆς δὲ σκεῦος χρυσοῦν εἶναι ἢ ἀργυροῦν), ἅτινά ἐστιν ἀλληγορούμενα καθαρωτάτης πράξεως καὶ βίου ἀπαθοῦς κατασκευάσματα, οὕτως ἐπελεύσεται ἐφ' ἡμᾶς πνεῦμα ἅγιον καὶ δύναμις ὑψίστου ἐπισκιάζουσα ἐπί τε τῇ παρούσῃ ὑποθέσει καὶ ἐν παντὶ ἄλλῳ πράγματι, δυναμοῦσα καὶ ἀπαρτίζουσα τὰ ἐπιζητούμενα ἡμῖν· ἂν δὲ τοὐναντίον σκεύη ἀπωλείας (ἅπερ ἔοικε ξυλίνοις καὶ ὀστρακίνοις ἐργαλείοις, δηλονότι πονηραῖς τε καὶ ἀσέμνοις πράξεσιν), οὔτε τὸν θεὸν ἔνοικον σχοίημεν, οὔτε τι τῶν σωτηρίων ἀποτελέσοιμεν, κἂν δοκῶμεν διαγωνίζεσθαι. διὰ τοῦτο πρόσσχωμεν νηφόντως ἑκάστοτε καὶ ὑπενέγκωμεν τὸ τληπαθὲς τῆς ἀσκήσεως, τοῦτο μὲν ἐν ταῖς νυκτεριναῖς ἀγρυπνίαις καὶ ψαλμῳδίαις, τοῦτο δὲ ἐν ταῖς ἡμεριναῖς προσευχαῖς καὶ ἐργασίαις, μήτε ἐν ταῖς νυξὶ τῶν ἄλλων ψαλλόντων ἐν ταῖς κοίταις εὑρισκόμενοι ἄνευ ἀσθενείας καὶ ἄλλης κατοχῆς εὐλόγου κατὰ διακονίαν, ἢ καὶ ἐγειρόμενοι καὶ εἰκῇ περιερχόμενοι καὶ τὸ στόμα μεμυκὸς ἔχοντες ἐκ θείας ὑμνολογίας (ζημία γὰρ οὐχ ἡ τυχοῦσα τῷ παθόντι), μήτε ἐν τῇ ἡμέρᾳ τῶν ὡρῶν ἀπολιμπάνοντες δίχα τινὸς ἀνάγκης, ἢ τῶν ἔργων ἀφιστάμενοι καὶ παρὰ καιρὸν διακινοῦντες, ἢ καὶ συμβάλλοντες λόγους καταστροφῆς, ἀλλ' οὐκ οἰκοδομῆς καὶ σωτηρίας τῆς πρὸς τὸ κοινὸν ὠφελείας. ἐντεῦθεν γὰρ λέσχαι καὶ ταραχαί, ὕβρεις καὶ ἀπέχθειαι καὶ ἡ τοῦ Σατανᾶ χαρμοσύνη, λύπη δὲ τοῦ ἁγίου πνεύματος. καὶ τὸ λυπῆσαι τὸ ἅγιον πνεῦμα κατά τινα ἀργολογίαν ἡλίκον ὅτι ἔχει κίνδυνον, οἱ ἀναγινώσκοντες νοείτωσαν. εὑρίσκω δέ, ὅτι τὸ πλεῖστον τῆς ἀταξίας ἐκ τῆς τῶν ἐνδυμάτων γίνεται ἐπιδόσεως, ἄλλου κατ' ἄλλου ἕλκοντος τὸν διανομέα, καὶ τοῦ μὲν ζητοῦντος τὸ ἱμάτιον ἄκοπον καὶ ἰσοστάσιον καὶ μὴν καὶ τετριμμένον καὶ ψιλώτερον κατὰ τὴν ὥραν τοῦ θέρους, τοῦ δὲ τὸ κουκούλλιον ἀνεμπάλωτον καὶ καλλίχροον καὶ μὴν καὶ βαθύτατον. καὶ ποῦ συμβαίνει ταῦτα συντρέχειν, μήτε τοσούτων ὄντων τῶν ἐσθημάτων, ἢ τῶν κουκουλλίων; πόθεν γὰρ ἢ ἐκ τίνος ὑμῶν προσόδου καὶ ἔργου; σκέπτεσθαι γὰρ ὀφείλει ἕκαστος, ὅσον εἰσφέρει, ἢ εἰσήγαγεν ἐκ τοῦ κόσμου, ὅτε ταῦτα ζητοίη, μήτε τοῦ λόγου τῆς ὑποταγῆς καταδεχομένου ἑκάστου τὸ ἴδιον θέλημα ἐκπληροῦν. ἢ οὐχὶ καὶ ταῦτα δωρεὰν δίδωσι θεὸς ἐκ πόρων, ὧν οἶδε καὶ ὅθεν βούλεται παραδόξως καθ' ἑκάστην, καὶ ὅτι οὐδὲ ἐσμεν ἄξιοι κατὰ τὰ προγεγενημένα ἢ καὶ γινόμενα ἀνομήματά τε καὶ ἁμαρτήματα ἡμῶν καὶ ἃ λαμβάνομεν ἔχειν; ἀναμιμνησκέσθω ἕκαστος ὑμῶν, ἀπὸ τῶν πρώτων ἕως ἐσχάτου, τί ὤφλησε καὶ ὡμολόγησε καὶ ἐν οἷς ἐστι, καὶ εὑρήσει ὑπεύθυνον ἑαυτὸν ἐν τοῖς λεγομένοις καὶ παρ' ἀξίαν καὶ αὐτὸ ὃ ἀμπέχεται ἔχειν. εἰ τραχύτητα καὶ εὐτέλειαν καὶ πολυῤῥαφίαν καὶ στενοκολοβίαν ἱματίων καὶ κουκουλλίων οὐ φέρομεν, εἰ φθειρῶν καὶ ψύλλων πληγὰς λαμβάνειν οὐκ ἀνεχόμεθα, ἐν τίνι ἔσται τὸ καύχημα ἡμῶν; ἐν τίνι μονάζομεν; ἐν τίνι ὑποτασσόμεθα; καὶ μὴν ἄλλοι μονοχίτωνες, καὶ μὴν ἄλλοι διὰ χρόνου ἀνυπάλλακτον τὸ ἔνδυμα ἔχοντες, καὶ μὴν ἐν ἡμῖν αὐτοῖς τὰ παραδείγματα, ἀλλ' εἰς τὰ καλὰ προσέχειν καὶ ζηλοῦν οὐ βουλόμεθα, εἰς δὲ τὰ ἐναντία καὶ μάλιστα. καὶ ἐπεὶ ἦρεν ὁ δεῖνα ἱμάτιον ἢ κουκούλλιον καλόν, δοθέντος ἴσως κατὰ ἀσθένειαν ἢ κατὰ διάκρισιν φύσεώς τε καὶ στάσεως, ζῆλος κατὰ τοῦτο, ἐρεθισμός, ἀντιβολή, πρὸς τὸν διανομέα διαμάχησις· "δὸς κἀμοὶ τὸ ὅμοιον· ἐν τίνι διαφέρει ὁ ληψόμενος ἐμοῦ"; καὶ μάλιστα εἰ τύχῃ παρὰ ἱερέως γενέσθαι, καὶ μάλιστα εἰ συμβῇ παρὰ τῶν τὴν εὐταξίαν διοικούντων φαίνεσθαι, ἢ τῶν δοκούντων εἶναί τι, μὴ ὄντων ἐν τοῖς τοιούτοις. τί δὲ καὶ πρὸς τοὺς ἄλλους εἴπωμεν, οἳ καὶ κατὰ

13 κῶδ. *σκεύει.* 17 κῶδ. *ἐποιελέσωμεν.* 20 κῶδ. *τούτω.* 22 κῶδ. *τούτω.* 27 κῶδ. *μεμοικὸς.* 35 κῶδ. *λέσχε, ταραχέ.* 37 κῶδ. *λύπει*

40 κῶδ. *τύχει.*

στάσιν καὶ κατὰ ἡλικίαν καὶ κατὰ ἕξιν ἀγροικοτέραν ἢ πενεστέραν ὀφείλοντες φόβῳ καὶ τρόμῳ καὶ εὐχαριστίᾳ δέχεσθαι τὰ γινόμενα ἐρίζουσι καὶ λακτίζουσι καὶ βατταρίζουσιν, ἐπιζητοῦντες τὰ ὅμοια οἱ ἀνόμοιοι, κατὰ τὰ προῤῥηθέντα; ἱμάτιον οὐκ εἶχον ἐν τῷ κόσμῳ ταχὺ εἰς ὑπαλλαγήν, καὶ ἄρτι καθ' ἑβδομάδα ὑπαλλάσσων ἀγριοῦμαι ὡς θηρίον καὶ καθυλακτῶ ὡς κύων. οἴκημα οὐκ εἶχον, εἰ μὴ ἐνοικικὸν ἢ καὶ κατὰ δεσποτείαν, καὶ τοῦτο πενιχρόν, ἄσφετλόν τε καὶ ἀμαρμάρωτον καὶ κατερῥυπωμένον, καὶ ἄρτι εἰς χρυσώροφα καὶ μαρμαρόπατα καὶ καθαρώτατα αὐλιζόμενος ἐπελαθόμην ὁ τάλας, ὅτι ἐκ κόπου εἰς ἀνάπαυσιν ἐλήλυθα. κλίνην οὐκ εἶχον, οὐδὲ σκεπάσματα, οὐδὲ προσκεφάλαιον εἰς τὸ ὑπνοῦν, εἰ μὴ ἓν τυχὸν μαλλωτάριον, ἢ ἄλλο τι τραχύτατον καὶ οἰκτρότατον, καὶ ἄρτι ἀνακλινόμενος εἰς ἐντονιασμένον κράβατον μετὰ σκεπασμάτων καὶ ὑποσκεπασμάτων καὶ προσκεφαλαίου, οὐκ ἀνέχομαι· ἔχω γὰρ καὶ κωδιάριον καὶ ἐπώμιον, καὶ οὐκ ἐαρινὸν ἀλλὰ καὶ χειμερινόν, καὶ οὐ μέγα ἀλλὰ καὶ μικρόν, ὑποδήματά τε καὶ καλίγια, καὶ οὐδ' οὕτως ὑποφέρω. ὑβριζόμην πρότερον καὶ ὑπέπτησσον καὶ τῷ τυχόντι προσώπῳ, μᾶλλον δὲ καὶ ἐτυπτόμην· παρὰ παντὸς τοῦ εὑρισκομένου, καὶ ἄρτι οὐδὲ τὴν τυχοῦσαν ἐπίπληξιν καὶ ὕβριν καὶ ὀνειδισμὸν καταδέχομαι εἰσδέξασθαι. υἱὸς ἐκαλούμην τότε τοῦ δεῖνος πτωχοῦ ἀνθρώπου καὶ πενιχροῦ, καὶ ἄρτι υἱὸς θεοῦ ὀνομαζόμενος καὶ υἱὸς φωτός, καὶ ἀπὸ τοῦ πνευματικῶς γεννήσαντος ὑβριοπαθῶ καὶ ἀλγύνομαι ἐν τοῖς τυχοῦσιν. ἆρα οὐκ ἔστι πλάνη καὶ μέθοδος δαίμονος; ἆρα οὐκ ἔστιν ἀπάτη καὶ φενακισμὸς λογισμῶν; καὶ οὐκ ἔχει τις λέγειν, εἴπερ καλῶς ἐν αἰσθήσει λάβοι τὴν φύσιν τῶν πραγμάτων, εἰ καὶ τῷ δοκεῖν εὐγενὴς ἦν κατὰ τὸν κόσμον (ἐάτω γὰρ τοὺς ἄλλους), εἰ καὶ ἐν πλούτῳ καὶ περιουσίᾳ (ἀφείτω γὰρ τοὺς ἑτέρως ἔχοντας), ὃς οὐχ εὑρήσει ἑαυτὸν ἐν τοῖς λεγομένοις ὑπαίτιον καὶ ὑπεύθυνον, εἴ γε ὀρθοτομῶν ἐστι τὸν ἑαυτοῦ βίον.

Ἀλλὰ δεῦτε, ἀδελφοί μου, χωρήσωμεν θερμῶς πρὸς θεόν, καὶ τρέψωμεν τὰς ἐναντίας δυνάμεις, καὶ ἐνεργήσωμεν φιλαλήθως καὶ ἀξιαγάστως τὴν ἄσκησιν ἡμῶν, βιαζόμενοι ἑαυτοὺς ἐν τοῖς λεγομένοις, ἵνα ἐντεῦθεν εὐμαρίζηται ἡμῶν ὁ βίος καὶ χαίρωμεν τῇ ἐλπίδι ἐν τῇ τῶν μισθῶν ἡμῶν ἀπολήψει, ὅτι ἐν τούτῳ ἐληλύθαμεν πάντες, μικροί τε καὶ μεγάλοι, εὐγενεῖς καὶ ἀγενεῖς, ἔνδοξοι καὶ ἄδοξοι, ἵνα πάντες προσενέγκωμεν οὐ μόνον τὰ προδηλωθέντα, ἀλλὰ καὶ ῥαπίσματα καὶ ἐμπτύσματα καὶ κολαφίσματα, ἐξορίας καὶ ἀπαγωγάς, σταυρὸν καὶ θάνατον τὸ τελευταῖον· καὶ εἰ ταῦτα πάθοιμεν, καὶ εἰ τὰ ἐλαφρότερα προκατορθώσωμεν, λογισθήσεται ἡμῖν καὶ τὰ μείζονα ἀπὸ τῆς προθέσεως ἀπειργάσθαι· εἰ δὲ ἐν ἐκείνοις ἀσθενήσωμεν, δηλονότι ἐν τοῖς δευτέροις, οὐδὲ ἀφόμεθα, ἀλλὰ καὶ ἐν τοῖς προτέροις εὐοδώσει ἡμῖν κύριος ὁ θεὸς ἔτι διαγωνιζομένοις, τοῖς τε διακονοῦσι καὶ διακονουμένοις, τοῖς τε δίδουσι καὶ λαμβάνουσιν· ἀμφοτέροις γὰρ ἐξ ἴσου ὁ κόπος, καὶ οἱ αὐτοὶ καὶ διακονοῦντες καὶ διακονούμενοι, καὶ διδόντες καὶ λαμβάνοντες, κατ' ἄλλας καὶ ἄλλας διακονίας εὑρισκόμενοι καὶ ἐν τοῖς δευτέροις καὶ μείζοσιν. εἴπερ εὐδοκεῖ ἢ παραχωρεῖ, δῴη δύναμιν καὶ κραταίωσιν συμμόρφους γενέσθαι τοῖς παθήμασιν αὐτοῦ, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΖ'.

Περὶ τοῦ μὴ παραδέχεσθαι τὴν συμβουλὴν τοῦ σκολιοῦ ὄφεως, ἀλλ' ἀποπέμπειν αὐτοῦ τὰς προσβολὰς δι' ἐξαγορεύσεως.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, εἰ μήτηρ φιλεῖ τὰ ἑαυτῆς ἔκγονα διατρέφειν (φύσεως γάρ ἐστιν ἰδίωμα ἐπὶ τὰ ἑαυτῆς τέκνα κατα-

---

7 κῶδ. *κατ' ἐβδ.* 10 κῶδ. *ἐνοικικὸν.* 11 ἄσφετλον] οὕτως ἐν τῷ ἀπογράφῳ· πιθανῶς *ἄσφαλτον* = πολύγωνον || κῶδ. *ἀμαρμάροτον.* 17 κῶδ. *μαλοτάριον.*

18 κῶδ. *ὑμῖν.* 22 κῶδ. *ὑμῖν.* 29 κῶδ. *σῴει.*

γίνεσθαι), πῶς οὐχὶ καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ ποθοῦμεν ὑμᾶς διατρέφειν; καὶ εἰ ἐκείνη ὧδε κἀκεῖσε περιαθροῦσα καὶ περιτρέχουσα ἐρανίζεται τὰ τρυφῆς ἐπιτήδεια, πῶς οὐχὶ καὶ ἡμεῖς οἱ πένητες συνεισοίσωμεν ὑμῖν τὰ χρήσιμα; ἄχθομαι δὲ ὅτι μὴ πλουσίως δυναίμην ὑμᾶς ἐκτρέφειν, μηδὲ ὅσον ἐπιζητεῖ ἡ ἔφεσις. τίς δὲ ἡ τροφή; αὐτὸς ὁ χορηγῶν αὐτὴν ἔφησεν, "ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς". ὦ ἀδελφοί, δέδωκε καὶ ἡμῖν ἐξουσίαν καλεῖν αὐτὸν πατέρα. ἀγαπήσωμεν τὸν ἀγαπήσαντα ἡμᾶς θεόν, καὶ τοσοῦτον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δοῦναι λύτρον ὑπὲρ πάντων ἡμῶν. πῶς δὲ ποιήσωμεν καὶ πῶς πράξωμεν; ἐδείξατε μὲν οὖν τοῦτο καὶ διὰ τῆς τοῦ προτέρου ὑμῶν βίου ὁμολογίας· τίνος γὰρ ἕνεκεν ἀπεφύγετε κόσμον καὶ τὰ τοῦ κόσμου, ἀπηρνήσασθε γονεῖς καὶ τὰ γονέων, ἀπαλλοτριωθέντες ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων καὶ τἆλλα ὅσα ἐν τῇ ματαιότητι τοῦ βίου ἐπιφαίνεται; ἀλλὰ καὶ ἔτι ἐπιδείξατε, παρακαλῶ, διὰ τὸ ὑποφέρειν ὑμᾶς τὴν θλιπτικὴν ὑποταγήν, τοὺς πόνους καὶ τοὺς κόπους τῆς ἐγκρατείας, τὸ ἄχθος καὶ τὸ βάρος τῆς διακονίας, τὰς ἀτονίας, τὰς ὀλιγοψυχίας τῆς ἀγρυπνίας καὶ μέντοι τὰ τόξα καὶ τὰ βέλη τῶν ἀοράτων λογισμῶν, τὸ πῦρ τῆς ἐπιθυμήσεως, τὸ σκότος τῆς ἀκηδίας, τὴν τηκεδόνα τοῦ φθόνου, τῆς ἀθετήσεως τὸν ὄλεθρον, τῶν ἄλλων ἁπάντων, δι' ὧν πειρᾶται κατενεγκεῖν ἡμᾶς εἰς ᾅδου ταμεῖα ὁ ὀλοθρευτὴς τῶν ψυχῶν ἡμῶν διάβολος. ἀλλὰ θαρσεῖτε, τέκνα· βάλλεται γὰρ ἐκεῖνος καὶ καταβάλλεται δυνάμει θεοῦ ἐν ὑμῖν, ἀλλ' οὐχ ὑμᾶς καταβάλλων φαίνεται. τρίζει τοὺς ὀδόντας καὶ βρύχει, ἡνίκα ὁρᾷ ὑμᾶς εἰρηνικὴν καὶ ἀστασίαστον ζωὴν διεξάγοντας· βούλεται εἰσπηδῆσαι καὶ ἁρπάξαι ψυχὴν εἰς ἀπώλειαν καὶ οὐχ ἕξει, ὅθεν εἰσελεύσεται, ἐπειδὰν βλέπῃ ὑμᾶς πεφραγμένους καὶ τετειχισμένους τῷ νόμῳ κυρίου· ἵστησι παγίδας καὶ θήρατρα, ὑπενεγκεῖν ὑμᾶς ἐν αὐτοῖς γλιχόμενος, καὶ ἀποτυγχάνων ὀδύρεται, ὁπηνίκα αἰσθάνεται ὑμᾶς δι' ἐξαγορεύσεως τὰ αὐτοῦ μηχανήματα διαλύοντας· οὐ γὰρ ἔχει χώραν οὐδὲ τόπον ἐκεῖ, οὗ ἐστι φόβος θεοῦ, οὗ ὑπάρχει ἐντολῶν τήρησις, κανόνων ἐνέργεια, ἐπιτιμίων ὑποδοχή· διὰ τοῦτο χαίρετε καὶ προθυμεῖσθε, εὐψυχεῖτε καὶ εὐσθενεῖτε, κραταιοῦσθε καὶ δυναμοῦσθε, μηδόλως διδόντες εἴσοδον τῷ ἀτιθάσῳ δαίμονι, μηδόλως παραχωροῦντες ψιθυρίσειν εἰς τὸ οὖς τῆς ψυχῆς ὑμῶν τὸν σκολιὸν ἐκεῖνον ὄφιν. ὁπόταν ἔλθῃ, ἀποκρουέσθω, ἀποπεμπέσθω. ἴστε, ὅπως ἐξηπάτησε τὸν πρῶτον ἄνθρωπον, ὅπως τε ἐξαπατᾷ καὶ νῦν τοὺς ἠπατημένους. ἐκεῖνα φθέγγεται καὶ συμβουλεύει, ἃ εἰς ἀθέτησιν φέρει, ἃ εἰς ὑπερηφανίαν ἔνεισιν, ἃ εἰς φθόνον παροτρύνει, εἰς ἐπιθυμίαν ἕλκει, εἰς ἀκρασίαν ἐνάγει, εἰς πᾶν ὅ τι οὖν τῶν τὴν ψυχὴν μολυνόντων καὶ ἀπολλύντων· φεῦ τῆς συμβουλίας τοῦ δράκοντος! ἀλλ' ὑμεῖς ἐκεῖνα ἀεὶ μελετᾶτε καὶ ἐπακούετε, ἃ ὁ φύλαξ τῆς ζωῆς ἡμῶν καλῶς ὑπομνήσκει καὶ ὑποβάλλει, τὰ περὶ σωφροσύνης, τὰ περὶ ἀνδρείας, τὰ περὶ πολιτείας τῶν ὁσίων πατέρων ἡμῶν, τὰ περὶ θανάτου, τὰ περὶ μεταστάσεως, τὰ περὶ ἀναλογίας τῶν βεβιωμένων, τὰ περὶ τῶν μελλόντων ἀγαθῶν καὶ μέντοι τῶν ἐναντίων κολαστηρίων, πῶς καὶ ποίοις τρόποις ἐστὶ τῶν μὲν ἐπιτυχεῖν, τῶν δὲ ἀποφυγεῖν, ἵν' ἐν τούτοις καταγινόμενοι καὶ ἐναδολεσχούμενοι ἔτι καὶ ἔτι εὐπραγήσητε· συνετίζεσθέ τε καὶ ὠθυπορήσοιτε τὴν ὁδὸν κυρίου τοῦ θεοῦ ἡμῶν, ἕως ἂν τὸ διωρισμένον μέτρον τῆς ζωῆς ἡμῶν τέλος δέξηται καὶ μεταστήσῃ ἡμᾶς ἐκ τῶν ἐνταῦθα ὀδυνηρῶν πρὸς τὴν μέλλουσαν ἀίδιον ἀνάπαυσιν ὁ καλῶς ὑφ' ἡμῶν λειτουργούμενος καὶ θεραπευόμενος δεσπότης.

Ἡμεῖς μὲν οὖν ταῦτα ἠρανισάμεθα ὑμῖν εἰς τροφὴν καὶ τὰ νῦν ὀλιγοστῶς πως· ὑμεῖς δὲ ἀμείψασθέ με καὶ ἀντιθρέψατε τὸν ταπεινόν, ὦ τέκνα, ταῖς προσευχαῖς, ταῖς δεήσεσι, ταῖς ἐναρέτοις εὐπραγίαις καὶ εὐδοξίαις

6/7 κῶδ. *δυναίμειν.* 9/11 πρβλ. Ἰωάνν. δ', 34. 41 κῶδ. *βλέπει.*]

2 κῶδ. *ἐσθάνεται.* 9 κῶδ. *ἀτιθάσσω.* 34 κῶδ. *διορισμένον.* 35 κῶδ. *ὑμᾶς.* 40 κῶδ. *ὀλιγωστῶς.*

ὑμῶν, ἐν τῷ ἑνὶ στοιχειούμενοι θελήματι, ἐν τῇ μιᾷ συναγόμενοι καρδίᾳ διὰ τῆς εἰς ἀλλήλους ἀφθόνου ἀγαπήσεως, διὰ τῆς ἐπ' ἀλλήλοις συμπαθητικῆς εὐσπλαγχνίας, διὰ τῆς ἀνολιγώρου ἐν ταῖς διακονίαις λειτουργίας, διὰ τῆς ἔτι εὐτονίας τῆς ἐνισταμένης ἁγίας Τεσσαρακοστῆς, ἵνα καὶ εὐμαρῶς τελειοῦντες τελέσοιτε καὶ διανύοντες διανύσητε, ῥωννύμενοι καὶ ψυχῇ καὶ σώματι, χαιρόμενοι διὰ τῆς ἐλπίδος τῶν καταβαλλομένων ὑμῖν πόνων, ἀξιούμενοί τε καὶ ἐπ' αὐτῆς τῆς ἁγίας ἀναστάσεως ἀκατακρίτως φθάσαι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΗ'.

Περὶ τῆς ἀποδράσεως τοῦ ἀδελφοῦ Ἐλπιδίου καὶ τῆς ὑποστροφῆς Εὐθαλίου, καὶ τοῦ μετὰ προαιρέσεως ἐκτελεῖν τὰς ἐργασίας, κατὰ τὴν καθήκουσαν ἡμῖν δύναμιν.

Ἀδελφοὶ καὶ πατέρες, ὡς ἀληθῶς γέγραπται, ὅτι "οὐ πλησθήσεται οὖς τοῦ ἀκούειν καὶ ὀφθαλμὸς τοῦ ὁρᾶν". ὁπόσα γὰρ ἂν εἴπωμεν προλαβόντες περὶ ὠφελείας καὶ καταστάσεως, οὐδὲν ἐν τῷ παρόντι εὑρίσκομεν περικρατούμενον εἰς τέλος καὶ διασῳζόμενον, ἀλλ' ὁμοῦ τε εἰσῆλθεν εἰς τὰς ἀκοὰς καὶ εὐθὺ ἀπέστη, ἢ μικρόν τι ἐπιμείνας ὁ λόγος ἐν τοῖς νήφουσι καὶ τῆς μνήμης ἀπώλισθεν, οὕτω τῆς φύσεως ἡμῶν μὴ διαρκούσης ἐγκρατεῖν τὰ παρακατατιθέμενα, ἀλλὰ πάλιν ἐπιδεομένης, ὡς ἐπὶ τῆς κατὰ σῶμα βρώσεώς τε καὶ πόσεως. καὶ διὰ τοῦτο ἀεὶ χρεία οἷον ἐνσπείρειν τὸν λόγον καὶ ἐγκατατίθεσθαι τὰ ἀγαθὰ ὑπομνήματα, εἴτε παρὰ τῆς θεοπνεύστου Γραφῆς λαμβάνοντας ἡμᾶς, εἴτε οἴκοθεν φέροντας· καὶ γὰρ καὶ ἐπὶ τοῦ παρόντος οὐκ ἂν εἴη χρεία τινὸς διαλέξεως, εἴπερ διετηρεῖτο τὰ δεδογμένα καὶ κεκανονισμένα ἄνωθεν καὶ ἐξ ἀρχῆς.

Ἀλλ' ἐπειδὴ παραφθείρονται καὶ διολώλασιν, ἀναγκαῖον τὰ αὐτὰ ἀεὶ ἀνακυκλοῦν καὶ ἑκάστοτε νεάζειν, ἵν' ἐντεῦθεν δόξωμεν περικρατεῖς γενέσθαι τῆς σωτηρίας ἡμῶν· τοῦτο δέ φημι ἐπὶ πολλαῖς μὲν ἄλλαις ὑποθέσεσιν, ὅσον δὲ κατὰ τὸ ἐνεστὸς διὰ τὸν Ἐλπίδιον, ὅτι πάντων ἀμνημονήσας καὶ πάντων ἀλογήσας, καὶ πάντα καταπατήσας τὰ ἐφομολογηθέντα ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων, ᾤχετο εἰς τὸν τόπον τῆς ἀπωλείας, εἰς τὸ βάραθρον τῆς ἀποστασίας, εἰς τὸ ἔνεδρον τῆς ἀρνήσεως. καὶ μὴ οὐκ ἦν παρὰ τοὺς πολλούς, διὰ τὸ εἶναι αὐτὸν ὑπουργὸν τοῦ ἀββᾶ Βασιλείου, ἐν ἀναπαύσει σωματικῇ, ἱματιζόμενος καὶ περιποιούμενος καὶ ἀναπατῶν ὧδε κἀκεῖσε; ἀλλ' οὐδὲν τὴν μελετήσασαν ψυχὴν ἀποστατεῖν δυσωπήσειεν, οὐχ ὑπαλλαγὴ καλλίστων ἱματίων τε καὶ ὑποδημάτων, οὐχ ἁβροτέρα δίαιτα βρώσεώς τε καὶ πόσεως, οὐκ ἀναπαυστικὴ διακονία ἐργοχείρου τοῦ καὶ καθ' ἡσυχίαν. καὶ τί λέγω τοῦτο καὶ ἐκεῖνο; οὐρανὸν καινὸν καὶ γῆν ἐὰν ποιήσῃ τις, κατὰ τὸ πατρικὸν ἀπόφθεγμα, δυνηθῇ ἂν τὸν τοιοῦτον ἕλξαι πρὸς τὸ καλόν, ἐπὰν ταῖς ἐθελουσίαις ὁρμαῖς ἀποκλίνας τῆς εὐθείας ὁδοῦ, πρὸς τὸ καταθύμιον ἐξελκόμενος καὶ δελεαζόμενος ὑπὸ τοῦ Σατανᾶ, δίδωσι τὰς ἑαυτοῦ ῥοπάς; ἀλλ' οὕτως μὲν ἐκεῖνος κακῶς βουλευσάμενος, ματαίως καὶ ὀλεθρίως τῆς ἑαυτοῦ ψυχῆς πέπραχεν, εἰ μή τις αὐτοῦ ἅψηται σπινθὴρ ζωτικὸς ἀνακαλούμενος ἐκ τῆς κατὰ ψυχὴν αὐτοῦ νεκρότητος· νενεκρωμένος γάρ ἐστι, κατὰ τὸν ἅγιον Βασίλειον, καὶ ἐστερημένος τοῦ ἁγίου πνεύματος· ὁ δὲ τοιοῦτος ἄξιος θρήνου καὶ εὐχῆς ἐπιστρεπτικῆς. τί δὲ οὐ διανοούμεθα τὴν τοῦ διαβόλου ἀπάτην καὶ φεύγομεν τὸν ὄλισθον, ἐκ τῶν ἤδη ἡπατημένων καὶ παλινστροφησάντων δεδιδαγμένοι; οὐδὲν γὰρ ἄλλο ἢ τὸ ἀπολέσαι πᾶν ὅ τι οὖν καλὸν πέπραχε δι' ὑπομονῆς ὁ πλανηθεὶς καὶ ὑποστρέψαι διακενῆς ὀψέ ποτε, ἐφ' ὅσον ἀπολήξει τῆς ἐμπαθοῦς προαιρέσεως

24 Ἐκκλησ. α', 8

1 κῶδ. *παραφθείροντε*. 38 κῶδ. *φείγωμεν*.

καὶ τῆς φιληδόνου ὁρμῆς, ἐπιφερόμενος ἴσως οὐκ ὀλίγα τὰ πταίσματα, ἃ κατὰ τὸν τῆς πλάνης καιρὸν αὐτοῦ ἀπειργάσατο. ἀπείη γὰρ λέγειν ἕως τοῦ τέλους ἐπιμενόντων· μὴ γὰρ οὐχὶ μετὰ τὸ ἀραδῆσαι καὶ συντριβῆναι καὶ κατακοπῆναι πάλιν ὑποστρέφομεν; ἤδη γινώσκομεν οἱ ἁλόντες, ἤδη καὶ ὃν ἀνέλπιστον εἶχον εἰς ὑποστροφὴν διὰ τὴν πολλὴν μανίαν, λέγω δὴ τὸν ἀδελφὸν Εὐθάλιον, πάλιν ὑποστρέφει, πάλιν μεταμελεῖται, πάλιν παρακαλεῖ, πάλιν ὁμολογεῖ τὴν ἁμαρτίαν, καίπερ ἔχων τὴν εὐθηνίαν, ὡς λέγει, τῆς σωματικῆς εὐζωΐας. εἶτα οὐκ ἔστιν ἐντεῦθεν τεκμήρασθαι ἡμᾶς τοὺς ἤδη ἱσταμένους καὶ ἀνεξαπατήτους, ἵνα μὴ ταὐτοπαθήσωμεν; ἀλλ' οὐκ ἐνδέχεται· ὡς ἐπὶ τῶν ἀλόγων ἢ τῶν ἰχθύων, εἰς τὸ αὐτὸ πάλιν ἐμπίπτομεν δέλεαρ, μᾶλλον δὲ καὶ ταῦτα οἶδε φείδεσθαι τοῦ ὁλισθηροῦ ποτε τόπου καὶ τῆς ἐπὶ τὸ αὐτὸ δὶς ἢ τρὶς ἐμπτώσεως. ἡμεῖς δὲ καὶ τῶν ἀλόγων ἐσμὲν χείρους, ἀλλ' οὐχ οἱ πάντες· ἤδη γὰρ πρὸς τοὺς ἀστηρίκτους μοι ὁ λόγος καὶ ἀνιδρύτους καὶ ὡς ἐπὶ ἀνέμης ὑπὸ τοῦ Βελίαρ γυριζομένους. πόθεν σεσάθρωται ψυχή; ἢ ἐκ τίνος αἰτίας ἐνίησιν ἑαυτὴν εἰς ἓν τῶν κατὰ τῶν παθῶν ὀλίσθημα (οὐδὲ γὰρ περὶ τῆς ἀποστασίας μοι μόνον ἡ ὑπόμνησις), ἀλλ' ἢ ἐκ τοῦ ἀμελεῖν τὰ προστεταγμένα καὶ ἐν οὐδενὶ ἡγεῖσθαι τὸ φυλάσσειν τὰ μικρά, ὡς αὐτοί, φασὶν οἱ ἐνεργοῦντες, νομίζουσι; μικρὸν δὲ καὶ μέγα ἁμάρτημα οὐκ ἔστι λέγειν, ὥς [φησιν] ὁ ἅγιος Βασίλειος· ἐπίσης γὰρ ἡ παρακοὴ τὴν ἐκδίκησιν ἔχει, οἷον τὸ ἀκρατῶς βλέπειν πρὸς πρόσωπα καὶ μὴ συστέλλειν ἑαυτοῦ τὴν ὄψιν ἑκάστοτε ἀπὸ τῆς βλαπτούσης θεωρίας, τὸ ἀδιαφορεῖν πρὸς γέλωτας καὶ κραυγὰς καὶ ἀπρεπεῖς ὁμιλίας καὶ ὠθισμοὺς καὶ ἁφὰς τὰς εἰς ἀλλήλους (ἐξ ὧν αἱ εἴσοδοι τῆς πορνείας, μᾶλλον δὲ ἀπωλείας), τὸ ἀνέργαστον εἶναι καὶ κατασκοπεῖν τὰ μὴ ἀνήκοντα (ἐξ ὧν φατρίαι καὶ πονηρίαι καὶ καταλαλιαὶ καὶ μερικαὶ φιλίαι), τὸ παρακούειν καὶ μὴ συνέρχεσθαι μετὰ τῶν λοιπῶν ἀδελφῶν εἰς τὰ καθήκοντα καὶ διωρισμένα παρὰ τῆς ταπεινώσεώς μου, ἐξ ὧν οἱ γογγυσμοὶ καὶ ὑπερηφανίαι καὶ ἀλαζονεῖαι, καὶ μάλιστα ὅτε καὶ ἐπὶ τῶν δοκούντων πρωτεύειν τὸ τοιοῦτον γένηται.

Μανθάνω, ὅτι τινὲς κατὰ τὴν ἐφημερίαν τοῦ ζυμώματος οὐκ εὐκλητοῦσι κἂν ὡς ἱέρακες πρὸς τὸ βρῶμα (βρῶμα γὰρ αὐτῶν τὸ ζυμούμενον καὶ ἐξοπτούμενον), καὶ τότε, ὅτε οὐδὲ κόπος τοσοῦτος, ὡς ἐν τοῖς πολλοῖς τῶν μοναστηρίων, ἢ καὶ ὡς ἐν ἡμῖν τὸ πρότερον, διὰ τὸ ὑπὸ τοῦ βοὸς προκατεργάζεσθαι τὴν ζύμην. ὁ βοῦς ἀνυπάλλακτος ἑκάστοτε τὴν διακονίαν ἐκπληροῖ, μόνος ἀνατλῶν τοὺς πόνους, καὶ ἡμεῖς πολλοὶ ἐπὶ τὸ αὐτό, καὶ οἳ μὲν τυχὸν πρὸς τὸ μόνον ἵστασθαι καὶ τὴν εὐταξίαν συντηρεῖν· καὶ ὅμως οὐκ ἐν προαιρέσει οὐδὲ ἀγογγύστως δεχόμεθα τὴν ἐφημερίαν. ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· οἱ τοιοῦτοι δὲ οὐκ ἔγνωσαν τοὺς νόμους φυλάττειν τοὺς κειμένους, κατευτελίζοντες ὡς μικρὸν τὸ μέγα καὶ ὡσεὶ οὐθὲν λογιζόμενοι τὸ τοῦ ζυμώματος ἔργον, οὐκ εἰδότες ὅτι ὑπὸ κυρίου ἡ ἐκεῖσε κλῆσις καὶ πρὸς αὐτὸν ἡ γενομένη παρακοή. μανθάνω, ὅτι ἐν τῇ μεταφορᾷ τοῦ σίτου καὶ τῶν ἄλλων ἀπὸ τῆς θαλάσσης μετακομισμάτων οὐκ εὐθὺς ἐκ πρωτολογίας ἐφίστανταί τινες τοῖς λοιποῖς αὐτῶν ἀδελφοῖς, τοῦτο κἀκεῖνο προφασιζόμενοι ἴσως· τὰ γὰρ ἀληθινῶς λεγόμενα ἐν φωτί εἰσι πάντως, καὶ εὔπιστα καὶ εὐπαράδεκτα τοῖς ἐγκελευομένοις. καὶ οὐ μικρὸν τὸ κακόν, πρῶτον μὲν ὅτι κοινὸν τὸ ἀνακομιζόμενον καὶ τῆς αὐτῆς χρείας ὂν ἀπαιτήσει πάντως τοὺς μετέχοντας τῆς ὁμοιοτρόπου κοπότητος· ἀλλ' οἳ μὲν ὡς μὴ μεταληψόμενοι τῶν τοιούτων, ἢ ὡς μὴ ἀδελφῶν ὄντων τῶν κοπιώντων, ἢ ὡς ἀλόγων τινῶν ὑπαρχόντων τῶν ταλαιπωρουμένων, οὐ συναίρονται τὴν ὁμοίαν ἐργασίαν, καθ' ὅσον καθήκει ἡ δύναμις· μικρὸν γὰρ ξυλάριον ὁ τοιοῦτος δύ-

3 κῶδ. *ἀπείει.* 9 κῶδ. *εὐθάλλιον,* 14 κῶδ. *τεκμείρασθαι.* 23 κῶδ. *ἀνηδρύτους.*

4 κῶδ. *ὑπερυφανίαι καὶ ἀλαζωνείαι.* 20 κῶδ. *κτισάμενον.* 30 κῶδ. *ἐπίστανται.* 39/40 κῶδ. *κοπιόντων.*

νηται αἴρειν, ἢ ἓν μόδιον φορτοῦσθαι ἀνετοβατῶν· τοῦτο δὲ μὴ ποιῶν προστίθησι καὶ ἕτερον βλάβος τῇ ἑαυτοῦ ψυχῇ, τὸ καθ' ἑαυτὸν καὶ ἄλλον παραζηλῶν εἰς παρακοήν. ἄξιά εἰσι τὰ ἀδέλφια παραχωρεῖσθαι ἐν τοῖς τοιούτοις, ἀλλ' αὐτοὶ προλαμβάνουσι τῶν ἄλλων.

Μηδαμῶς οὖν, ἀδελφοί, τὰ τοιαῦτα γένηται· ἐντεῦθεν γάρ, ὡς εἴρηται, ἡ ἀταξία καὶ πρὸς τὸ κοινὸν βλάβος καὶ ἡ κατὰ μικρὸν πτῶσις, αἱ ταραχαὶ καὶ αἱ λογομαχίαι, τὰ δικαιώματα καὶ τὰ κρίματα. διατί μὴ σπανίζῃ τὸ ἐπιτιμᾶσθαι τινά; διατί, ἐν οἷς ἐστιν εὐκόλως ὀρθοποδεῖν, ὑποσκελιζόμεθα ἀφρονεύοντες; ἐκ τούτων ἡ ζωὴ καὶ ὁ θάνατος, ἐκ τούτων ἡ προκοπὴ καὶ ἡ ἀπροκοπία, ἐκ τούτων ἡ ἀνάπαυσις καὶ ἡ ταλαιπωρία· οὕτω γὰρ εἰπεῖν ἀληθές, ἐπειδὴ ἡ ὑπακοὴ ζωὴ καὶ ἡ παρακοὴ θάνατος, καὶ ὁ ζυγὸς τοῦ Χριστοῦ ἐλαφρός, ὁ δὲ τοῦ διαβόλου βαρύς· καὶ ἡ πλήρωσις τῶν ἐντολῶν γλυκεῖα ὑπὲρ μέλι, τὸ δὲ παρακρούεσθαι αὐτὰς πικρότερον ἀψιθίου. μὴ γὰρ ἐκ τοῦ παρακούειν οἰέσθω τις τὸ ἀναπαυστικὸν ἑαυτῷ περιποιεῖσθαι· ἠπάτημαι μεγάλως· τοὐναντίον δὲ μᾶλλον τὸ φορτικὸν καὶ ἐπαχθὲς καὶ δυσήνυτον περιποιούμενος, ἐκ δὲ τοῦ ὑπακούειν τὸ κοῦφον καὶ ἐλαφρὸν καὶ ἀναπαυστικόν, κἂν ὅτι μάλιστα βαρύτατα εἶεν τὰ ἐντελλόμενα καὶ ὑπὲρ δύναμιν, εὐμαρίζοντος τοῦ θεοῦ διὰ τῆς ἀγαθῆς προθέσεως τὰ πράγματα. οὐ ψεύδονται οἱ ἅγιοι ταῦτα λέγοντες, ψεύδονται δὲ καὶ ἑαυτοὺς πλανῶσιν οἱ μὴ ταῦτα καταδεχόμενοι. ἀλλ' ἵνα καὶ ἑαυτοῖς τὰ κάλλιστα περιποιώμεθα καὶ θεὸς ἐπικουρῇ ταῖς δυνάμεσιν ἡμῶν, καὶ ἡ ταπείνωσις ἡμῶν ἀναπαύηται, καὶ τὸ κοινὸν τῆς ἀδελφότητος εὐτακτῇ, συνθώμεθα τοῖς λελεγμένοις καὶ πράξωμεν τὰ ζητούμενα, ἵνα ἀπ' ἐντεῦθεν ἤδη τῶν μελλόντων ἀγαθῶν ἀποδείξεις καρπούμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

13 κῶδ. *ὑποσκελλιζ* 22 ἀψιθίου = ἀψινθίου. 26 κῶδ. *δυσήνυστον.* 28 κῶδ. *ᾖεν.* 35 κῶδ. *ὑμῶν.*

ΚΑΤΗΧΗΣΙΣ ΡΘ'.

Περὶ ταπεινώσεως τοῦ καθηγουμένου, καὶ διδασκαλία πολιτείας τοῦ κατὰ θεὸν ἡμῶν βίου, καὶ τοῦ μὴ ὑπαχθῆναι τῷ καίσαρι ἐν τῇ μοιχείᾳ.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ποιμένος ἴδιον τὸ ἐφίστασθαι ἐπιμελῶς τῇ ἐμπιστευθείσῃ αὐτῷ ποίμνῃ, ἀγρυπνεῖν τε ἀόκνως ὑπὲρ τῆς ἀσφαλείας τῶν οἰκείων προβάτων, καὶ τὸ μὲν ἀῤῥωστοῦν ἐπισκέπτεσθαι, τὸ δὲ συντετριμμένον δεσμεῖν, καὶ τὸ μὲν πλανώμενον ἐπιστρέφειν, τὸ δὲ ἐναπομένον ἀνακαλεῖσθαι, καὶ ὅσα ἄλλα ὁ προφητικὸς διακελεύεται λόγος. οὕτω τοίνυν κἀμὲ τὸν δύστηνον χρὴ κάμνειν καὶ κοπιᾶν ἀενάως ὑπὲρ ὑμῶν τῶν ὡς ἀληθῶς Χριστοῦ προβάτων, ἡνίκα ἀναξίως κατεπιστεύθην ὑμῶν τὴν ἱερὰν προστασίαν, καὶ πῇ μὲν ταῦτα λέγειν, πῇ δὲ ἐκεῖνα, ὥσπερ ἐκ νομῶν εἰς νομὰς καὶ ἐκ χωρῶν εἰς χώρας μετακαλούμενος καὶ μεταβιβάζων ὑμᾶς, εἴπερ καὶ δοίη θεὸς τοῦτο δύνασθαι πράττειν, παρακαλούμενος ὑπὸ τῆς εὐχῆς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν καὶ τῆς ὑμῶν αὐτῶν πεποιθήσεως. ἐγὼ γὰρ ὁμολογῶ, ὥσπερ καὶ πολλάκις ὡμολόγησα, οἷός τέ εἰμι καὶ ὅσος ἀσθενὴς καὶ ἀνίκανος. τοιγαροῦν ὡς ἄρνες ὄντες Χριστοῦ ποιμαίνεσθε θεοπρεπῶς, κατασκηνούμενοι ἐν ταῖς ζωηφόροις ἐντολαῖς "ἐπὶ ὕδατος ἀναπαύσεως", προφητικῶς εἰπεῖν, ἐκτρεφόμενοι, ὁδηγούμενοί τε ἐπὶ τρίβους δικαιοσύνης καὶ συμψάλλοντες ἐκεῖνο, ὅτι "ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ". καὶ γὰρ πεποιθώς εἰμι ὅτι, εἴπερ μὴ ὀκλάσωμεν καὶ ἐκπέσωμεν ἀπὸ τῆς ἐγχειρισθείσης ἡμῖν καὶ ἐνεργουμένης πνευματικῆς καὶ πατρομιμήτου καταστάσεως, οὐδὲν ἡμᾶς περιέλῃ ἢ κατακρατήσῃ τῶν νοητῶς ἢ ὁρατῶς συμβαινόντων δυσχερῶν· "εἰ γὰρ ὁ θεὸς μεθ' ἡμῶν, τίς καθ' ἡμῶν; καὶ εἰ αὐτὸς ὑπερασπιστὴς ἡμῶν, ἀπὸ τίνος δειλιάσωμεν";

26 κῶδ. *πολλάκης.* 28 κῶδ. *ποιμαίνεσθαι.* 30 Ψαλμ. κβ', 2. 33/34 Ψαλμ. κβ', 4. 36 κῶδ. *ἐγχειρισθήσεις.* 42 Ψαλμ. κς', 1.

καὶ πῶς οὐχὶ ἔτι μᾶλλον καὶ μᾶλλον ἐπιδοίη πᾶσαν αὐτάρκειαν, καὶ σωματικὴν καὶ πνευματικήν, χαριτῶν καὶ δυναμῶν καὶ εὐφραίνων καὶ θαυμαστῶν ὑμᾶς κατὰ τὸν κόσμον τοῦτον ἐν ταῖς πολλαῖς καὶ ποικίλαις αὐτοῦ μεγαλοδωρεαῖς;

Ναί, ναί, τέκνα μου, οὕτω πιστεύετε καὶ οὕτως πεποίθετε, καὶ κατὰ τοῦτο ἀναθάλλετε καθ' ἑκάστην ἡμέραν καὶ οἷον εἰπεῖν ἐξανθεῖτε καὶ καρποφορεῖτε τὰς ἀθανάτους ἀρετάς, εὐωδιάζοντες ταῖς ἐνθέοις πράξεσιν, ὡς τὰ κρῖνα τοῦ ἀγροῦ, πᾶσαν δυσωδίαν κακίας ἀποπεμπόμενοι ὡς θεοστυγῆ καὶ ὀλέθριον. μὴ γὰρ οὐχὶ πᾶσα πρᾶξις ἡμῶν καθ' ἑκάστην ἡμέραν ὡς θυσία ἀναφέρεται τῷ δεσπότῃ θεῷ, εἰς ὀσμὴν εὐωδίας; ἀναφέρεται οὖν καὶ ἀνάγεται ἡ ἀληθινὴ τοῦ κόσμου ἀποταγὴ ὑμῶν, ἡ πρὸς τοὺς κατὰ σάρκα ἀκάθεκτος διάστασις ὑμῶν, ἡ ἐπὶ τὸ αὐτὸ κοινωνικὴ καὶ ἀμέριστος ζωὴ ὑμῶν. καὶ ἵνα μὴ τοῦτο καὶ ἐκεῖνο διεξέρχωμαι, πολλὰ ὄντα, ἃ κατὰ ζῆλον θερμὸν πρὸς τὴν ἀρχαίαν ἐκείνην καὶ πάτριον πολιτείαν ἀποβλέψασιν ἐσπουδάσθη ὑμῖν κτηθῆναι καὶ θησαυρισθῆναι, οἷον τὸ μὴ ἀποτεταγμένως ὀνομάζεσθαί τινι ἴδιον, μέχρι τοῦ οἰοδηποτοῦν σκεύους, τὸ μίαν εἶναι καὶ τὴν αὐτὴν φροντίδα ἐν πᾶσι καὶ κατὰ πάντα, καὶ ἐφ' ἑκάστῳ καὶ ἐπὶ τοῖς πᾶσι, τὸ ἐν τῇ στενοχωρίᾳ τῶν πρὸς τὴν χρείαν ὑπομονητικὸν καὶ φερέπονον, κἀκ τούτου μὴ ἀτονεῖν πρὸς πᾶσαν ἐντολήν, μάλιστά γε πρὸς τὸ πάντας τοὺς θέλοντας σωθῆναι μὴ ἀποστρέφεσθαι, οἵοί πέρ εἰσι πτωχεύοντες ἢ χωλεύοντες κατ' ἀμφότερα· ἔπειτα τὸ μηδὲ δοῦλον μήτε θῆλυ κτῆνος κεκτῆσθαι, ὃ κακῶς νῦν ἐπεισενεχθὲν ὁρᾶται ἐν τῷ καθ' ἡμᾶς τάγματι, ὥσπερ κοσμικῶν τινα ζωὴν βιοτεύειν αἱρουμένων, καὶ εἴτι ἄλλο τὸ τῆς κραταιᾶς πρὸς θεὸν καὶ πρὸς ἡμᾶς πίστεως ἔργον ἡμῶν ἐξαγγείλω. τοῦτο μὲν ἤδη καὶ ἐν τῷ προλαβόντι χρόνῳ, ἡνίκα γενναίως ὑπὲρ τοῦ μὴ προσίεσθαι τὴν τοῦ αὐτοκράτορος μοιχείαν συνήλθετε ἡμῖν ἐκ τοῦ μοναστηρίου καὶ συνεμαστίχθητε καὶ συνεξωρίσθητε ἄλλοι ἀλλαχοῦ, ὥσπερ πρόβατα, παταχθέντος τοῦ ποιμένος, εἰ καὶ τολμηρὸν καὶ ὑπὲρ ἡμᾶς εἰπεῖν, καὶ πρὸ τούτου, ἐφ' ὅσον ἐπὶ τὸ αὐτὸ μελετῶμεν, ὡς πράγματι ἐξεωθέντων ἡμῶν τηνικάδε ὑπὸ τοῦ βασιλεύοντος συνεξήλθετε καὶ συνεισήλθετε ἡμῖν ἐνταῦθα, ἐν μηδενὶ κατακρατηθέντες τῶν ἀνθρωπίνων· τοῦτο δὲ καὶ νῦν, ἐπὰν ὑπαναχωρησάντων ἡμῶν τῶν Καθαρά, διὰ τὸ μὴ ἐᾶσθαι ἡμᾶς εὐαγῶς ζῆν, συναποδιέστητε τῶν ἐκεῖσε οὕτω θερμῶς καὶ ἀνδρείως, ὡς μάρτυρες Χριστοῦ τὴν καλὴν ὁμολογίαν ὁμολογήσαντες καὶ κρατύναντες ἐνώπιον καὶ θεοῦ καὶ ἀνθρώπων. καὶ εὐλογητὸς κύριος, ὃς οὐκ ἀπέστησε τὴν ταπεινὴν ἡμῶν προσευχὴν καὶ τὸ ἔλεος αὐτοῦ ἀφ' ἡμῶν, καὶ ὃς ἐκραταίωσεν ὑμᾶς ἀπαρασαλεύτους ἐκ τῆς κατὰ πίστιν ὑμῶν ἑδραιότητος διαμεῖναι, καὶ ὃς οὐ περιεῖλε λόγον ἀληθείας ἐκ τοῦ στόματος ὑμῶν εἰς τὸ ἀψευδεῖς φανῆναι τὰς πρὸς αὐτὸν φοβερὰς συνθήκας ὑμῶν, καὶ ὃς ἐδοκίμασεν ὑμᾶς ὡς χρυσὸν ἐν καμίνῳ καὶ εὗρε τὸ δοκίμιον ὑμῶν τῆς πίστεως ἀκηλίδωτον καὶ ἄῤῥυπον, καὶ ὃς ἀνέδειξεν ὑμᾶς τέκνα ἀληθινὰ καὶ οὐ μωμητά, υἱοὺς ἐγνωσμένους καὶ οὐκ ἀθετήσαντας, υἱοὺς φωτὸς καὶ ἡμέρας καὶ οὐχὶ σκότους καὶ ἀπειθείας, γενεὰν κατευθυνομένην καὶ μετὰ θεοῦ πιστευομένην τῷ πνεύματι καὶ οὐχὶ σκολιὰν καὶ παραπικραίνουσαν· καὶ ὃς ὑπεδειγμάτισεν ὑμᾶς ἐν τῇ γενεᾷ ταύτῃ τοῖς τε μοναδικοῖς καὶ μιγᾶσι μοναχοὺς ἀληθινούς, ὑποτακτίτας ἀκραιφνεῖς, ἀναχωρητὰς ὡς ἀληθῶς τοῦ κόσμου, ἀποτακτίτας πάσης κτήσεως καὶ ὑπάρξεως, ἄνω φρονοῦντας, ἄνω βλέποντας, ξένους καὶ παρεπιδήμους τῆς γῆς, πολίτας καὶ οἰκήτορας τῶν οὐρανῶν, κατὰ μίμησιν τῶν ἁγίων μαρτύρων, κατὰ ζῆλον τῶν ὁσίων καὶ δικαίων, εἰς δόξαν τοῦ πολυυμνήτου κράτους αὐτοῦ.

---

10 κῶδ. *ἐξανθῆτε.* 14 κῶδ. *πράξης.* 30 κῶδ. *ὑπομονιτικὸν.* 35 κῶδ. *θῆλοι.* 38 κῶδ. *βιωτεύειν.*

1 κῶδ. *συνεξήλθεται.* 3 κῶδ. *συνεμαστήχθητε.* 9 κῶδ. *συνεισέλθετε.* 24 κῶδ. *ἐδοκήμασεν.* 26 κῶδ. *ἄρυπον.* 40 κῶδ. *ζίλων.*

Τί οὖν ἐγὼ πρὸς ταῦτα φαίην ἐγκωμιαστικὸν καὶ μακαριστικόν; ἢ τί ἀντεισάξαιμι ἐγὼ ὁ τάλας, ἐγὼ ὁ ποιμὴν ὁ κακός; οὐδέ γε τὸ αἷμά μου αὐτὸ ἐὰν χέω, τὰς σάρκας μού τε καταξάνω καὶ τὰ ὀστᾶ μου συντρίψω, ἀντισηκώσω ὑμῖν τὴν χάριν· τὰ γὰρ παρὰ τοῦ θεοῦ μεγάλα καὶ ἀνεξιχνίαστα καὶ ἐνταῦθα μὲν διδόμενα καὶ δοθησόμενα (πῶς γὰρ οὐκ ἀληθεύειν αὐτὸν ἀναγκαῖον, τὰ ἑκατονταπλασίονα νέμοντα;), ἐν τῷ μέλλοντι δὲ αἰῶνι τὰ μήτε ὀφθαλμῷ ὁρατά, μήτε ἀκοῇ χωρητά, μήτε ἐννοίᾳ καταληπτά, "ἃ ἡτοίμασε", φησί, "πᾶσι τοῖς ἀγαπῶσιν αὐτόν". τότε οὖν ὄψεσθε τί καλὸν ἤγαγεν ἡ ἀκλινὴς ὁμολογία ὑμῶν καὶ ἡ τῶν τῇδε ἡδέων παραθεώρησις καὶ παράβλεψις· καὶ τότε ὄψεσθε, ὃ εἰπεῖν μὲν ἐλεεινόν, μὴ σιωπῆσαι δὲ ἀναγκαῖον, διὰ τὸ ὑμῖν ἐδραῖον, τοὺς τέκνα μὲν καὶ ἀδελφοὺς χρηματίσαντας, ἀρνητὰς δὲ καὶ ἀθετητὰς διὰ πρόσκαιρον ἡδονὴν τῶν μικρῶν καὶ ὀλίγων ἡμερῶν καὶ ὡρῶν ὀφθέντας, καταισχυνομένους καὶ ἠτιμωμένους καὶ τὰς ἐναντίας ἀποφάσεις δεχομένους. τί τότε ὄφελος τοῖς ἐλεεινοῖς καὶ ταλαιπώροις ἐν τῷ κρίνεσθαι, ἡνίκα κεκρίκασι πατῆσαι τὸν νόμον αὐτοῦ ἐν τῷ παρόντι αἰῶνι καὶ κοινὸν ἡγήσασθαι τὸ αἷμα τῆς διαθήκης αὐτοῦ; καὶ τί τότε εἰς μετάμελον τῶν ἐνθένδε ἀθλητικῶν ὑποταγῶν, ἐπὰν ἀνατελῇ ὑμῖν φῶς καὶ χαρὰ ἀνεκλάλητος, καὶ ζωὴ καὶ ἀθανασία τῆς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν καταπαύσεως; ἀλλὰ φεῖσαι, φεῖσαι, κύριε, καὶ σὺν τῷ ἡμᾶς σκέπειν καὶ φρουρεῖν ἐν τοῖς μαρτυρίοις σου κἀκείνους πάντας ἐπανάγαγε καὶ ἀνακάλεσαι πρὸς ἐπιστροφὴν καὶ ἐπισυνάφειαν, ἵνα πάντες οἴσωμέν σοι δόξαν καὶ αἶνον, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

12/13 Κορινθ. 1, β', 9. 16 κῶδ. *ὄψεσθαι*. 27 κῶδ. *ἡγείσασθαι* || τὸ αἷμα τῆς διαθήκης] Ματθ. κς', 28. Ἑβρ. θ', 20. ι', 29.

ΚΑΤΗΧΗΣΙΣ ΡΙ'.

Περὶ τοῦ μιμεῖσθαι ἡμᾶς τοὺς θεοφόρους ἡμῶν πατέρας, ἀποφυγῆς τε τῶν παθῶν τῆς ἀτιμίας καὶ ἐγρηγόρσεως καὶ πόνου τῆς κατὰ ψυχὴν ἡμῶν ἐργασίας.

Ἀδελφοί μου καὶ πατέρες, σπόρου μὲν καὶ ἀμητοῦ καὶ τρυγητοῦ καιρός ἐστί τις ὡρισμένος, ἐν ᾧ ὁ γεωργὸς εὑρίσκει τὰ καταθύμια ἑαυτῷ πορίζεσθαι· ἐπὶ δὲ τῆς κατὰ ψυχὴν ἐργασίας πᾶς καιρός ἐστιν ἐπιτήδειος· οὐ γὰρ βοῶν χρεία, οὐδὲ ἀρότρου, οὐδ' ἄλλων σκευῶν τινων, ὧν ἡ ἀπουσία οὐκ ἔχει τὸ ἐνεργεῖν ἃ κατὰ τὴν γαιηπονίαν. προαιρέσεως δὲ μόνης καὶ ἐπιθυμίας ὁλοκλήρου χρεία, ἐν ᾗ πεφύκαμεν σπείρειν ὄντως τὰ καλὰ καὶ θερίζειν τὰ ἀγαθὰ εἰς ἀπόλαυσιν αἰωνίαν, καὶ τοῦτο οὐ μόνον ἐν ἡμέρᾳ, ἀλλὰ καὶ ἐν νυκτί, ἐν πρωΐ καὶ μεσημβρίᾳ, ἐν βρώσει καὶ πόσει, ἐν τῷ καθέζεσθαι καὶ ἀνίστασθαι, ἐν ὁμιλίᾳ καὶ σιωπῇ, ἐν κινήματι καὶ στάματι, ἐν ἐργασίᾳ καὶ ἀργίᾳ, εἴπερ ὅλως νήφωμεν καὶ γρηγορῶμεν, ἀλλὰ μὴ ἀποπλανώμεθα καὶ ἀπατώμεθα τοῖς διαλογισμοῖς ἡμῶν, ὧδε κἀκεῖσε περιφερόμενοι τῷ νοί, ἢ καὶ τῷ σώματι, καὶ ἐκδικούμενοι θελήματα ἡμῶν σαρκικά, πλήσσοντες καὶ πλησσόμενοι εἰς ἀλλήλους δι' ὀξυχολίας καὶ ἔριδος, παρακοῆς καὶ γογγυσμοῦ, κενοδοξίας καὶ ὑπερηφανίας, δικαιοῦντες ἑαυτοὺς πρὸς τοὺς πλησίον καὶ τὸ νικᾶν ἀθέσμως ἐφιέμενοι· ταῦτα γάρ εἰσι τὰ μὴ ἐῶντα τὸν νοῦν ἡμῶν σχολάζειν ἐν κυρίῳ καὶ ἀναλογίζεσθαι τὰ δέοντα, καὶ ταπεινὸν εἶναι καὶ συντετριμμένον καὶ πάντα ὑποδέχεσθαι ἀσμένως τὰ συμβαίνοντα θλιβερά· ἀλλὰ μηδαμῶς οὕτως, ἀδελφοί, μηδαμῶς· μηδὲ τὰς ἡμέρας τῆς σωτηρίας ἡμῶν παραναλίσκωμεν καὶ παραπόλλωμεν ἀργίᾳ καὶ ῥᾳθυμίᾳ καὶ ἀμελείᾳ· μηδὲ τὸν χρόνον τῆς ζωῆς ἡμῶν παρατρέχωμεν καὶ διανύωμεν ἀνεμπορεύτως καὶ ἀκερδῶς, ἀλλ' ἐμπορευσώμεθα τὰς ἀρετὰς καὶ κερδήσωμεν τὰ πλούτη τῶν οὐρανίων, καὶ φρονήσωμεν φρόνησιν, ἣν πεφρονήκασιν οἱ

40 κῶδ. *διανοίωμεν*.

ἅγιοι πατέρες ἡμῶν· μὴ ἡμέραν, μὴ ὥραν παραπόλλοντες, ἀλλὰ στερρῶς καὶ ἐπιτεταμμένως πρὸς τὴν κάθαρσιν τῆς ψυχῆς ἐνιστάμενοι, πρὸς τὸν διωγμὸν τῶν παθῶν, πρὸς τὴν ἀναληπτικὴν τῶν ἀγαθῶν θεωρίαν· μὴ τοὺς πόνους, τοὺς κόπους, τοὺς διὰ τῶν χειρῶν, τοὺς διὰ τῶν ποδῶν, τοὺς δι' ὅλων τῶν μελῶν, ἐφιστάμενοι εἰς αὐτὸ τοῦτο καὶ ζητοῦντες τὸν θεὸν ἐξ ὅλης καρδίας καὶ κρούοντες ἀπερικακήτως. καὶ μέντοι ἀνεῴχθη αὐτοῖς ἐπιμένουσιν ἡ εἴσοδος τῶν ἐντολῶν τοῦ Χριστοῦ, ἡ θύρα τῆς ἀγάπης, ἡ πύλη τῆς δικαιοσύνης, ἡ τῆς ἀπαθείας ὁδός, καὶ εἰσέβησαν καὶ εἰσεληλύθασι καὶ εὗρον χαρὰν καὶ ἀγαλλίασιν, καὶ ἐπορίσαντο ἐν ὀλίγοις πόνοις, ὃ ἐζήτουν, τὴν ἀίδιον καὶ ἀμάραντον εὐφροσύνην· οὕπω γὰρ ἐκεῖνοι ἠσχόληντο περὶ φιλοπαθείας καὶ φιλοσαρκίας· οὕπω ἐφρόντιζον περὶ ἀρχῆς καὶ δόξης καὶ πρωτείου· οὕπω διεμάχοντο περὶ ἱματίου καὶ ὑποδήματος καὶ κουκουλλίου τε καὶ μανδίου, γραφείου τε καὶ πινακιδίου, λωρίου τε καὶ ἀναλάβου καὶ τῶν τοιούτων· οὕπω ἐχόλουν κατὰ τοῦ ἀδελφοῦ ὑπὲρ ῥήματος ὑβριστικῶς ἐπενεχθέντος αὐτοῖς, ἢ ἐμπαίγματος, ἢ προσταγῆς κατ' ἐργασίαν, ἢ ἄλλου τινός, ἀτιμίαν ἢ ἀδοξίαν ἢ κόπον περιφέροντες, ἀλλ' ὑπὲρ τοῦ προκειμένου αὐτοῖς ἀγῶνος σκοποῦντες ἀεί, καὶ ὅτι ἡ τούτων ὑπομονὴ τὸ ζητούμενον ἐξήνυε. πάντως ἔφερον πάντα μετὰ χαρμολύπης ἢ καὶ τελείας εὐφροσύνης· τὸ μὲν γὰρ πρότερον τῶν εὖ ἀγωνιζομένων, τὸ δὲ δεύτερον τῶν ἀπαθεστάτων ἔργων. τίς δὲ μὴ οὐχ οὕτως διὰ τοὺς τινάς (καὶ ἐμαυτὸν λέγω); ἀλλ' ὑπὲρ μὲν τῶν προτέρων μικρὸς ὁ λόγος αὐτοῖς, ὑπὲρ δὲ τῶν δευτέρων πᾶσα ἡ ἔνστασις καὶ ἡ σπουδή, ὡς ὅτι δι' αὐτὸ τοῦτο ἐξῆλθον ἐκ κόσμου καὶ ἦκασιν ἐνταῦθα, ἵνα πάθεσι δουλεύσωσι, μαχήσωνται τε καὶ ἀγριωθῶσιν, ἐνδύσωνταί τε καὶ ὑποδήσωνται, ψεύσωνταί τε καὶ συκοφαντήσωσι, κλέψωσί τε καὶ ἀποσυλήσωσι καὶ φύγωσιν ἀπὸ θεοῦ καὶ τοῦ μοναστηρίου· οὕτω γὰρ ἐκ τῶν ἁμαρτιῶν μου γίνεται καὶ γέγονε, καὶ ἵνα τί ἐγενήθημεν οἱ τοιοῦτοι; ἵνα τί εἰς φῶς ἤλθομεν τηλικοῦτον τοῦ ἁγίου σχήματος; ἵνα τί ἐψευσάμεθα θεὸν ζῶντα, μᾶλλον δὲ ἵνα τί ἐλογισάμεθα μὴ εἶναι θεόν, κατὰ τὸ "εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι θεός"; πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων διεφθαρμένος ἐστὶ καὶ κατεβδελυγμένος ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ, θεὸν ἀπαρνούμενος.

Οἴμοι τῷ ἀθλίῳ! ποῦ ἐκλήθημεν καὶ ποῖα πράττομεν! ἐξ ἀκαθαρσίας τῷ δοκεῖν εἰς καθαρότητα καὶ ἀκαθαρτότεροι τῆς προτέρας ἡμῶν ζωῆς γινόμεθα· ἐκ φαυλότητος εἰς ὁσιότητα καὶ ἀνοσιουργότεροι τοῦ κόσμου καθιστάμεθα. ἐγενόμεθα μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν· τοῖς ἀκούουσι βλασφημία εἰς θεόν· τοῖς γνωρίζουσιν ὀνειδισμὸς καὶ κατάγελως· καὶ ἀβάλε ὅτε ἐγενήθημεν, ὅτι μικρὸν ὕστερον ἐκζητήσει κύριος ταῦτα πάντα, καὶ καθὼς οὐκ ἐδοκιμάσαμεν αὐτὸν ἔχειν ἐν ἐπιγνώσει, ἀποδοκιμάσει ἡμᾶς ἀπὸ τῆς μερίδος τῶν ἁγίων καὶ παραδώσει εἰς πῦρ ἀτελεύτητον. ἀλλὰ δεῦρο ὑμεῖς οἱ ἔτι διασῳζόμενοι, τέκνα καὶ ἀδελφοί, φυλαξώμεθα τὴν παραγγελίαν τῶν ἁγίων, τὴν νουθεσίαν τῶν πατέρων· τηρήσωμεν τὰς ἑαυτῶν καρδίας ἀμώμους καὶ ἀνενόχους· μὴ παραζηλοῦμεν ἐν πονηρευομένοις, μηδὲ ζηλοῦμεν τοὺς ποιοῦντας τὴν ἀνομίαν, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. μὴ οὖν ὁρῶμεν πρὸς τοὺς πολλοὺς ἀμελεστέρως διακειμένους ἐν τῇ παρούσῃ γενεᾷ, ἀλλ' εἰς τοὺς σπανίους καὶ διεγηγερμένους ἐν θεοσεβείᾳ, μᾶλλον δὲ εἰς τοὺς προωδευκότας ὁσίους πατέρας ἡμῶν, κἀκεῖθεν τὸν βίον ἡμῶν ῥυθμίζωμεν καὶ ἐντεῦθεν ὑποδειγματιζώμεθα καὶ εἰκονιζώμεθα· οὐδὲ γὰρ ζωγράφος ἀφεὶς τὸν ἀρχέτυπον χαρακτῆρα, τὸν κάλλιστα διαμεμορφωμένον, ἐκ τοῦ ὑστάτου καὶ δυσειδοῦς μεταγράφει τὸ ἑαυτοῦ φιλοτέχνημα,

1 κῶδ. *ὑποδήσονται.*

3 κῶδ. *ἤλθωμεν.* 6/7 Ψαλ. ιγ', 1. 16 κῶδ. *μυκτιρισμὸς.* 19 κῶδ. *κατάγελος.* 24 κῶδ. *δεῦρω.* 26 κῶδ. *φυλαξόμεθα.* 29/32 Ψαλμ. λς', 1, 2.

ἀλλὰ πάντως σπεύδει ἐκ τοῦ προὔχοντος πάντων ἐν ὡραιότητι γραφέντα μεταποιεῖσθαι τὸ ἐγγραφόμενον. ἡμεῖς δὲ ἐξ ἀπροσεξίας καὶ ἀφροσύνης τοὐναντίον ἐκ τῶν κακῶν καὶ ἀμόρφων, ἀφιέντες τὰς ἡγλαϊσμένας εἰκόνας, τὸν τῶν ἁγίων βίον, τὰ παραδείγματα λαμβάνομεν. διὰ τοῦτο οὐ τελεσφοροῦμεν, διὰ τοῦτο οὐ προκόπτομεν οἵ γε ταῦτα σκοποῦντες. δός μοι Ἀντώνιον, τὸ φῶς τοῦ κόσμου, Ἱλαρίωνα τὸν μέγαν ἑωσφόρον, Παχώμιον τὸ κλέος τῶν μοναζόντων, Εὐθύμιον τὸν ἥλιον τῆς ἐρήμου, Σάβαν τὸν ἀστέρα τὸν ἄδυτον, τοὺς καθ' ὑποταγὴν ἐκλάμψαντας, Δοσίθεον τὸν τῆς ἀδιακρίτου ὑπακοῆς λαμπτῆρα, Μᾶρκον τὸ θεόγραπτον βιβλίον, Ζωσιμᾶν τὸ τῆς ταπεινοφροσύνης ἐγκαλλώπισμα, τοὺς λοιπούς, οὓς τίς ἀριθμήσειε γράφων; τοὺς τοιούτους δεῖ μιμεῖσθαι, τούτων ἰχνηλατεῖν τὰς ἀρετάς. εἰ καὶ μὴ ἰσχύομεν ἰσοῦσθαι, ἀλλ' οὖν γε οὐ πολὺ πόρρω τῆς ὑψηλῆς αὐτῶν πολιτείας καὶ ἡμεῖς τὸν ἡμέτερον βίον παρορμήσωμεν. ναί, δέομαι ὑμῶν ἀδελφοί μου τιμιώτατοι, στῶμεν ἡμέραν ἐξ ἡμέρας ἀκαταπόνητοι πρὸς τὸ ἔργον τοῦ θεοῦ καὶ βλέψωμεν καθαρῶς εἰς ἃ βλέπειν δεῖ, καὶ ἄρωμεν ἅρμα πνευματικόν, ξίφος ὑπακοῆς, θώρακα πίστεως, ταπεινοφροσύνης περικεφαλαίαν· ἐν τούτοις γὰρ ἡττηθήσονται οἱ ἐχθροὶ ἡμῶν καὶ σὺν Χριστῷ νικήσομεν, καὶ νικήσαντες νομίμως τοὺς στεφάνους καὶ τὰ βραβεῖα ληψόμεθα τῆς εὐανδρείας ἐν δικαιοσύνῃ θεοῦ κατὰ τὸν μέλλοντα αἰῶνα, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΑ'.

Ὅτι δεῖ ἀμέμπτως καὶ ἀνοθεύτως φυλάττειν τὴν μοναδικὴν ἡμῶν πολιτείαν, καὶ περὶ τοῦ ὑποίσειν πάντα πειρασμὸν μέχρι θανάτου δι' ἐντολὴν θεοῦ.

Ἀδελφοὶ καὶ πατέρες, ἀντὶ γραμμάτων ὁ ἀββᾶς Πέτρος ἄγγελος ἡμῖν ἐγένετο τῆς περὶ πάντα ὑγείας ὑμῶν, καὶ ὅτι ἐν εἰρήνῃ καὶ εὐταξίᾳ διάγετε. χαίρομεν, ὁσάκις ἂν ἀκούωμεν, καὶ εὐφραινόμεθα· τί γὰρ ἄλλο περισπούδαστον ἡμῖν καὶ ἐπιθυμούμενον, ἀλλ' ἢ τὸ ὑμᾶς εὐσεβῶς περιπατεῖν καὶ θεοπρεπῶς ἀναστρέφεσθαι, ποιοῦντας πάντα τὰ προστάγματα τοῦ κυρίου, καὶ ἀνοθεύτως τὴν μοναδικὴν πολιτείαν διαφυλάττειν, ἐν ᾗ ἐγεννήθητε διὰ πνεύματος καὶ δι' ἧς ἐλυτρώθητε τῶν ἀρχαίων παραπτωμάτων, οὐ μὴν ἀλλὰ καὶ ἐλάβετε πνεῦμα δυνάμεως ἀπὸ προσώπου ὁρωμένων καὶ ἀοράτων ἐχθρῶν, μηδὲν ὑποπτήσσοντες τῶν παρόντων, πρὸς τὸ λατρεύειν θεῷ ζῶντι ἐν ἀμωμήτῳ πολιτείᾳ καὶ φυλακῇ τῶν ἁγίων αὐτοῦ ἐντολῶν; εὐχαριστήσατε, δοξάσατε, αἰνέσατε τὸν καλέσαντα ὑμᾶς κύριον, τὸν βεβαιώσαντα ὑμᾶς ἐν τῇ πεποιθήσει τῆς ἀγάπης αὐτοῦ, ἀνταποδιδόντες ἀνταπόδοσιν οὐκ ἄλλην τινά, ἢ τὴν ἐν ὑπομονῇ καρτερίαν ὑμῶν τῆς ἀσκήσεως. καὶ εἰ ἕως τοῦ δεῦρο οὕτως καλῶς διηγωνίσασθε, καὶ ἔτι μᾶλλον πρὸς τὸ ἐξῆς διανάστητε καὶ ἀναζέσατε πρὸς τὸν θεῖον ἔρωτα, τοῦτο μὲν κατὰ τὴν ὑποταγήν, τοῦτο δὲ κατὰ τὴν ὑπομονὴν τῆς ἐνισταμένης ἀγωνίας, διὰ τὴν ὑπόθεσιν τοῦ καθηρημένου· παρὰ γὰρ κυρίου στέφανοι ὑμῖν πλέκονται καθ' ἑκάστην, ἐπὰν εὐπροθετῆτε πάντα ὑπομένειν, ἢ μεθίστασθαι τῆς κατ' ἐντολὴν ἑδραιότητος ὑμῶν καὶ τῆς πρὸς τὴν ταπείνωσίν μου πειθαρχίας. οὐδὲ γὰρ ἐγώ, ἀδελφοὶ καὶ τέκνα, ἀκαίρως ἑαυτὸν βούλομαι ἐπιρρίπτειν εἰς πειρασμούς, οὐδὲ παραπολαύειν θλίψεων καὶ ὀδυνῶν, μέμψεών τε καὶ μυκτηρισμῶν, τυχὸν δὲ καὶ ἐξορίας. ἀλλ' ἐπειδὴ ἡ ἐντολὴ τοῦ κυρίου ζωὴ αἰώνιός ἐστι καὶ ἡ παρακοὴ αὐτῆς θάνατος, ἀναγκαζόμεθα πρεσβεύειν τὴν ἀλήθειαν καὶ μὴ συνέρχεσθαι τοῖς ἐναντιουμένοις αὐτήν. εἰ προδοῦναι βουλόμεθα, ἐξ ἑτοίμου αἱ τιμαί, αἱ πρωτοκλησίαι, αἱ δόξαι, αἱ προεδρίαι παρά τε βασιλέων καὶ ἀρχιερέων καὶ τῶν ἄλλων. ἀλλὰ τί τὸ ὄφελος, καθὼς γέγραπται, "ἐάν τις ὅλον

---

3 κῶδ. *ὑμεῖς*. 31 κῶδ. *ληψώμεθα*.

11 πνεῦμα δυνάμεως] Σοφ. ε', 24. 21 κῶδ. *δεῦρω*. 27 κῶδ. *πλέκοντε*. 32 κῶδ. *ἀκέρως*. 43 Ματθ. ις', 26.

τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημειωθῇ"; διὰ τοῦτο ἡ ἔνστασις ἡμῶν, διὰ τοῦτο οἱ ἀγῶνες καὶ δι' ἡμῶν εἰς ὑμᾶς διαβαίνοντες. "ἀλλὰ θαρσεῖτε", λέγει κύριος· "ἐγὼ νενίκηκα τὸν κόσμον". διὰ τοῦτο δὲ ἐκεῖνος νενίκηκεν, ἵνα ἡμεῖς κατόπιν αὐτοῦ βαίνοντες ὡσαύτως νικήσωμεν. ἐπεὶ ὡς θεὸς ἐκεῖνος ἀεὶ νικῶν ἦν, νενίκηκεν αὐτὸς ὡς ἄνθρωπος καὶ κατὰ πόδας εὐθὺς ἐνίκησαν τὸν κόσμον οἱ ἀπόστολοι· μετ' αὐτοὺς ἐνίκησαν οἱ μάρτυρες, ἔπειτα οἱ ὅσιοι. πῶς; εὐσεβῶς καὶ θεοπρεπῶς ζήσας. πῶς δὲ ἡ νίκη ἀπ' αὐτοῦ τοῦ δεσπότου θεοῦ καὶ τῶν πάντων ἁγίων; ἆρα ἀθλίπτως, ἀβασανίστως, ἀναιμάκτως, ἀνεξορίστως; οὐ μὲν οὖν, ἀλλὰ καὶ διὰ σταυροῦ καὶ θανάτου. οἴδατε τοὺς ὀνειδισμοὺς τοῦ κυρίου, τοὺς ῥαπισμούς, τοὺς χλευασμούς. παρεδόθη, ἐκριτηριάσθη, ἐῤῥαπίσθη, ἐνεπτύσθη, ἐσταυρώθη, καὶ ἀναστὰς ἔσωσε τὸν κόσμον. ὁμοιοτρόπως οἱ μακάριοι ἀπόστολοι, τὰ ἴσα πεπονθότες τῶν μαρτύρων. τίς ἐξείποι τὰς βασάνους καὶ τὰ ἄθλα τῶν ὁσίων, τοὺς ἀγῶνας καὶ τὰς ἐξορίας; φησὶ γάρ· "πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ διωχθήσονται, ἄνθρωποι δὲ πλάνοι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι". τί οὖν ξένον, εἰ καὶ ἡμεῖς θέλοντες κατ' ἴχνος βαίνειν τῶν ἁγίων πατέρων πανθάνειν ταῦτα, ἃ πανθάνομεν, εἰ καὶ ἕτερα; οὐδέν· ἀλλ' ὅτι καὶ καταξιούμεθα παθεῖν, ὀφείλομεν εἰπεῖν, ὅτι "τίς εἰμὶ ἐγώ, κύριε, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου, ὅτι ἠγάπησάς με"; στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς τῆς βασιλείας· ἄνετος καὶ πλατεῖα ἡ τρίβος τῆς ἀπωλείας· χαρὰ κόσμου σαρκός τε καὶ αἵματος ἡδοναί· φόβος ἀνθρώπινος καταφρόνησις τῶν θείων νόμων, ἀμεριμνία θανάτου. εἰς δὲ τήνδε θλῖψις κόσμων, πόνοι ἑκούσιοι, ἀνδρεία ἄθλα, ἀπαγωγῆς ὑπόθεσις· φησὶ γὰρ ὁ ἀπόστολος "ὑστερούμενοι, θλιβόμενοι, ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις πλανώμενοι καὶ ταῖς ὀπαῖς τῆς γῆς". καὶ μὴ εὑρηταί τις τῶν ἁγίων ἀπαθῶς διελθών; οὐδαμῶς. μὴ τοίνυν λοιπόν, τέκνα, ξενίζεσθε ἐπὶ τοῖς συμβαίνουσιν, ἀλλὰ χαίρετε ὅτι κατελήφθητε καὶ ἐμπυριζέτω ὑμᾶς ἡ ἀγάπη τοῦ θεοῦ κραταιότερον, ἵνα ἐντεῦθεν καὶ τὰς ἡδονὰς μαραίνητε καὶ τοὺς δαίμονας ἀποτρέπησθε. ὁ ἀγαπῶν τὸν ἕνα τοὺς πάντας ἐν δευτέρῳ ἔχει· ὁ φοβούμενος τὸν ἕνα οὐδένα τῶν ἄλλων δύναται φοβεῖσθαι· ὁ θεὸν ἔχων ὑψηλότερος πάντων γέγονεν. οὐ δύναται ὁ υἱὸς τοῦ θεοῦ μὴ εἶναι φοβερὸς μόνος· οὐ δύναται ὁ κόσμος νικηθεὶς ἅπαξ νικῆσαι τὸν νικήσαντα αὐτόν. φρονεῖτε ὑγιῶς, φυλάττεσθε εὐσεβῶς, ποιούμενοι ἐντεύξεις καὶ προσευχὰς ὑπὲρ βασιλέων, ὑπὲρ ἀρχιερέων, ὑπὲρ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, κατὰ τὸ κέλευσμα τοῦ ἀποστόλου. ὁ Χριστὸς ἐν μέσῳ ὑμῶν ἐστιν· εἰ γὰρ ὅπου εἰσὶ δύο καὶ τρεῖς πάρεστιν, ἐν ὑμῖν τοῖς τοιούτοις, κρατοῦσι τὴν ἐντολὴν αὐτοῦ, πῶς οὐχὶ ἔσηται; μένωμεν τοίνυν ἕως τοῦ παρόντος, μὴ μετέχοντες τῆς ζύμης τῆς μοιχικῆς. καὶ εἰ μὲν οὕτως ἐῶσιν ἡμᾶς οἱ ἄνθρωποι, χάρις τῷ θεῷ· αὐτὸς γὰρ εὐδοκεῖ τοῦτο. εἰ δὲ οὐκ ἐῶσι, καὶ οὕτω χάρις αὐτῷ· οὗτος γάρ ἐστιν ὁ εὐοδώσων ἢ παραχωρῶν. οὕτως καὶ οὐδὲν πάρεξ αὐτοῦ γίνεται ἐν τοῖς κρατοῦσι τὸν νόμον αὐτοῦ κράτιστον καὶ ἀγαθόν· κἂν τοῖς ἐναντίοις ὀφθήσεται ἐν ἡμέρᾳ κρίσεως, πολλάκις καὶ ἐνταῦθα. ταῦτα μὲν ἐν τούτοις, ὁ δὲ κύριος σώσειε πάντας ἡμᾶς νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

4/5 Ἰωάν. ις', 33. 24/27 1 Τιμοθ. 2, γ', 12, 13. 32/33 πρβλ. Ματθ. ζ', 13, 14. 41/43 Ἑβρ. ια', 37. 42 κῶδ. *σπιλέοις*.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΒ'.

Ὅτι χρὴ ἐνάγειν τοὺς ἐπιστημονάρχας τὴν ἀδελφότητα θεοπρεπῶς, καὶ περὶ ἀκριβείας τοῦ θεολήπτου ἡμῶν βίου καὶ τοῦ ἐκφυγεῖν ἡμᾶς τὴν κακόλεθρον παῤῥησίαν.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ὁρῶν καὶ ἐπιγινώσκων, οἷον καὶ ἡλίκον τὸ ἔργον τῆς κατὰ θεὸν προστασίας ὑμῶν, καὶ ἐπαι-

2 κῶδ. *ξενίζεσθαι*. 4 κῶδ. *ἡμᾶς*. 9 κῶδ. *δύνατε*. 13 κῶδ. *ὑγειῶς*. 14/17 Τιμοθ. 1, β', 1, 2. 18 πρβλ. Ματθ. ιη', 20. 20 κῶδ. *οὐχὴ*. 31 κῶδ. *σώσει*.

σθανόμενος τῆς ἐμαυτοῦ ἀναξιότητος, συντρίβομαι τὴν ταλαίπωρόν μου ψυχήν, καὶ δέδοικα καὶ τρέμω καὶ ἱλιγγιῶ, ποῦ καὶ ποταπῶς δυνηθῶ ἄξαι καὶ ποιμᾶναι καὶ ὁδηγῆσαι ὑμᾶς κατὰ τὸ τοῦ κυρίου εὐάρεστον. καὶ οὔτε ἡμέρα, οὔτε ὥρα, οὔτε εἴσοδος, οὔτε ἔξοδος, οὔτε ὑγεία, οὔτε νόσος, οὔτε λύπη, οὔτε χαρά, οὔτε τὶς ἄλλη συμβᾶσα πρόφασις ἄνεσίν μοι φέρει· ἀλλὰ μεριμνῶ καὶ περισπῶμαι, καίπερ ἀδύνατος ὢν καὶ ἀσθενὴς κατά τε ψυχὴν καὶ σῶμα, ὥστε περισώσασθαι ὑμᾶς καὶ ἀποδοῦναι δι' ἀγαθῆς πολιτείας ὡς θυσίαν εὐάρεστον. τίς οὖν μοι λοιπόν ἐστιν ὁ πρὸς τοῦτο συναγωνιζόμενος; τίς ὁ συνεπικουρῶν; τίς ὁ συναντιλαμβανόμενος; τίς ὁ ὑπερασπιζόμενος; τίς ἄλλος, ἢ ἡ χάρις τοῦ θεοῦ καὶ ἡ προστασία τῆς Θεοτόκου, τῶν δεσποτῶν ἡμῶν, τοῦ Προδρόμου, καὶ τοῦ Θεολόγου, καὶ ἡ εὐχὴ τοῦ κυρίου καὶ πατρός μου καὶ πατρὸς ὑμῶν σὺν τῆς ὑμῶν αὐτῶν ἀγαθῆς καὶ ἱερᾶς προθυμίας;

Ἰδοὺ τοιγαροῦν πρὸς τὸ παρὸν ἀναγκαία πρόοδος ἡ ἀπιοῦσα ἡμᾶς εἰς τὰ ἔξω μοναστήρια, πρὸς ἐπίσκεψιν τῶν ἀδελφῶν ἡμῶν· δέον γὰρ κἀκείνοις ἀπονέμειν τὰ εἰκότα, ἵνα μὴ τῇ σπάνει τῆς ἐπισκέψεως διαπίπτοιεν καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν τὰ προστάγματα, ὥστε φαίνεσθαι ἡμᾶς ἐξ ἴσου τῶν πάντων πατέρες καὶ μὴ ἑτερομερεῖν ταῖς ἐλλείψεσιν. παρακαλῶ οὖν ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα ἐν τῇ ἐξουθενημένῃ ἀπουσίᾳ μου ὑγιεῖς διαμένητε τὰς ὀλιγοστὰς ἡμέρας τῆς ἀποδημίας, τὰς τάξεις ὑμῶν περιφυλάττοντες κατά τε ὑπακοὴν καὶ ταπείνωσιν καὶ πᾶσαν ἄλλην ἀγαθὴν κίνησιν καὶ πρᾶξιν ὑμῶν. οἱ ἄρχοντες καὶ ἐπιστημοναρχοῦντες μὴ αὐθεντικῶς, μηδὲ αὐθαδῶς, μηδὲ ἐμπορευτικῶς, μηδ' ἄλλως πως ἀνθρωπίνως, ἀλλὰ θεοπρεπῶς, ὠφελίμως, σωτηρίως, πρὸς τὸ λυσιτελοῦν ἑκάστοτε, ὡς ὑπὸ θεοῦ ὁρώμενοι καὶ κρινόμενοι καὶ λόγον ἀπαιτηθησόμενοι ἐφ' οἷς λέγετε καὶ πράττετε· οἱ ὑπακούοντες καὶ ὑποτασσόμενοι πρὸς τὸ εὐπειθῶς καὶ εὐηνίως ἕπεσθαι καὶ συνδιεξάγεσθαι εἰς τὰ προστασσόμενα καὶ ἐντελλόμενα ὑμῖν, πρῶτον μὲν παρὰ τοῦ ἀντιπροσώπου μου τοῦ κυρίου τοῦ καλογήρου, ἔπειτα καὶ παρὰ τῶν λοιπῶν προυχόντων. τέκνα οὖν θεοῦ ἐστέ· ὡς τέκνα φωτὸς περιπατεῖτε. ἄρνες Χριστοῦ ἐστέ· ὡς ἄρνες αὐτοῦ ἡπίως καὶ εὐμαρῶς ποιμαίνεσθε. μή τις ὡς ἔριφος ἀτακτείτω καὶ σκιρτάτω, τὰς ἀκάνθας τῶν παθῶν ἐσθιόμενος· μή τις ὡς Ἰούδας πορευέσθω, συνὼν μὲν τοῖς ἀδελφοῖς ὡς ἀδελφός, ἔξω δὲ σκοπῶν τε καὶ μελετώμενος τὰ τῆς προδοσίας καὶ ἀπωλείας τῆς ψυχῆς αὐτοῦ· μή τις ὡς Ἡσαῦ διαγινωσκέσθω, φαυλίζων τὰ τῆς σωτηρίας αὐτοῦ πρωτοτόκια διὰ κλεπτικῆς βρώσεως καὶ πόσεως, εἴτε ἐν τῇ θυρωρικῇ, εἴτε ἐν τῇ νοσοκομικῇ, εἴτε ἐν τῇ μαγκιπευτικῇ, εἴτε ἐν τῇ μεμβραναρικῇ, εἴτε ἐν τῇ σκυτοτομικῇ, εἴτε ἔν τινι ἄλλῃ, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω· μὴ ἐν ἀργίᾳ μένοντες καὶ διακονοῦντες ὧδε κἀκεῖσε ἀκαίρως καὶ ἀναλίσκοντες τὴν ἡμέραν εἰς μάτην, κοπιώντων τῶν λοιπῶν ἀδελφῶν ὑμῶν τόνῳ, συγκαιομένων τε τῷ καύσωνι τῆς ἡμέρας καὶ ψυχομένων τῷ παγετῷ τῆς νυκτός. φοβερὸν τὸ κατάκριμα καὶ οὐδὲ τοῦ ἐσθίειν ἄξιοι, κατὰ τὸν ἀπόστολον οἱ τοιοῦτοι. ὁμοίως τοὺς πόδας ὑμῶν κινεῖτε ἐν τοῖς κατὰ θεὸν διαβήμασιν, ἀλλὰ μὴ ἐν τόποις κρυπτοῖς καὶ πονηροῖς, μηδὲ ἐν συμβουλίοις καὶ συνεδρίοις ματαιότητος, "ὅτι ὀφθαλμοὶ κυρίου μυριοπλάσιον ἡλίου φωτεινότεροι", κατὰ τὸ γεγραμμένον, "ἐπιβλέποντες πάσας τὰς ὁδοὺς ὑμῶν καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη". τοίνυν, εἰ καὶ ἐν παραβύστῳ ἢ τόπῳ, ἀλλ' ἐκεῖ, ἀδελφέ, βλέπει σε ὁ ἀκοίμητος ὀφθαλμός, ποῦ ἦσθα καὶ μετὰ τίνος ὁμιλεῖς καὶ τί πράττεις. βλέπε, τέκνον, μὴ εὕρῃ σε τῷ Σατανᾷ συνομιλοῦντα, μὴ καταφθάσῃ σε διαθήκας ἀσωτίας διαθέμενον, μυσαροπραττοῦντα, αἰσχρουργοῦντα, καὶ εἰ

---

26 κῶδ. *σπάνη*. 40 κῶδ. *ὠφελήμως*. 41 κῶδ *ἑκάστωτε*.

8 κῶδ. *ποιμένεσθε*. 14/15 πρβλ. Γεν. κε', 25-34. 23 κῶδ. *κοπιόντων*. 27/28 πρβλ. Κορινθ. 1, ια', 29. 31 συνεδρ. ματαιότητος] Ψαλμ. κε', 4. 32/35 Σειρὰχ κγ', 19. 40 κῶδ. *καταφθάσει*.

πρὸς τὸ παρὸν οὐκ ἀποδίδωσι (μακρόθυμος γάρ ἐστιν), ἀλλ' οὖν ἐγγραφει τὴν ἁμαρτίαν, σημειοῦται τὸ πτῶμα, ἐπιφωνῶν σοι ἀῤῥήτως καὶ ἀοράτως "ταῦτα ἐποίησας καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου", δηλονότι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ποῦ λοιπὸν φύγωμεν, τέκνα καὶ ἀδελφοί, τὰς χεῖρας τοῦ ἐξουσιάζοντος τὰ πάντα; τί πράξωμεν σκαιὸν καὶ οὐ διαγνώσωμεν;

Μὴ δὴ οὖν, παρακαλῶ καὶ ἀντιβολῶ, οὕτως, ἀλλὰ σωτηρίως καὶ εὐαρέστως, ἵνα χαίρῃ καὶ εὐφραίνηται, ἵνα ἐν τῷ βιβλίῳ τῶν ζώντων ἐνσημαίνηται τὰ ἀγαθὰ ὑμῶν ἔργα καὶ ἐν καιρῷ ἀποκαλύψεως στεφανώσῃ ὑμᾶς τῷ τῆς δικαιοσύνης ἀμαράντῳ καὶ αἰωνίῳ στεφάνῳ. μέγα κακὸν ἡ παῤῥησία καὶ ὀλέθριον· φύγωμεν οἱ πάντες· μὴ δίδωμεν ταῖς κατὰ μικρὸν κλοπαῖς καὶ συγκαταθέσεσιν ἐγγύτητας εἰς ἀλλήλους, ὄψεις πρὸς ὄψεις, ὀφθαλμὸν πρὸς ὀφθαλμόν, σάρκα πρὸς σάρκα, ὁμιλοῦντες ἡδονικὰ καὶ ὑπομειδιῶντες πορνικά. καὶ οὕτως λοιπὸν ὁ συνδεσμῶν τὴν ἀδικίαν καὶ ἀποτελῶν τὴν ἁμαρτίαν ἀνάπτει τὸ πῦρ καὶ καίει τὸν οἶκον τῆς ψυχῆς, καὶ τοὺς μὲν ὁλοκαύστους ἀπεργάζεται, τοὺς δὲ φλέγει, τοὺς δὲ ἀκρωτηριάζει. καὶ ἀβάλε τῆς ζημίας. διὰ μικρὰν καὶ ὀλεθρίαν ἡδονὴν ἀπόλλυται κάματος πολλῶν ἐτῶν ἀσκητικὸς καὶ πολύμοχθος. "τίς ὠφέλεια", φησίν, "ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν"; καὶ τί ἀπατώμεθα ἐν τούτοις, τέκνα μου καὶ ἀδελφοί, καὶ τί χαροποιοῦμεν τὸν Σατανᾶν καὶ λυποῦμεν τὸ πνεῦμα τὸ ἅγιον, καὶ ποῦ εἰσιν αἱ διαθῆκαι καὶ αἱ συνταγαί, ἃς ἐθέμεθα ἐπὶ τοῦ βήματος τοῦ θεοῦ, ὡς οὐχ ἁψόμεθα, ὡς οὐ θἵξομεν κατὰ πᾶσαν ἁμαρτίαν; καὶ τί ῥυποῦμεν τὸν τῆς παρθενίας χιτῶνα, ὃν διὰ τοῦ ἁγίου σχήματος τούτου ἐλάβομεν; καὶ τί παραβλησκόμεθα τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὁμοιούμεθα αὐτοῖς ἀλογιστεύοντες; ἅγιοι οὖν κεκλήμεθα ὑπὸ τῶν ἀνθρώπων καὶ ἅγνοι ἐσμέν· εὐλογημένοι ὀνομαζόμεθα καὶ ἀνευλόγητοι ὑπάρχομεν· καθαροὶ καὶ ναζηραῖοι καὶ πεφήναμεν ῥυπαροὶ καὶ ἀκάθαρτοι. ἀλλὰ δεῦτε προσκυγήσωμεν καὶ προσπέσωμεν καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς. ἀπ' ἐμοῦ ὅσοι μεμόλυσθε, καὶ ἀνανήψατε (παρακαλῶ) ἐκ τῆς μέθης καὶ κλοπῆς τῶν παθῶν, καὶ ἁγνίσατε ἑαυτοὺς διὰ τῆς μετανοίας· δέχεται γὰρ κύριος μέχρις ἐσχάτης ἀναπνοῆς. μὴ ἔστω δὲ ὑμῖν ἡ τοῦ θεοῦ μακροθυμία καὶ ἡ πρὸς τὴν μετάνοιαν ἀποδοχὴ εἰς ὄλισθον παλιμψυχίας· δεινὴ γὰρ ἡ ἐπίνοια καὶ ὀλέθριος. ἄνθρωπε, οὐκ οἶδας τί τέξεται ἡ ἐπιοῦσα, τί σοι μένει εἰς τὴν αὔριον· διὸ ἀσφαλὴς γενοῦ, ἵνα μὴ σαθρὰ βουλευσάμενος ζημιωθῇς τοὺς αἰῶνας, κολαζόμενος ἀτελευτήτως.

Ταῦτα μακροτέρου μὲν ἦν κατὰ τὸν παρόντα καιρόν· ἀλλ' ἐπεὶ ἐξέρχομαι, ἵνα ταῖς ὀλίγαις ἡμέραις τὸ ἀσφαλὲς ἔχητε, καὶ οἱ ἁλόντες καὶ οἱ μὴ ἁλόντες, καὶ οἱ εὐδρομοῦντες καὶ οἱ ἑστῶτες καὶ οἱ σαλευθέντες, οὕτως παρυπέμνησα. δέομαι οὖν ὑμῶν· ὑγιαίνοιτε πάντες, σῴζοισθε πάντες, στηρίζεσθε, ἀποπληροῦντες τὰ προστεταγμένα ὑμῖν, γρηγοροῦντες ἐν ταῖς ψαλμῳδίαις καὶ ἐν πάσαις ταῖς λοιπαῖς καταστάσεσι, καὶ Χριστὸς ὁ θεὸς ἡμῶν εἴη μετὰ τοῦ πνεύματος ὑμῶν νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΓ'.

Περὶ τοῦ ὑποφέρειν τὰ δυσχερῆ τῆς ὑποταγῆς καὶ τοῦ εὐμενῶς δέχεσθαι τὰς ἐπιτιμήσεις παρὰ τοῦ καθηγουμένου· ἐν ᾧ καὶ περὶ τοῦ ἐμπολιτεύεσθαι κατὰ μίμησιν τῶν ἁγίων ἡμῶν πατέρων.

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα, ἀποσιωπῆσαί με πρὸς ὑμᾶς οὐχ οἷόν τε, ἀλλ' αὐτὸν τὸν μηδαμινόν μου λόγον ἀναγκαῖόν ἐστιν

4/7 Ψαλμ. μθ', 21. 14 κῶδ. *χαίρει.* 16 κῶδ. *στεφανώσει.* 21 κῶδ *ὄψεων.* 28 κῶδ. *ἀκροτηριάζει.* 31/33 Ψαλμ. κθ', 10. 38 κῶδ. *ἀψώμεθα.* 41/42 πρβλ. Ψαλμ. μή', 13, 20.

33 Mai, Novae patrum bibliothecae τ. IX, pars II, σ. 31-34.

ἑκάστοτε προσφέρειν ὑμῖν· γέγραπται γάρ· "ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον". ἐπεὶ τοίνυν εἰς τοῦτο κείμεθα, εἰ καὶ ἀναξίως, δέον τὰ ἐπιβάλλοντα ἡμῖν ἐνεργεῖν καὶ πῇ μὲν ἐλέγχειν, πῇ δὲ ἐπιτιμᾶν, εἶτα καὶ παρακαλεῖν ἐν τῇ δεούσῃ διδασκαλίᾳ· πολυτρόπως γὰρ ἡ σωτηρία ἡμῶν ἐνεργεῖται καὶ διαφόρῳ λόγῳ καὶ ἀγωγῇ ἰατρεύεται τὰ κατὰ ψυχὴν ἡμῶν πάθη. διὰ τοῦτο φροντίς μου καὶ μέριμνα οὐκ ὀλίγη, ἀγὼν καὶ φόβος οὐχ ὁ τυχών, ἵνα ὑμᾶς τὸ ποίμνιον τοῦ Χριστοῦ, τὸν ἐκλεκτὸν αὐτοῦ λαόν, τοὺς ἀγγελικοὺς ἄνδρας, τοὺς φυγάδας τοῦ κόσμου, τοὺς καθαροὺς λατρευτὰς τοῦ Χριστοῦ, τοὺς μεμονωμένους ἀπὸ πάσης ματαιότητος κοσμικῆς, εἴγε καὶ οὕτως βιοτεύομεν, παραστῆσαι τῷ θεῷ μου ἀμώμους καὶ ἀμέμπτους ἐν τελειότητι τῆς κατ' ἀρετὴν πολιτείας. δέχεσθέ μου λοιπόν, δυσωπῶ, εὐμενῶς, ὥσπερ τὰς παρακλήσεις, καὶ τὰς ἐπιτιμήσεις καὶ δι' ἐμοῦ καὶ τὰ παρὰ τῶν ἄλλων πρωτευόντων, καὶ ὡς τοὺς οἰκτιρμοὺς καὶ τοὺς ἐλεγμούς, καὶ ὡς τὰς συμπαθείας καὶ τὰς αὐστηρίας· καὶ κλίνοντες τὸ οὖς ὑμῶν προσεκτικῶς δέχεσθε τὰ λεγόμενα μὴ ὡς ἐν καταφρονήσει, μὴ ὡς ἐν συνηθείᾳ ψιλῇ, μὴ ὡς ῥήματα οὕτως ἁπλῶς λεγόμενα καὶ εἰς ἀέρα ῥέοντα, ἀλλ' ὡς ἐκ πόνου ψυχῆς, ὡς ἐκ συνοχῆς καρδίας, ὡς ὑπὲρ ἀγάπης ὑμῶν εἰλικρινοῦς καὶ σωτηρίας. ναί, πιστεύσατε, τέκνα· καὶ γὰρ καιομένη ἐστὶν ἡ καρδία μου ἐν ὑμῖν, καὶ ζηλοτυπῶ τὴν σωτηρίαν ὑμῶν, καὶ εὔχομαι εὐχὴν τολμηράν, τὴν ἀπώλειαν τὴν ἐμὴν ὄψεσθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἢ τὴν ὑμῶν ἐκ θεοῦ ἀπόπτωσιν. ἀποπέσοιμεν δὲ πῶς ἄρα, ἢ ἐκ τοῦ κατὰ τὸ ἱερὸν ἡμῶν ἐπάγγελμα βιοτεῦσαι; ὁποῖον δὲ τὸ ἐπάγγελμα, ἴστε· ἅγιον γὰρ καὶ ἀγγελικὸν ὑπάρχει, κατὰ τὰς φωνὰς τῶν ἁγίων, μαρτυρικοὺς ἔχον τοὺς στεφάνους, τὰς ἀνταποδόσεις ἀθανάτους καὶ αἰωνίους. περιπατήσωμεν οὖν κατ' αὐτό, δέομαι ὑμῶν, ἀδελφοί μου τιμιώτατοι, καὶ τὴν εὐγένειαν αὐτοῦ μὴ καθυβρίσωμεν, καὶ τὴν δόξαν αὐτοῦ μὴ ἀτιμάσωμεν ἐκ τῆς ἐναντιουμένης διαβιώσεως. βιώσωμεν οὖν κατὰ μίμησιν τῶν ὁσίων πατέρων ἡμῶν· πολιτευσώμεθα κατ' ἴχνος τῆς ἀρετῆς αὐτῶν (τοῦτο δὲ δι' ὑπομονῆς κραταιᾶς καὶ εὐψυχίας θεοσθενοῦς κατορθοῦται), ἵνα καὶ τὸν λοιπὸν τῆς ζωῆς ἡμῶν χρόνον ἐνέγκωμεν καθυποτασσόμενοι τῷ κυρίῳ (οὐ γὰρ ἡμῖν τοῖς ἁμαρτωλοῖς), φυλάττοντες τὴν ἁγνείαν τοῦ σώματος ἡμῶν ἄσπιλον, ὡς νυμφαγωγηθεῖσαν Χριστῷ, ὑπακούοντες καὶ ταπεινούμενοι ἐν μιμήσει τοῦ ὑπὲρ ἡμῶν "μέχρι θανάτου, θανάτου δὲ σταυροῦ", ἑαυτὸν ἐκδεδωκότος, αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἐκάλεσεν ἡμᾶς ἀπὸ σκότους εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς τῆς ἀσκήσεως· ὃς ἦρε τὰ παραπτώματα ἡμῶν καὶ πάλιν ἐκ φιλανθρωπίας διὰ τῆς ἐπενδύσεως τοῦ ἁγίου σχήματος. μηκέτι οὖν λοιπὸν ἐν νυκτὶ τῶν παθῶν πορευσώμεθα· μηκέτι παραβάται νόμου γενοίμεθα· μηκέτι πλημμέλειαν πλημμελήσωμέν τινά, ἣν ἀπηρνησάμεθα, ἀλλ' ἐν θερμῇ διαθέσει, ἐν ἐπιθυμίᾳ τῶν μελλόντων ἀγαθῶν, διαμείβωμεν τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐμπορευώμεθα τὰς ἐπιλειπομένας ἡμέρας τῆς παροικίας ἡμῶν, φέροντες τὰ παρόντα γενναίως, οἷά πέρ εἰσιν, εἴτε ἐν τροφῇ, εἴτε ἐν ποτῷ, εἴτε ἐν ἐνδύματι, εἴτε κατὰ τοὺς ἀοράτως πολεμοῦντας ἡμᾶς, εἴτε κατὰ τοὺς ὁρατῶς προσφερομένους ἡμῖν ἀδελφούς, ἐν λόγοις πληκτικοῖς, ἐν ἐξουδενώσεσιν, ἐν ἀτιμίας, ἐν ἀφορισμοῖς· ταῦτα γάρ εἰσι τὰ καθαρτήρια τῆς ψυχῆς φάρμακα· ταῦτα τὰ αὐχήματα τῶν ἀληθινῶν ὑποτακτικῶν· αὗται αἱ προκοπαί. δι' αὐτῶν σχεδόν τις εἰς τὸ ἀκρότατον τῆς ἀρετῆς συντόμως ἀναβαίνων διασῴζεται· τὰ γὰρ ἐναντία τῶν προῤῥηθέντων, οἷον ὑπερηφανίαι, παρακοαί, ὕβρεις, ἔχθραι, φθόνοι, λοιδορίαι, ἔρι-

2/3 Τιμοθ. 2, δ', 2. 15 *μεμονομένους* P. 17 *βιωτεύομεν* P. 19 *δέχεσθαι* P. 25 *δέχεσθαι* P. 38 *βιωτεῦσαι* P.

11 *ἁγνίαν* P. 12 *ὑμῶν* P. 14/15 Φιλιπ. β', 8. 17 ἐκάλ. ἡμᾶς ἀπὸ σκότους κέ] Πέτρ. 1, β', 9. 19 παραπτώματα] πρβλ. Κολ. β', 13. 26 διαμείνωμεν V. 27 ὑπολειπομένας V. 32 *ὡρατῶς* P. 39 *διασώζοιται* P.

δες, ἀνυποταξίαι, αὐθάδειαι, περπερεῖαι, κόροι, πλησμοναί, φιλοσαρκίαι, φιλοκοσμίαι, γέλωτες, στρηνιασμοί, παῤῥησίαι, ἀπείη καὶ ἐννοεῖν ἐν ὑμῖν· ἐν τούτοις γὰρ οἱ ἁλόντες υἱοὶ σκότους καὶ διαβόλου καὶ υἱοὶ ἀπειθείας καὶ ἀνομίας ἀναγορεύονται. οὐκ εὐδοκεῖ κύριος ὁ θεὸς ἐν τούτοις, οὐ κατοικεῖ τὸ πνεῦμα τὸ ἅγιον ἐν ψυχαῖς αὐτῶν. "ἐπὶ τίνα γάρ", φησίν, "ἐπιβλέψω; οὐχὶ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; μὴ ἐπὶ τὸν αὐθάδη καὶ ὑπερήφανον καὶ ἀλαζόνα"; καὶ ποῦ "ἐλευσόμεθα", φησί, "καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν", δηλαδὴ ἡ ἁγία τριάς; οὐχὶ εἰς τὴν πιστὴν καρδίαν καὶ τηροῦσαν τοὺς θείους λόγους; μὴ εἰς τὴν ἄπιστον καὶ ἐνδοιάζουσαν καὶ ἀκατάστατον; καὶ ἐν ποίοις ἐστὶν ἐν μέσῳ ὁ Χριστός; οὐχὶ ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ; μὴ ὅπου συνέδρια ἐπὶ τὸ αὐτὸ δύο ἢ τριῶν, πονηρὰ βουλευομένων ἀσωτείας καὶ ἀποδράσεως καὶ εἴ τινος ἄλλου πονηροῦ σκέμματος; οὐδαμῶς, οὐδαμῶς, ἀλλ' ἐκεῖ ἐστιν ὁ ἐνεργῶν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας Σατανᾶς.

Μὴ οὖν τις ἁλισκέτω, ἀδελφοί μου, ἔν τινι τῶν τοιούτων παραπτωμάτων· ἀλλ', εἰ καὶ ὑπήχθη, θᾶττον ἀνορθούσθω, δεχόμενος ὡς ἰατήρια τῆς ψυχῆς τὰ ἐπιτίμια τοῦ σφάλματος. ναί, δέομαι καὶ παρακαλῶ πάντας ὑμᾶς, συνέλθετε εἰς ἀλλήλους εἰρηνικῶς καὶ θεοπρεπῶς· ὁμονοήσατε καὶ ὁμοφρονήσατε τὰ πρὸς σύνεσιν καὶ εὐστάθειαν ἐν κυρίῳ. ἔσεσθε ἄνδρες ἐπιθυμιῶν τοῦ πνεύματος· ἔσεσθε συναγωγὴ κυρίου, ἄθροισμα ἀγγελικόν, ἐπαινουμένη συναγωγή, ζηλωταὶ τῶν ἐντολῶν τοῦ κυρίου, ἀλλήλους παραθήγοντες ἐν τοῖς καλοῖς, προτρέχοντες ἐν τῇ ταπεινοφροσύνῃ, προλαμβάνοντες ἐν τῇ ὑπακοῇ, ἄμαχοι, ἀφιλένδεικτοι, ὁσιοπολίτευτοι, καρτερικοί, ἔμφρονες, θεοδίδακτοι, ἵνα τοιαύτῃ πολιτείᾳ λειτουργήσαντες τὰ ἐνταῦθα ἐν τῷ μέλλοντι αἰῶνι ἀπολαύοιτε τὰς αἰωνίους ἀναπαύσεις ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΔ'.

Περι τοῦ ἐρευνᾶν τὰς θείας Γραφάς, ὡς ἂν μὴ ἀγνοῶμεν τὰς πολυμόρφους μηχανὰς τοῦ διαβόλου.

Ἀδελφοὶ καὶ πατέρες, τί ἡ παροῦσα κατήχησις; ἵνα στῶμεν γενναίως, περιζωσάμενοι τὴν ὀσφὺν ἡμῶν ἐν ἀληθείᾳ καὶ ὑποδησάμενοι τοὺς πόδας ἡμῶν ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἄνω βλέποντες, ἄνω σκοποῦντες, τὰ ἄνω ζητοῦντες, περὶ τὰ οὐράνια καταγινόμενοι, περὶ τὴν φροντίδα τῆς ἀπολογίας, περὶ τὴν ἔξοδον τοῦ σώματος, περὶ τὴν ὑπάντησιν τοῦ κριτοῦ, περὶ τῶν θείων βίβλων, ἰχνηλατοῦντες τοὺς βίους τῶν ἁγίων, εἴ τι καλὸν εἴ τι χρήσιμον ἐκστηθίζοντες, ἐν νῷ ἔχοντες, καὶ ταῦτα προβαλλόμενοι ὡς βολίδας κατὰ τοῦ ἐχθροῦ μὴ φιλαυτικῶς, μηδὲ κενοδοξικῶς (αὐτὸ γὰρ τοῦτο καθ' ἡμῶν ἐργαζόμεθα), ἀλλ' ἐνθέως καὶ ὠφελίμως καὶ ταπεινοφρόνως. εἴ τις ἐν πάθει ἐνοχλεῖται, μὴ ἀκηδιάτω, μηδὲ καταπιπτέτω, (ἐγγὺς γὰρ κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, καὶ ψυχὴ ζητοῦσα εὑρήσει αὐτόν), μόνον στηκέτω, στεναξάτω, δακρυσάτω, ἐπαράτω τὰς χεῖρας εἰς τὸν οὐρανόν, τυψάτω τὸ στῆθος, ἐπιλογισάσθω τὴν αἰσχύνην τὴν μετὰ τὴν πρᾶξιν ἐγγινομένην, καὶ οὐ λέγω τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, ἀλλὰ καὶ τὴν ἐν ἑαυτῷ καὶ τὴν ἐν ἀνθρώποις θριαμβευομένην, καὶ ἐντεῦθεν ἀνακοπτέσθω, ἐντεῦθεν στηριζέσθω. τί γὰρ γέγραπται; "υἱὲ μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παρα-

---

4 *ἁλῶντες* P. 9/11 πρβλ. Ἡσαΐου ξς', 2. 12/13 Ἰωάν. ιδ', 23. 12 *ἐλευσώμεθα* P. 13 *ποιήσωμεν* P. 16 *ἐνδυάζουσαν* P. 17/18 πρβλ. Ματθ. ιη', 20. 24 ἁλισκέσθω V. 34 *ἄθρυσμα* P. 41 ἀπολάβοιτε V.

5 Mai, Novae patrum bibl. t. IX, pars II, σ. 38-41. 11 *ὑμῶν* P. 12 *ὑμῶν* P. 13 ἀναβλέποντες V. 14 ἀνασκοποῦντες V. 20 *ἐν νῷ* P, ἐν ᾧ V. 24 πάθεσιν V. 26 Ψαλμ. ρμδ', 18. 35/38 Παροιμ. γ', 11, 12. 35/36 *ὀλιγόρει* P. 38 *μαστηγοῖ* P.

δέχεται". καὶ πάλιν ἐν ἑτέρῳ· "μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς". δοκιμάζει ἡμῶν τὸν πόθον, εἰ ἐπιμένωμεν πρὸς αὐτόν, ὁ κύριος, καὶ εἰ μὴ προκρίνωμεν τῆς ἀγάπης αὐτοῦ τὴν μυσαρὰν πρᾶξιν, τὴν ὀλεθρίαν καὶ θανάσιμον, τὴν γλυκόγευστον καὶ πικρόληκτον, τὴν μᾶλλον μαχαίρας διστόμου χολωδεστέραν καὶ τιμωρητικωτέραν. καὶ οὐχ ὡς δείκνυσιν ὁ ἀλάστωρ ἐστὶ τὰ πράγματα· φῶς δεικνύει, κἀκεῖνο σκότος ἐστίν· ἀγάπην τὸ δοκεῖν πνευματικὴν ὑποσπείρει, κἀκεῖνο μῖσος πάμμισόν ἐστι. σὺ οὖν, στρατιῶτα Χριστοῦ, μὴ ἀγνόει τὰ νοήματα αὐτοῦ, μηδὲ τὰ μηχανήματα αὐτοῦ. εἰ ζωὴν ἐφίεσαι, ἐκζήτει τὸ φῶς, ὅτι ὁ θεὸς καὶ ἡ ἐντολὴ αὐτοῦ φῶς. τεχμαίρου οὖν ἐκ τῆς καταστάσεως τῆς ἑαυτοῦ ψυχῆς τίς ὁ παραγενόμενος, ἡμέτερος ἢ τῶν ὑπεναντίων; ἐὰν μὲν ἀτάραχόν σου τὴν ψυχὴν διαφυλάττῃ, ἀμάλθακτον, ἀῤῥενωπόν, ἀνολίγωρον τῶν οὐρανίων θεωριῶν, τοῦ φόβου τῶν μελλόντων, τῆς ἐπιθυμίας τῶν ἀποκειμένων ἀγαθῶν, εὖ ἂν ἔχοι· ἄνοιξον αὐτῷ τὰς πύλας τῆς καρδίας, εἴσδεξαι, συνεσθιάθητι, συνοίκησον, συνδείπνησον αὐτῷ, ἵνα σε θρέψῃ μᾶλλον πρὸς μείζονα ἔφεσιν θεοῦ τε καὶ τῶν θείων. εἰ δέ σου τὴν ψυχὴν ταράσσει, ὀχλαγωγεῖ, περιφέρει σου τοὺς ὀφθαλμοὺς πρὸς σάρκα καὶ αἷμα κεχηνότας, πρὸς κοσμικὰς σχέσεις καὶ προσπαθείας, πρὸς τὸ παρὸν ἡδὺ ἐξοιστρῶν καὶ οἷον ἀναπαφλάζων σου τὴν ψυχὴν τῷ ἐμπυρισμῷ τῶν ἡδονῶν, φεῦ στῆθι πόῤῥωθεν, δίωξον τὸν δράκοντα. ἦλθεν, ἵνα ἐν μιᾷ καιροῦ ῥοπῇ καταβάλῃ σου τοὺς πολυετεῖς καμάτους, τὰς ἀθλητικὰς ἐνστάσεις, τὰς ἐν πολλοῖς δάκρυσι καὶ εὐχαῖς καὶ ἀνδραγαθίαις. ἧκει, ἵνα σὲ τὸν στρατιώτην τοῦ Χριστοῦ παρανάλωμα δείξῃ μιᾶς καὶ βραχείας ἡδονῆς· παρεγένετο, ἵνα τὸν ἀριστέα, κεράσας ἓν ψυχρὸν ποτήριον φαρμακοποσίας, ἡδονῆς, θανατώσῃ εἰς αἰῶνα. καὶ ταῦτα οὐχ ὡς ἀπαθὴς γράφω, ἀλλ' ὡς πειραθείς, μᾶλλον δὲ ὡς πολυπαθὴς καὶ ὡς ἐξ ὧν ἀναγινώσκω, συνεπίσταμαι, καὶ ὡς ἐξ ὧν δεδίδαγμαι παρὰ τοῦ πατρός μου καὶ ἀκήκοα παρὰ πολλῶν, κατανοῶ· αὐτοὶ δὲ χάριτι Χριστοῦ παρ' ἑαυτοῖς τὸν ὠφελήμονα λόγον ἐξευρίσκοντες δύνασθε καὶ ἄλλους ὠφελεῖν, πλὴν ὅτι πρὸς τὸ κοινῇ συμφέρον, πρός τε ἐμαυτόν, καὶ αὐτὸς εἴ τι λέγω λέγοιμι καὶ εἴ τι γράφω γράφοιμι· χρείαν γὰρ μᾶλλον ἐγὼ πρὸ ὑμῶν ἔχω νουθεσίας, τέκνα· πνεῖ γὰρ μᾶλλον περισσοτέρως ἐπ' ἐμὲ ὁ Σατανᾶς, εἴπερ ἔργον τοῦ πολεμοῦντος τὸν στρατηγὸν καταβαλεῖν πρῶτον, εἶθ' ὕστερον ἀκάματον αὐτῷ τὸ στρατόπεδον ἐλέσθαι. διὰ τοῦτο. παρακαλῶ, δέεσθε καὶ εὔχεσθε ὑπὲρ τῆς ἐμῆς ταλαιπωρίας, ἵνα σῶόν με ὁ κύριος ταῖς εὐχαῖς τοῦ πατρός μου καὶ ἀνώτερόν με διατηρήσῃ παντὸς πάθους τὸν παντοπαθῆ. περὶ δὲ τῆς ἀσθενείας τῆς ταλαιπώρου σαρκός μου μᾶλλον ὑγιαίνω, οὕπω δὲ λαμβάνω τοιαύτην ῥῶσιν, πρὸς τὸ δύνασθαί με εἰς ὃ ἐπιθυμεῖ ἡ ψυχή μου καὶ χρεωστῶ διαγενέσθαι ἐν μέσῳ ὑμῶν. καὶ τοῦτο λελύπημαι σφόδρα, ἐγκοπὴν ὑμῖν τάχα διδούς· ἀλλ' ὑμεῖς διὰ τὸν κύριον ἀνέχεσθέ μου τῆς ἀσθενείας καὶ συγκροτεῖτέ με τοῖς κατ' ἀρετὴν ὑμῶν αὐχήμασι τὸν ταλαίπωρον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΕ'.

Ὅτι χρὴ ἐνστῆναι ἡμᾶς γενναίως πρὸς τὴν ἄθλησιν τῆς ὑποταγῆς, καὶ περὶ τοῦ προσέχειν ταῖς διδασκαλίαις τῶν θεοφόρων πατέρων καὶ τοῦ μὴ κεχηνέναι πρὸς τὰ μάταια καὶ πρόσκαιρα.

Ἀδελφοί μου καὶ πατέρες, ἀπαιτούμεθα ὑμῖν διδόναι τὸ σιτομέτριον ἑκάστοτε, τό τε πνευματικὸν καὶ σωματικόν. ἀλλ' ἐὰν μὲν τὸ πνευματικὸν μὴ δῶμεν, οὐχ ὁρῶ τινας τάχα δυσχεραίνοντας· ἐὰν δὲ μὴ τὸ σωμα-

1 Σειρὰχ β', 2. 3 ἐπιμένομεν V 4 προκρίνομεν V. 19 *διαφυλάττει* P. 19/20 *ἀμάθαλκτον* P, ἀμαθαλητὸν V. 24 συνεστιάθητι V. 40 *ψυχροῦν* P, ψυχροῦ V.

31 Mai, Novae patrum bibliothecae τ IX, pars II, σ. 203-207. 41 *δυσχαιραίνοντας* P.

ματικόν, καὶ πάνυ, καίπερ οὐ τοσοῦτον τοῦ δευτέρου χρεία, ὅσον τοῦ προτέρου· "δώσω γάρ", φησίν, "αὐτοῖς οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον θεοῦ". χαλεπὸν οὖν ἐστιν ὄντως, ἐὰν μὴ περὶ τοῦ προτέρου τὸν πάντα ἀγῶνα ἔχωμεν. διόπερ καὶ νῦν, παρακαλῶ καὶ ἀντιβολῶ καὶ δέομαι, στῆτε γενναίως πρὸς τὴν ἄθλησιν τῆς ὑποταγῆς ὑμῶν, ὑποφέροντες τὸν καύσωνα τῆς ἡμέρας καὶ τὸν παγετὸν τῆς νυκτός, καὶ νοητῶς καὶ αἰσθητῶς, ἀλλὰ νοητῶς μᾶλλον. πάρεστι τὸ πῦρ τῆς ἐπιθυμίας ὑπὲρ τὴν Χαλδαϊκὴν κάμινον ἀνακαιόμενον παρὰ τοῦ ἀοράτου Ναβουχοδονόσορ. ἐπιτίθενται ἡμῖν τὰ λοιπὰ πάθη, ἄλλο κατ' ἄλλο διαμερίζον καὶ ἕλκον τὴν ἐλεεινὴν ψυχήν, ὁ θυμός, ἡ ὀργή, ἡ μνησικακία, ἡ ὑπερηφανία, ἡ ἀκηδία τε καὶ χαύνωσις, ἡ προσπάθειά τε καὶ φιλαυτία, καὶ τὸ μεῖζον τῶν κακῶν ἡ ἀπιστία. πολλῆς ἡμῖν δεῖ τῆς εὐανδρίας, τῆς μεγαλοψυχίας, πολλῆς τῆς ἀνολιγώρου κραταιότητος καὶ ἰσχύος, τῆς ὑπομονῆς, τῆς μακροθυμίας, νήψεώς τε καὶ γρηγόρσεως, ἵν' ἐντεῦθεν δυνηθῶμεν ἀποκρούσασθαι τοὺς ἐπηρτημένους ἡμῖν πειρασμοὺς καὶ δόλους τοῦ διαβόλου, ἵνα μὴ κάμψωμεν γόνυ τῇ Βάαλ, ἵνα μὴ προσκυνήσωμεν τῇ εἰκόνι τῶν παθῶν, ἵνα μὴ ἀπολέσωμεν ἃ καλῶς ἐκτησάμεθα, ἵνα μὴ καταλύσωμεν ἃ θεοῦ δυνάμει ᾠκοδομήσαμεν. πῶς γὰρ ἂν ἄλλως ἐκφύγωμεν ἐκ τῶν προειρημένων παθῶν, ἀλλ' ἢ ἐκ τοῦ ὁλοκαρδίως πεποιθέναι ἐπὶ κύριον καὶ ἐκ τοῦ ἐπιφέρεσθαι ἡμᾶς τὰ πνευματικὰ ὅπλα, πρὸς καθαίρεσιν τῶν ἐναντίων δυνάμεων; τὰ δὲ πνευματικὰ ὅπλα ἡ προσευχὴ καὶ ἡ ἐλπίς, ἡ ταπεινοφροσύνη καὶ ἡ ὑπακοή, ἡ ἀγάπη καὶ ἡ πίστις, ἡ ἀπροσπάθεια καὶ ἡ παντελὴς μετάθεσις τοῦ νοῦ ἀπὸ τῶν ἐν κόσμῳ, τὸ ἀεὶ μελετᾶν καὶ λαλεῖν περὶ σωτηρίας, τὸ μὴ ἀδιαφορεῖν ὡς ἔτυχεν ἐν ταῖς ὁράσεσιν, ἐν ταῖς ἀκοαῖς, ἐν τοῖς χείλεσιν, ἐν ταῖς χερσίν, ἀλλὰ πάντοθεν κατησφαλίσθαι τῷ θείῳ φόβῳ καὶ τῇ περὶ θεοῦ ἐννοίᾳ καὶ ἀκόρεστον ἔχειν τὴν ἐπιθυμίαν τῶν μελλόντων ἀγαθῶν· εἰ μὴ γὰρ ταῦτα εἶεν, πῶς οὐκ ἀποπεσούμεθα εἰς ὄλεθρον ἁμαρτίας; πῶς οὐκ ἐμπεσούμεθα εἰς χεῖρας τῶν μισούντων ἡμᾶς ἐχθρῶν;

Οὐαί, οὐαὶ πόσα ἐσμὲν ἀκηκοότες, πόσα ἐπᾴδουσιν ἡμῖν αἱ Γραφαί, πόσα διδάσκουσιν ἡμᾶς οἱ θεοφόροι πατέρες, καὶ ὅμως ἐπιλανθανόμεθα, καὶ ὅμως οὐ φροντίζομεν! καὶ οἷον ὡς ἐπὶ σπόρου βαλλομένου τῇ γῇ παρὰ τοῦ γεωργοῦ πρὶν ὑπὸ τοῦ ἀρότρου καταχωσθῇ, οὕτως ἐν ἡμῖν τὸν θεῖον λόγον ἁρπάζει ὡς ἐκ στόματος τὰ πονηρὰ πετεινὰ τοῦ Σατανᾶ, καὶ μένουσι μὲν ἀνενέργητοι οἱ πνευματικοὶ σπορεῖς, μένομεν δὲ ἡμεῖς ἄκαρποι, μὴ φέροντες βλαστὸν τῶν ἀρετῶν. τί γὰρ ἄλλο ἐστὶ κατανοῆσαι καὶ οὐχὶ τοῦτο, ὁπόταν περὶ σωφροσύνης, περὶ ἀνδρείας, περὶ δικαιοσύνης ἤ τινος ἄλλης ἀρετῆς διαλέγονται ἡμῖν οἱ πατέρες καὶ εὐθὺς μετὰ τὴν ἀκρόασιν ὡς οὐδὲ ἀκηκοότες τοῖς ἐναντίοις ὁρώμενοι; διηγοῦνται ἡμῖν περὶ κρίσεως καὶ δακρύων, καὶ ἡμεῖς ἐξιόντες ἀρχόμεθα γελᾶν καὶ ἀνακαγχάζειν· ἐπιστύφουσιν ἡμῶν τὰς ψυχὰς τοῖς τῆς ἁγνείας λόγοις, καὶ εὐθὺς μετὰ τὴν ἀκρόασιν λαγνεύομεν καὶ ὑποβλέπομεν ἀλλήλους πορνικῶς, καὶ λόγους δίδομεν καὶ λαμβάνομεν παῤῥησιαστικούς· ὑποτύπτουσιν ἡμᾶς πρὸς ταπεινοφροσύνην καὶ εὐηκοΐαν, καὶ μετὰ τὴν κατήχησιν ἐξογκούμεθα καὶ ἀγριαινόμεθα καὶ παρακούομεν· περὶ νηστείας, καὶ γαστριμαργοῦμεν· περὶ ἀγρυπνίας, καὶ τῷ ὕπνῳ βαλλόμεθα· περὶ πραΰτητος, καὶ τηνικαῦτα ὀργιζόμεθα· περὶ ἡσυχίας, καὶ παραυτὰ ἀργολογοῦμεν· περὶ εὐτονίας ἔργου, καὶ τηνικαῦτα ἀπεκλυόμεθα, καὶ ἁπλῶς εἰπεῖν κατὰ τὰς ἁμαρτίας μου τὴν ἐναντίαν ὁδὸν τῆς ἀναγγελλομένης ἡμῖν τρεπόμεθα. οὐ λέγω περὶ τῶν νεοταγῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν δοκούντων εἶναί τι

2/5 πρβλ. Ἀμὼς η', 11. 14 *ναβουχοδονόσωρ* P. 21 εὐανδρείας V. 28 *ἀπωλέσωμεν* P. 34 *ὑμᾶς* P.

1 *κατησφαλεῖσθαι* P. 12 ἐν τῇ γῇ V. 13/14 *καταχωσθεῖ* P. 19 κατανοεῖν V. 29 *πορνηκῶς* P. 30/31 ὑποτυποῦσιν ἡμῖν V. 36 *ὀργηζόμεθα* P.

καὶ εἰς προστασίαν κεκλημένων, ἀλλὰ μὴν καὶ εἰς ἱερουργίαν τεταγμένων. φεῦ, ἀβάλε τῆς ἀπάτης, τί πανθάνομεν ὑπὸ τοῦ ἀπαταιῶνος Σατανᾶ! ἵνα τί τὸ πρόσωπον ἡμῶν ἀποστρέφομεν ἀπὸ θεοῦ ζῶντος, ἀπὸ τοῦ ὡραίου κάλλους ἐκείνου καὶ ἀμηχάνου, κεχηνότες εἰς τὰ μάταια καὶ πρόσυλα καὶ ἀπολλύμενα; ἵνα τί φιλοῦμεν καὶ ἀσπαζόμεθα τὰ πικρὰ καὶ πρόσκαιρα, ἐῶντες τὰ γλυκερὰ καὶ ἀθάνατα; ἀλλ' ὅτι οὐκ ἔστιν ἡμῖν κεκαθαρμένον τὸ ὄμμα καὶ ἡ ἀκοὴ τῆς ψυχῆς, διὰ τοῦτο ἀμβλυωποῦμεν καὶ ἀποπίπτομεν τῆς μεταλήψεως τῶν ἀγαθῶν.

Δεῦτε οὖν, τέκνα καὶ ἀδελφοί, πάλιν ἐναρξώμεθα οἱ ἤδη ἐπωκλακότες, πάλιν ἀναβιώσωμεν οἱ ἤδη ἀπονεκρωθέντες, πάλιν ἀνανήψωμεν οἱ ἤδη ἀπονυστάξαντες. ἓν ἐστιν ἡμῖν μόνον, τὸ θελῆσαι, καὶ τὸ πᾶν εἴργασται· ἐν αὐτῇ γὰρ ταύτῃ τῇ ἡμέρᾳ εὐπροθετοῦντες φθάζομεν εἰς μέτρα σωτηρίας· οὐ γὰρ ἐσμὲν συνδεδεμένοι τοῖς βιωτικοῖς πράγμασιν, ἵνα δύσληπτον ἔχωμεν τὴν πρὸς τὸ καλὸν ἐνέργειαν. ἀλλ' εὔκολον ἡμῖν τὸ δράξασθαι τῆς σωτηρίας κατὰ πᾶσαν ἡμέραν, εἴπερ βουλόμεθα, τῷ ἔωθεν εὐθὺς ψάλλειν τὸ Δαυϊτικὸν ἐκεῖνο συνετῶς· "τὸ πρωΐ εἰσάκουσον τῆς φωνῆς μου· τὸ πρωΐ παραστήσομαί σοι καὶ ἐπόψει με". καὶ τῇ τρίτῃ ὥρᾳ· "τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ". καὶ τῇ ἕκτῃ· "ῥῦσαί με ἀπὸ συμπτώματος μεσημβρινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας". καὶ τῇ ἐννάτῃ· "κλῖνον, κύριε, κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου". καὶ τῇ ἑσπέρᾳ· "εὐλόγει ἡ ψυχή μου τὸν κύριον", καὶ ὅσα προηγούμενα καὶ ἑπόμενα. ἐὰν γὰρ οὕτω καθ' ἑκάστην ἡμέραν ποιῶμεν, καὶ ἀλλήλους ὑψοῦμεν καὶ φωτίζομεν δι' ἀγαθῶν τρόπων καὶ λόγων, ἀλλὰ μὴ καταβιβάζωμεν καὶ σκοτίζωμεν διὰ ἀδιαφορίας καὶ λογολεσχίας. οὕτως δυνάμεθα σῴζεσθαι, δυνάμεθα καλῶς διανύειν τὸ μέτρον τῆς ἡμέρας, δυνάμεθα τὰ ὠφλημένα ἡμῖν ἀπὸ πρωΐ ἕως ἑσπέρας. πάντως γὰρ οὐκ ἔστι μὴ παρεκτραπῆναι καὶ τὸν λίαν νήφοντα ἢ εἰς λόγον προπετῆ, ἢ εἰς ἐπιθυμίαν πονηράν, ἢ εἰς ἄλλο τι πάθος, δι' ἱκεσίας πρὸς θεὸν εὐκατανύκτου συγχωρηθῆναι, καὶ ὥσπερ ἡμέραν ἐξ ἡμέρας διαβαίνοντες βαδιοῦμεν τὴν ὁδὸν τοῦ θεοῦ, ἀπεκδεχόμενοι τὸν καιρὸν τῆς ἀναλύσεως, ἐν ᾧ οἱ στέφανοι καὶ ἡ χαρὰ καὶ ἡ ἀνταπόδοσις τῶν οὕτως ἀγωνιζομένων καὶ ἐκβιαζομένων ἑαυτοὺς διὰ κύριον.

Προσέχετε λοιπὸν τῷ κόπῳ ὑμῶν, τοῖς ἀγῶσι, τοῖς θελήμασι, τὸ ῥᾴθυμον ἀποδιώκοντες, τὸ πρόθυμον ἀντιλαμβανόμενοι, πιστεύοντες ὅτι δυνατόν ἐστι παντὶ τῷ θέλοντι εὖ βιοῦν ἐπανάγεσθαι εἰς τελειότητα καὶ κατορθοῦν τὰς ἀρετάς· εἰ γὰρ ὁ θεὸς ἡμῶν φῶς καὶ ζωὴ καὶ ἀλήθεια, πῶς οὐχὶ τὸ πρὸς αὐτὸν νεύειν ἐπιθυμητόν ἐστι καὶ εὐάνυστον; καὶ εἰ ὁ Σατανᾶς, ὅπερ ἐστὶν ἀληθὲς σκότος καὶ ψεῦδος καὶ χρημνὸς καὶ ἀπώλεια, πῶς οὐχὶ ἡ πρὸς αὐτὸν νεῦσις θάνατος καὶ μάχαιρα καὶ σκότος καὶ ἀπώλεια; διὸ τῆς ζωῆς ἡμῖν καὶ τοῦ θανάτου προκειμένων ἐλώμεθα τὴν ζωήν, ἐλώμεθα τὸ φῶς, ἐλώμεθα τὴν ἀθανασίαν, φύγωμεν τὸ σκότος καὶ τὸν ζόφον καὶ τὴν ἀπώλειαν, ἵνα ἀξιωθῶμεν βασιλείας οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙϚ'.

Ὅτι οὐ χρὴ ἀμελῶς διακεῖσθαι ἡμᾶς μετὰ τὴν παρέλευσιν τῆς ἁγίας Τεσσαρακοστῆς, ὡς ἂν μὴ ἀπολέσωμεν τὰς προδιηνυσμένας ἡμῖν ἀρετάς· καὶ περὶ τῆς ἑορτῆς τῶν Βαΐων καὶ τοῦ πάθους τοῦ σωτῆρος.

Ἀδελφοί μου καὶ πατέρες, οἱ ἐν σταδίῳ τρέχοντες, ἐπειδὴ πρὸς τέρψιν ἀνθρωπίνην τοὺς ἀγῶνας καταβάλλονται, φθαρτοῖς στε-

---

12 *ἀμβλυοποῦμεν* P. 20 φθάνομεν V. 25 *τὸ* P. 26/28 Ψαλμ. ε', 4. 29/30 Ψαλμ. ν', 13. 30/32 Ψαλμ. ρ', 5, 6. 32 *πετωμένου* P. 33 Ψαλμ. πε', 1. 34 Ψαλμ. ρβ', 1. 37 ὑψῶμεν V || φωτίζωμεν PV. 40 *λογολεσχείας* P.

1 *ὀφλημένα* P. 10 *ἀνταπόδωσις* P. 11 *ἐκβιαζομένους* P. 17 εὐβιοῦν V. 29 ἀξιώμεθα V. 32 Mai, Novae patrum biblioth. t. IX, pars II, σ. 21-24. 38/39 τοῖς ἐν σταδίῳ τρεχουσιν V. 40 φθαρτοὶ στέφανοι V.

φάνοις περιπλέκονται, κατὰ τὸν ἀπόστολον, ὑμῖν δὲ τοῖς τὸ πνευματικὸν στάδιον διαδραμοῦσι τῆς ἁγίας Τεσσαρακοστῆς, οἷς ὁ ἀγωνοθέτης ἄφθαρτος καὶ τὸ θέατρον ἀγγελικόν, ἀμαράντινοι δηλονότι οἱ τῆς δόξης στέφανοι. οἷοι δὲ καὶ οἱ ἀγῶνες ὑμῶν; νενηστεύκατε εὐτόνως, ἠγρυπνήκατε δεόντως, μεμελετήκατε νηφαλέως, εἰργάσασθε ἀνολιγώρως, τετηρήκατε τὸν νοῦν ἐν ἁγνότητι, τὴν γλῶσσαν ἀπὸ καταλαλιᾶς, τὰ χείλη ἀπὸ ἀργολογίας, πάντα ὑμῶν τὰ μέλη ἀπὸ πάσης ἁμαρτίας ὅπλα δικαιοσύνης παραστήσαντες, ὄργανα εὐαρμοστίας τῆς ἐνθέου διαβιώσεως. οὕτω καλῶς καὶ εὐαποδέκτως διηνύσατε τὸν δρόμον ὑμῶν, ὡς οὐδέποτε δοκῶ πρότερον. ἀλλὰ πόθεν; ἐκ τῆς καλλίστης ὑμῶν προσευχῆς, προσθήσω δὲ καὶ εὐχῆς τοῦ κοινοῦ πατρὸς ἡμῶν, μᾶλλον δὲ ἐκ τῆς τοῦ θεοῦ ἀγαθότητος, ἐξ ἧς "πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον", ὡς γέγραπται. ἐν τούτοις κἀμὲ εὐφράνατε τὸν ταπεινὸν πατέρα ὑμῶν, μᾶλλον δὲ ἐλάχιστον ἀδελφόν· ἐδεξιώσασθε μάλα πλουσίως, ἀνεπαύσατε τῷ πνεύματι. τί γάρ ἐστι θυμηδέστερον πατρί, ἢ τοὺς ἑαυτοῦ παῖδας ὁρᾶν δι' ἀρετῆς αὐξουμένους καὶ ἐν τῇ νοητῇ ἡλικίᾳ προκόπτοντας; ἀπέχω ὑμῶν τὰς χάριτας, ἀπέλαβον ὑμῶν τὰς εὐεργεσίας, ἀπωνάμην ὑμῶν τὰ ἀνδραγαθήματα, εἶδον ὑμᾶς ἀταράχως διελθόντας τὰς σεπτὰς ἡμέρας καὶ ἠγαλλίασε τὸ πνεῦμά μου· ἑώρακα ὑμῶν εὐκατάνυκτα καὶ ἱλαρὰ τὰ πρόσωπα, καὶ ἠσθόμην ὑμῶν τὴν κατὰ ψυχὴν λαμπρότητα ὑπὲρ χρυσίον, ὑπὲρ λίθους τιμίους, ὑπὲρ πᾶν ἄλλο τι τῶν κατὰ κόσμον ἐνδόξων καὶ πολυτελῶν. καὶ εἰ καὶ πτωχεύω τῷ πνεύματι, ἀλλ' ἄρτι πεπλούτηκα, καὶ οὐχ ὁ πατὴρ τοῖς τέκνοις, ἀλλὰ τὰ τέκνα τῷ πατρὶ ἀντεστραμμένως τεθησαυρίκατε. εἴη δὲ ὑμῶν ὁ πλοῦτος πεφυλαγμένος καὶ ἀνεπιβούλευτος πρὸς τὸ ἐξῆς. φανείη ὑμῶν τὰ ταμεῖα τῶν ἀγαθῶν ἀνεπιχείρητα καὶ ἀκλοπώτατα· χαρισθείη ὑμῖν χάρις ἐπὶ χάριτι, πλοῦτος ἐπὶ πλούτῳ μέχρι τέλους ζωῆς ὑμῶν. ἔσται δὲ τοῦτο πῶς; ἀλλ' ἢ ἐκ τοῦ μὴ ἀμεριμνῆσαι καὶ ἀναπεσεῖν κατὰ τὸν ἑξῆς χρόνον, καὶ μάλιστα ἡνίκα ἐπεισίῃ τὸ ἅγιον Πάσχα, τοῦ καιροῦ ἐπιφέροντος ὑποστολὴν τῆς ψαλμῳδίας, τῶν ὡρῶν, τῶν γονυκλιτικῶν προσευχῶν, τῶν τόνων τῶν νυκτερινῶν ἀγρυπνιῶν, προσθήκην ἐν τοῖς βρώμασι φημὶ οἴνου, ἐλαίου, ὄψου καὶ τῶν κατ' ἄνεσιν ἄλλων τρόπων, ὕπνου μεσημβρινοῦ, διφαγίας, προόδου τε καὶ εἴ τινος τῶν συμβαινόντων· ὡς, ἐὰν μὴ εἴη νήφων ὁ νοῦς καὶ πάντα αὐτάρκως καὶ κατὰ τάξιν ποιούμενος, κινδυνεύσειεν ἂν ἀπολέσαι ἃ καλῶς ἐκτήσατο, καὶ ἐκ πλουσίου ἀθρόον φανεῖται πένης καὶ ἐξ ὕψους δόξης κατενεχθήσεται εἰς ἀτιμίας πτῶμα.

Διό, παρακαλῶ καὶ δέομαι, ἀσφαλῶς ἔχετε πάντοτε, μέχρις ἂν φύγοιμεν ἐκ τῶν ἐνθένδε πρὸς τὰ ἐκεῖ ἀσφαλῆ καὶ ἄσυλα μεθιστάμενοι. τί δὲ αἱ μακάριαι αὗται ἡμέραι, ἐν αἷς ὁ κύριος καὶ θεὸς ἡμῶν ἦκει τὸν Λάζαρον ἀναστῆσαι ἐκ νεκρῶν τετραήμερον; εἴ τις οὖν ὑμῶν ἔχει νοῦν νενεκρωμένον καὶ οἷον δεδεμένον τοῖς πάθεσιν, αἰτησάτω, κλαυσάτω, ὡς αἱ περὶ Μάρθαν, καὶ ἀκούσειε "Λάζαρε δεῦρο ἔξω", ἐξ ἐμπαθείας εἰς ἀπάθειαν. τί γὰρ τὸ ἀντιστατοῦν τῷ λόγῳ καὶ οὐκ εἶκον τῇ θείᾳ φωνῇ, μόνον εἰ θερμῶς αἰτοίμεθα καὶ προσκείμεθα; καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ νῦν θεὸς πάρεστι. καὶ καθὼς φησιν "ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι", φίλον αὐτῷ πολλοὺς Λαζάρους νόας καθ' ἑκάστην ἐγείρειν τε καὶ ζωοποιεῖν. τί δὲ ἡ τῶν Βαΐων ὑπαντὴ καὶ προπομπὴ τοῦ βασιλέως τῶν ἁπάντων; ἀλλ' ἐκεῖ μὲν ἐν Ἱερουσαλὴμ εἰσεληλυθότος ἐσείσθη τὰ Ἱεροσόλυμα βοῶντα καὶ λέγοντα "ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου". μέγα γὰρ ἦν τὸ κατὰ τὸν Λάζαρον θεωρούμενον καὶ ἡ

1 Κορινθ. 1, ϑ' 25. 8/9 *ἀνοληγόρως* P. 9 *ἀγνώτητι* P. 12 ὅπλα δικαιοσύνης] Ῥωμ. ς', 13. 19/20 Ἰακ. α', 17. 26 αὐξομένους V. 41 *φανεῖ* P.

2 *ἔστω* P. 6 *ἐπιφέροντες* P. 7 γονυκλισιῶν V, *γονυκλητικῶν* P. 14 *ἀπωλέσαι* P. 15 *ἀθρῶον* P. 23 *ἀναστῆναι* P. 27 Ἰωάνν. ια', 43 || *δεῦρω* P. 28 τὸ] *τῶ* P. 32/33 Ἰωάνν. ε', 17. 35 *ὑπαπαντὴ* P. 39/40 Ματθ. κα', 9, 10.

προφητεία πέρας ἐλάμβανεν. ἐνταῦθα δὲ ἡ πρὸς τὴν πόλιν τῆς ψυχῆς ἡμῶν εἴσοδος αὐτῷ εἰ γένοιτο, σεισθήσεται πᾶσα δαιμονικὴ ἐπήρεια, ἀλαλαζούσης τῆς καρδίας ἡμῶν εὐχαριστήρια καὶ ὑμνητήρια. οὕτω μεθαρμόζειν δεῖ τὰ πράγματα καὶ ἐνεργούσας ἀεὶ δεικνύειν ἐν ἑαυτῷ κατὰ τὰς ἐπιστασίας τῶν δεσποτικῶν ἑορτῶν τὰς τοῦ δεσπότου θείας ἐπελεύσεις τε καὶ θεοσημείας. πρόσεισι μετὰ τούτων εἰς ἐπιβουλὰς ὁ ἀνεπιβούλευτος τῷ κράτει τῆς θεότητος· συνεδριάζει κατ' αὐτοῦ τὸ τῶν Ἰουδαίων βουλευτήριον. φύγοιμεν τῶν τοιούτων συνεδρίων καὶ τὸ λαλεῖν κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. ἐνίσχεται ὁ δόλιος μαθητὴς εἰς τὸ τῆς προδοσίας ὁλετήριον, ἐκπορευόμενος καὶ εἰσπορευόμενος δολερῶς καὶ λαλῶν ἐπὶ τὸ αὐτὸ καὶ τὴν πρᾶσιν τοῦ διδασκάλου συμφωνούμενος. τίς οὖν μὴ θρηνήσῃ καὶ στενάξῃ μετ' ἐκεῖνον καὶ τοὺς κατ' ἐκεῖνον πορευομένους, τοὺς τοῖς διδασκάλοις ἐφισταμένους καὶ τὰ ὅμοια τυχὸν ἔκτοπα συνεισπράττοντας; μὴ ἡμῖν, κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ μετὰ τῶν λοιπῶν ἀποστολων καὶ πιστῶν μαθητῶν Χριστῷ συνεῖναί τε καὶ συναυλίζεσθαι, καὶ ἀγωνιῶσι μὲν κατὰ τὰς ἐπιφορὰς τῶν πειρασμῶν καὶ περιστάσεων συναγωνιᾶν, οὐ μὴν ἐξαρνεῖσθαι, ἀλλὰ καὶ μέχρι θανάτου κατατολμᾶν ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας, ὡς ἔδειξαν μετὰ ταῦτα οἱ ἀπόστολοι. ὁ δὲ Χριστός μου καὶ προδίδοται καὶ κριτηρίῳ παρίσταται, ῥαπίζεταί τε καὶ μαστίζεται ὑπὸ χειρῶν ὧν ἔπλασεν, χλευάζεταί τε καὶ μυκτηρίζεται καὶ τέλος ἐπὶ σταυροῦ ἀνίησι, καθηλοῦται τὰς χεῖρας καὶ τοὺς πόδας καὶ λογχεύεται, ὄξος καὶ χολὴν ποτίζεται καὶ πάντα ὑπομένει.

Τίς οὐκ αἰνεῖ τὸν φιλάνθρωπον; τίς οὐχ ὑμνεῖ τὸν οἰκτίρμονα, ὅτι δι' ἡμᾶς τοιαῦτα τετέλεκεν; ὁ ἀπαθὴς ἔπαθεν, ὁ ἀθάνατος ἐσταυροῦτο, ὁ ζωοπλάστης ἐνεκροῦτο, ὁ ἀπρόσιτος τῇ δόξῃ τῆς θεότητος ἠδόξει, κατὰ τὸν προφήτην Ἡσαΐαν· τὸ εἶδος γὰρ αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ. αὐτὸς δὲ ὑπὲρ ἡμῶν ἐτραυματίσθη διὰ τὰς ἀνομίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν. ἆρά γε, εἰ καὶ λιθίνη ψυχὴ εἴη, οὐ δυσωπηθείη ταῦτα ἐννοοῦσα καὶ ὁρῶσα ἐν τῷ δεσπότῃ; ὁμοιοπαθήσωμεν αὐτῷ τοίνυν καὶ ἡμεῖς, φίλοι καὶ ἀδελφοί, παρακαλῶ, καὶ ἀγαπήσωμεν ὑβρίζεσθαι, ἐρεσχελεῖσθαι, ὀνειδίζεσθαι, τυχὸν δὲ καὶ ῥαπίζεσθαι καὶ ἐμπτύεσθαι, εἰ δέοι ἡμῖν καὶ σταυροῦσθαι καὶ ἀποθνήσκειν διὰ τῆς τῶν παθῶν νεκρώσεως, ἢ καὶ καιροῦ μαρτυρίου ἐπιστάντος, ἵνα ὡς συσταυρούμενοι καὶ συνδοξασθησώμεθα, ὡς συνθαπτόμενοι καὶ συναναστησώμεθα, ὡς συμπάσχοντες καὶ συμβασιλεύσωμεν, ὅτι αὐτός ἐστιν ὁ βασιλεὺς τῶν ἁπάντων. ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν

ΚΑΤΗΧΗΣΙΣ ΡΙΖ'.

Περὶ τοῦ ἐγρηγόρως ποιμαίνειν τὸν καθηγούμενον τὰ λογικὰ πρόβατα, ὡς ἂν διὰ τῆς διδασκαλίας τῶν θεοπνεύστων Γραφῶν διαφύγοιε τὰς ψυχολέθρους ἐπιβουλὰς τοῦ ὄφεως, καὶ ἐκκοπῆς τῶν οἰκείων θελημάτων.

Ἀδελφοὶ καὶ πατέρες, ἔργον ποιμαντικῆς τί ἄλλο, ἢ τὸ ἐπιμελῶς τὸν ποιμένα ἐφίστασθαι τῷ ποιμνίῳ, νήφειν τε καὶ γρηγορεῖν, ὧδε κἀκεῖσε τὸ ὄμμα περιαθροῦντα, μή τι τῶν προβάτων ἀποπλανοῖτο ἢ ἐναπομένοιεν ἠσθενηκὸς τυχὸν ἢ φιλονομῶν, ὥσπερ εἴωθε συμβαίνειν, πρὸς τούτοις ἐξαίρετον τὸ προσλαλεῖν τῇ ποίμνῃ καὶ νόμιον αὐτῇ ἐμπνέειν μέλος; ἐπὰν γὰρ φωνὴ ποιμένος ἀρθῇ ἐκ τοῦ ποιμνίου, εὐθὺς ἡ τῶν θηρίων ἔφοδος, ὁ σκορπισμὸς τῶν θρεμμάτων, ἡ τῶν ἄλλως ἐπιβουλεύειν εἰωθότων ἐπήρεια. εἰ τοίνυν ἐπὶ τῶν ἀλόγων θρεμμάτων τοιοῦτον τὸ ἀγώνισμα τῆς ἐπιστασίας

---

9 *Θεοσιμίας* P. 19 *οὐ θρηνήσει* P || στενάξει V. 35 ἄνεισι V. 43 Ἡσαΐου νβ', 14.

3 *ἐλογησάμεθα* P. 23 κῶδ. *ποιμένειν*. 5 κῶδ. *νόμειον*.

(καὶ τὰ πλείω παρῆκεν ὁ λόγος, διὰ τὸ συντομεύειν), τί δ' ἂν εἴποιμεν ἡμεῖς οἱ ταπεινοί, οἱ ἐν τάξει ποιμένος τεθέντες ἐφ' ὑμῖν τοῖς τοῦ κυρίου προβάτοις, ὑπὲρ ὧν αὐτὸς ὁ ἀληθινὸς θεὸς καὶ ἀρχιποιμὴν ἡμῶν τὸ αἷμα ἐξέχεεν, ὡς καὶ ἐν τοῖς εὐαγγελίοις φάσκει; "ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων". πόσης οὐκ ἂν ἦμεν ὑπεύθυνοι ἀγρυπνίας καὶ ἐπιμελείας, φροντίδος καὶ περιμεριμνήσεως, προσφωνήσεως ἐπιμελεστάτης καὶ ταύτης ἀκαταλήκτου; διὰ τοῦτο καὶ νῦν κατὰ τὸ ἀναγκαῖον ἐπιφωνοῦμεν ὑμῖν, προσφθεγγόμεθα, ἀντὶ σύριγγός τινος τοὺς θεοπνεύστους λόγους προβαλλόμενοι ὑμῖν. "σχολάσατε" φησί "καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός". σχολῆς τοιγαροῦν χρεία, ἀδελφοί μου, ἐπιθυμίας ἀκορέστου, νήψεως ἀνολιγώρου, ὑπομονῆς κραταιοτάτης, ἀνταναστάσεως πρὸς τοὺς πολεμίους ἐχθρούς, ἀνταγωνιστοῦ ἐκ τῆς τῶν προκοπτόντων συναμιλλήσεως· ἐγγύθεν γὰρ οἱ νοητοὶ θῆρες, οἱ ἁρπάκται τῶν ψυχῶν δαίμονες, ἐξ ὧν τὰ δείγματα τῆς ἁμαρτίας, τὰ ῥήγματα τῆς ἀνομίας, τὰ ὀλοθρεύματα τῆς ἀσωτείας. μή τίς που ἐναπομένοιεν ἰδιογνωμῶν κατὰ ψυχήν, μὴ δ' αὖ ἀσθενήσειεν ὀλιγωρικῶς τοὺς ἀγῶνας παρακαλῶ (οἰκειογνῶμον γὰρ τὸ ἀσθενεῖν ἐνταῦθα), μηδὲ περιπλανοῖτο ταῖς ἰδιοβουλίαις, ὧδέ τε κἀκεῖσε ὑποκλεπτόμενος ὑπὸ τῆς φιληδονίας καὶ ἀπολλύμενος ὑπὸ τῆς φιλαυτίας, ἀλλ' εἰκέτω καὶ ἐμμενέτω πάσαις ταῖς ἐντολαῖς τοῦ κυρίου· φησὶ γὰρ αὐτός· "τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς τῆς ἐμῆς ἀκούει, ἀλλοτρίῳ δὲ οὐκ ἀκολουθεῖ, ὅτι οὐκ οἴδασι τὴν φωνὴν τῶν ἀλλοτρίων". εἶθε γένοιτο ἡμῖν ἀξίους τῆς τοιαύτης προσφωνήσεως γεγενῆσθαι καὶ ἐν προβάτοις Χριστοῦ ὑποτελεῖν· οὗ γὰρ ὁ Χριστός, ἐκεῖ ὁ ἀντάρτης διάβολος χώραν οὐκ ἔχει· οὗ ἡ φωνὴ τῶν προβάτων αὐτοῦ ἐνιζάνει, ἐκεῖ ὁ συρισμὸς τοῦ ὄφεως ἀποδιδράσκει. ἕως δ' ἂν διέσῳζε τὰ τῆς ψυχῆς ἀκροατήρια ὁ προπάτωρ ἡμῶν Ἀδὰμ σῶα, τῶν θείων φωνῶν εἰσακούων, ἔνδον ηὐλίζετο τοῦ Παραδείσου, ἀπέλαυε θεωριῶν ὑψηλῶν, τροφῶν ἀθανάτων· ἐπὰν εἰσεδέξατο τὰ τοῦ ὄφεως ψιθυρίσματα, ἀπεγεύσατο τοῦ ξύλου τῆς ἁμαρτίας, ἤσθετο τὴν αἰσχύνην τῆς γυμνότητος, ὑπεκρύβη ἀπὸ θεοῦ ἐρωτώμενος "ποῦ ἦς"; "τῆς φωνῆς σου" φησίν "ἀκήκοα καὶ ἐκρύβην, ὅτι γυμνός εἰμι". "καὶ τίς ὁ ἐντήξας σοι τὸν φόβον, ὦ Ἀδάμ, ὁ ὑποδείξας σοι τὴν γυμνότητα"; ἀλλ' ἡ δολερὰ ἐπακρόασις καὶ ἡ τῆς ἐντολῆς τοῦ θεοῦ ἀπόπτωσις· εἶθ' οὕτως ἐξόριστος τοῦ ἁγίου χωρίου ἐκείνου γίνεται καὶ τὸν διὰ φθορᾶς ἐπώδυνον τοῦ βίου τρόπον ἀνατλᾶν κατακρίνεται.

Πόῤῥω λοιπὸν ὦμεν, ὦ ἀδελφοί, τῆς συμβουλῆς τοῦ ὄφεως· μὴ προσεισδεχώμεθα τὰς ἐπιβουλὰς τῶν παθῶν ὑπὸ τῆς ἐκείνου κακουργίας ἐξαρτυομένας. γευστήρια διάφορα ὁ μυσαρὸς ἐργάτης τῆς ἀνομίας κατασκευάζων ἥκει, καθώς τις τῶν ἁγίων τεθέατο, ἐνὶ ἑκάστῳ πρὸς ὃ ἐπιῤῥεπῶς ἐπαισθάνεται ἔχειν ἡμᾶς εἰς πάθος ἐπιδιδούς. δίδωσιν οὖν τῷ μὲν τὸ τῆς πορνείας γευστήριον, καὶ τοῦτο οὐχ ἕν, ἀλλὰ καὶ πολυειδὲς καὶ πολύμορφον (εἰς γὰρ διάφορα σώματα διαφόρως εὑρίσκεται τοὺς ἐθέλοντας ἐπηρεάζειν)· τῷ δὲ τοῦ φθόνου ταῖς παρευδοκιμήσεσι τῶν ἀδελφῶν πλήττεσθαι καὶ ἀμύσσεσθαι κατὰ τὸν Κάϊν, τῷ δὲ τῆς λαιμαργίας ἀκορέστῳ ἐπιθυμίᾳ τῶν βρωμάτων ἐνίσχεσθαι κατὰ τὸν Ἡσαῦ, ὃς ἀντὶ μιᾶς βρώσεως ἀπέδοτο τὰ πρωτοτόκια· τῷ δὲ τῆς ἰδιογνωμοσύνης, σχεῖν τι λαθραίως καὶ ἀποθησαυρίσαι, κατὰ τὸν φιλάργυρον Γιεζῆ, τὸν ἀντὶ εὐλογίας λέπραν ἐκ τοῦ προφήτου Ἐλισσαίου κληρονομήσαντα· τῷ δὲ τῆς κατὰ τοῦ οἰκείου διδασκάλου φατρίας καὶ συσκηνίας, ὡς τὸν προδότην Ἰούδαν τὸν πεπρακότα τὸν κύριον τῆς δόξης ἐν ὀλίγοις λήμμασιν, καὶ ἁπλῶς τῷ μὲν τοῦτο, τῷ δὲ ἐκεῖνο (ποικίλος γάρ ἐστι καὶ πολύτροπος)· καταλαλιᾶς τῆς πρὸς τὸν πλησίον ἐνίησι

7/8 Ἰωάνν. ι', 11. 15/16 Ψαλμ. με', 11. 18 κῶδ. νίψεως ἀνολιγόρου. 24 κῶδ. ἀσωτίας. 33/35 Ἰωάν. ι', 5, 27. 34 κῶδ ἀκολουθῆ. 37 κῶδ γεγενεῖσθαι.

3 κῶδ. ἀπέλαβε. 7/11 πρβλ. Γεν. γ', 9 κέ. 9 κῶδ. ἐντίξας. 14 κῶδ. διαφθορὰς ἐπόδυνον. 17 κῶδ. προσεισδεχόμεθα. 28 κῶδ. παρευδοκημήσεσι. 32 κῶδ. ἀπέδοτω.

φάρμακα τῇ ψυχῇ· μίσους, ἀπεχθείας ἀποτοξεύει βέλη, κενοδοξίας καὶ ὑπερηφανίας ἀποσφενδονᾷ λίθους. σκεπτέον τοίνυν καὶ προσεκτέον, ἀδελφοί μου· πῶς δὲ ἄλλως ἢ ἐκ τοῦ περιβεβλῆσθαι ἡμᾶς τὸν θυρεὸν τῆς πίστεως, τὴν τῆς ταπεινοφροσύνης ἀσπίδα, τὴν τῆς ὑπακοῆς περικεφαλαίαν, τῶν λοιπῶν ἄλλων ἀρετῶν τὴν παντευχίαν; εἴκωμεν καὶ πειθώμεθα. γνωρίζων ἕκαστος τὸν οἰκεῖον βαθμόν, τὰ κατὰ τὸν βαθμὸν πραττέτω ἐν καθαρᾷ συνειδήσει. φιλῶμεν ἀλλήλους εἰς ψυχήν, ἀλλὰ μὴ εἰς σῶμα· ἐπὰν γὰρ τὸ πρῶτον ἐστίν, ἰσότης τῆς ἀγάπης ἐν ἅπασιν, ἐκ γὰρ τοῦ δευτέρου ὁ ἔν τινι πλεονασμός. κάτω βάλλωμεν τοὺς ὀφθαλμούς, ἄνω αἴρωμεν τὸν νοῦν, μὴ λιχνιζόμενοι ταῖς ἐμπαθέσι διαβλέψεσι· μήτε ἀφῶμεν τὴν διάνοιαν στρέφεσθαι εἰς Αἴγυπτον καὶ ἐμμακελλεύειν ἐκεῖσε ἐκ τῶν ποτὲ τεθεωρημένων καὶ πεπραγμένων. παλαιοὶ ζωγράφοι καὶ καινοὶ ἐν ἡμῖν, καὶ οἱ μὲν ὑπὸ τῶν πρώτων, οἱ δὲ ὑπὸ τῶν δευτέρων ἁλισκόμεθα. καλὴ ἡ ἀνάγνωσις καὶ ἡ φιλομάθεια τῶν πνευματικῶν πάντων, ἀλλ' ἐὰν ἐν νενεκρωμένῳ θελήματι γίγνοιτο, κατὰ μόνην τὴν τοῦ ὁδηγοῦντος βούλησιν· ὁ γὰρ ἐν ἑαυτῷ νεκρὸς ἐν τῷ καθηγοῦντι ζῶν ἐστι, καὶ ὁ πρὸς ἑαυτὸν ἀκίνητος ταῖς ὁρμαῖς πυρὸς σφοδρότερος ἐν τῇ τοῦ διδασκάλου ἐπιθυμίᾳ κεῖται, ζῶν καὶ οὐ ζῶν ἐστιν, σπεύδων καὶ οὐ σπεύδων, φιλομαθῶν καὶ οὐ φιλομαθῶν, τὸ μὲν διὰ τὸ τοῦ καθηγουμένου θέλημα, τὸ δὲ διὰ τὸ ἀπόπεμπτον τῆς ἰδιογνωμοσύνης. ἐὰν οὕτω, καλὴ ἡ ἀνάληψις τῶν μαθημάτων καὶ συμφερόντως· εἰ δὲ μὴ οὕτως, τὸ ἀγροικίζειν προτιμητέον καὶ ἀμαθαίνειν, ἵν' ἐντεῦθεν κατὰ προκοπὴν βαδιοῦμεν εἰς τὸ ζητούμενον. τίς οὐκ ἐπιθυμεῖ πατὴρ τὸν ἑαυτοῦ υἱὸν εἶναι τῶν βελτίστων καὶ ἀξιαγάστων; τοσοῦτον δὲ ὁ πνευματικὸς πρὸς τὸν σωματικόν, ὅσον τὸ διάφορον ψυχῆς πρὸς σάρκα. ἐρῶμεν καὶ φιλοῦμεν πλήρεις ὑμᾶς εἶναι παντὸς ἀγαθοῦ, ἀπό τε γνώσεως, ἀπὸ συνέσεως, ἀπὸ εἰδήσεως, καὶ τοσοῦτον ὅσον, ὡς δοκῶ, οὐδὲ αὐτοὶ ἑαυτούς. καὶ τοῦτο οἶδεν ὁ τῶν ἀφανῶν γνώστης, εἴδοιε δ' ἂν καὶ ὁ κοινὸς πατὴρ ἡμῶν· οὐδὲν γὰρ αὐτῷ ἀπόῤῥητον τῶν ἐν ἐμοὶ βουλευμάτων, προσθήσω καὶ ἁμαρτημάτων. τίς ἂν ἔδωκέ μοι ἰσχὺν ἕνα ἕκαστον ὑμῶν σοφίσαι καὶ ἀπαρτίσαι σκεῦος ἐκλογῆς εὔχρηστον τῷ δεσπότῃ διὰ βίου τε καὶ θείας γνώσεως καὶ πράξεως; ἀλλ' ἐπεὶ ταλαίπωρός εἰμι καὶ ῥυπαρός, ἀσθενοῦσαν ἔχω τὴν φύσιν· πλὴν διάφορα τὰ παρὰ Χριστοῦ χαρίσματα, καὶ ᾧ μὲν δίδοται λόγος σοφίας, ἄλλῳ δὲ γνώσεως, ἑτέρῳ δὲ χάρισμα διακονίας, ἄλλῳ ἐμμελείας, ἄλλῳ ἀγρυπνίας, ἑτέρῳ ἐγκρατείας, ἄλλῳ περὶ βρωμάτων, ἄλλῳ πάλιν φιλεργίας. καὶ ἀναλήψεως τῶν βαρυτέρων καμάτων, ἄλλῳ περισσοτέρας ὑμνολογίας δύναμις, καὶ μέντοι ἑτέρῳ πρὸς τὰ ἔξω πρόσωπα θεωρίας καὶ ὁμολογίας καὶ μέντοι καὶ πραγματείας, ἄλλῳ συμβουλῆς καὶ διαταγῆς καὶ διακρίσεως, ἑτέρῳ δουλείας καὶ πρὸς τὰ ἔσχατα ἔργα καὶ δοκοῦντα ῥυπαρότατα σχολῆς τε καὶ ἐπιμονῆς, εἴτε μαγειρικῆς φημί, εἴτε ἀρτοποιητικῆς, εἴτε ἀροτριωτικῆς, εἴτε ἀμπελουργικῆς, εἴτε ἁλιευτικῆς ἢ ἄλλης εἰτινοσοῦν. ταῦτα δὲ ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, καθὼς ὁ ἀπόστολος διδάσκει, καὶ πάντες ἓν σῶμα ὄντες ἀλλήλους ἀντιδιδῶμεν τὰς οἰκείας ἐνεργείας καὶ εἰς ἀλλήλους περιχωροῦσι τὰ ἑκάστου πρὸς ἕκαστον χαρίσματα, ὡς ἐπὶ τῶν μελῶν ἐστιν ἰδεῖν τοῦ σώματος. καὶ οὐχ ὅτι τὸ στόμα φθέγγεται καὶ διαλέγεται καὶ διατάσσεται, κατεξανίσταται τῶν ποδῶν, ὡς τὴν ἐσχάτην χώραν λαχόντων καὶ πορευτικήν· οὐδ' ὅτι ὁ ὀφθαλμὸς ὁρᾷ καὶ προβέβληται, κατεπαίρεται τῶν χειρῶν, ὡς δουλευόντων ταῖς ἐνεργείαις, οὐ μὴν οὐδὲ τὰ ὑπερέχοντα τῶν ὑφιζανόντων, ἀλλ' ἀνταποδίδωσιν ἑκάστῳ τὸ πλησιάζον, τὸ κατὰ χρέος, καὶ μένει τὸ ὅλον σῶμα ὁλόκληρον καὶ ἀπηρτισμένον πρὸς τὴν κατὰ χρείαν κίνησιν. οὕτως καὶ ἐφ' ἡμῖν τῆς ἐκκλησίας τοῦ θεοῦ λογιστέον· μόνον μὴ ἐξ ἐριθείας καὶ ἰδιοθελείας εἰτινοσοῦν ἔστω

11 κῶδ. *φιλοῦμεν*. 18 κῶδ. *ἐμμακελεύειν*.

16 κῶδ. *περισσωτέρας*. 26 καὶ ἑξῆς. Κορινθ. 1, ιβ', 11-27. 35 κῶδ. *κατεπέρεται*. 36 δουλευόντων= δουλευουσῶν. 39 κῶδ. *τῷ πλησιάζων* || *χρέως*.

ἡ σπουδή, ὡς προλέλεχα· οὐδὲ γὰρ τὸ οὗς ἢ ἡ ῥὶς ἀφ' ἑαυτῶν ἐξελέξαντο τὴν θέσιν· ἀλλ', ὡς ᾠκοδομήθη ὑπὸ τοῦ πλαστουργοῦ θεοῦ, τὴν οἰκείαν ἕκαστον χώραν λαχὸν ἀπείληφεν· καὶ ὥσπερ ἡ δόξα τῆς κεφαλῆς δόξα τῶν ὀφθαλμῶν, καὶ ἡ δόξα τῶν χειρῶν δόξα τῶν ποδῶν, ἑκάστου μέλους πρὸς τὸ ἕτερον ἀναφερομένου τὴν τιμήν, οὕτω καὶ ἐπὶ τῆς ἀδελφότητος ἴση ἡ τιμὴ καὶ ἡ δόξα· νῦν δὲ καὶ εἰς τὸν μέλλοντα αἰῶνα ἔσται. διό, εἰ καὶ χεὶρ εἰμί, οὐκ ἠλάττομαι συνδοξάζεσθαι τῷ ὀφθαλμῷ μου· οὐδέ, εἰ ποῦς εἰμί, ἀποκέκριμαι τοῦ κλήρου τῆς τιμῆς τῶν χειλέων μου· ὁ αὐτὸς γάρ εἰμι ἐν πᾶσι, καὶ τιμώμενος καὶ δυσφημούμενος. σοφοί ἐστε τὰ θεῖα· σύνετε ἃ λέγω, μᾶλλον δὲ ἃ λέγουσι καὶ κελεύουσι καὶ διδάσκουσιν οἱ ἅγιοι πατέρες ἡμῶν· ἐν οἷς στηριχθείητε προκόπτοντες καὶ ἐπαυξούμενοι ἡμέραν ἐξ ἡμέρας, τὸ σωτήριον τῶν ψυχῶν ὑμῶν κατεργαζόμενοι ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΗ'.

Ὅτι ὁ πίστιν ἀδιάῤῥηκτον πρὸς τὸν καθηγούμενον ἔχων καὶ προσθήκαις ἀρετῶν ἡμέραν ἐξ ἡμέρας ἑαυτῷ θησαυρίζων ἀξιωθήσεται καταταγῆναι ἐν τῷ κλήρῳ τῶν ἁγίων.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, εἰ καὶ ἀχρεῖος ὁ λόγος μου πρὸς ὑμᾶς καὶ ἀνωφελής, ἀλλ' οὖν κατ' ἐπιθυμίαν εἰμὶ πάντοτε προσομιλεῖν ὑμῖν τὰ δέοντα· ῥᾴους γὰρ γίνεσθαι οἶδ' ὅτι ὑπομνησκόμενοι καὶ ἐπιστημονικώτεροι καὶ νηφαλεωδέστεροι ἐπᾳδόμενοι, καὶ τὸ ὅλον ἀμφοτέροις, ἐμοί τε λέγοντι καὶ ὑμῖν ἀκούουσι, σωτήριον. δέον γάρ μοι νύκτωρ τε καὶ μεθ' ἡμέραν ὥσπερ οἱ τῶν ἀλόγων θρεμμάτων ἡγεμονεύοντες τῇ κατηχητικῇ φωνῇ ἀεὶ ὥσπερ τινὶ σύριγγι κεχρῆσθαι, καὶ τοὺς μὲν ἐναπομένοντας διὰ ῥᾳθυμίας ἀνακαλεῖσθαι, τοὺς δὲ ἐπιστρέφειν ὀλισθαίνοντας δι' ἀπειθείας ὑποστηρίζειν τε αὐτοὺς σαθρωμένους, καὶ τοὺς μὲν παρακαλεῖν, τοὺς δὲ νουθετεῖν, τοὺς δὲ προθυμεῖσθαι, ἐνίους τε ἐπιτιμᾶν ἀτακτοῦντας, ἐπειδήπερ τὸ ἀῤῥωστοῦν χρήζει καὶ τομῆς καὶ καύσεως καὶ τῶν ἄλλων πικροτάτων φαρμάκων τῆς ἰατρείας.

Ἀλλὰ τί πάθω ὁ τάλας, ὅτι ἀφ' ἡμερῶν πολλῶν μέχρι τοῦ δεῦρο παρεσιώπησα, ὑπὸ τῆς ἀσθενείας ἐνεργούμενος; διὸ ἐπείπερ μικρόν τι ἐδραξάμην δυνάμεως, ἀναγκαῖον πάλιν τὸ σύνηθες ἀποπληροῦν καὶ προσαγορεύειν καὶ προσασπάζεσθαι, ποιμαίνειν καὶ ὁδηγεῖν ὑμᾶς, ταῖς εὐχαῖς τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν, ἐπὶ τοὺς τόπους τῆς ἀναπαύσεως τῶν ἁγίων ἐντολῶν τοῦ Χριστοῦ. τίς δὲ ἄρα ὁ πιστὸς καὶ φρόνιμος, ὁ πάντα λόγον θεῖον ἐνωτιζόμενος καὶ τὴν ψυχὴν ἀνακαίων δι' ἐπιζητήσεως ἐργασίας ἀγαθῆς εἰς τὸν πόθον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; τίς ὁ ἑστὼς ἑδραῖος καὶ ἀμετακίνητος ἐπὶ τὴν πέτραν τῆς ὑπομονῆς καὶ μηδαμῶς σαλευόμενος ταῖς ἀπὸ τῶν ἔξωθέν τε καὶ ἔσωθεν συμβαινούσαις προσκρούσεσι τῶν ἀοράτων ἐχθρῶν καὶ τῶν ὁρωμένων ἀδελφῶν; τίς ὁ ἡμέραν ἐξ ἡμέρας προσθήκας ἐπὶ προσθήκαις ἀρετῶν θησαυριζόμενος καὶ μὴ ἐκλυόμενος ἐν ταῖς θείαις λειτουργίαις ταῖς τε ἡμεριναῖς καὶ ταῖς νυκτεριναῖς; τίς ὁ δεθεὶς ἐν πίστει δι' ὁμολογίας θεοῦ πρὸς τὸν καθηγούμενον, ὡς ἀδιάῤῥηκτον εἶναι μέχρις αἵματος ἐν ταῖς καθ' ἑκάστην ἡμέραν ἐπεισερχομέναις ἀντιστάσεσι; τίς ὁ ἄσχετος καὶ ἄφιλος παντὸς τοῦ κόσμου καὶ τῶν κατὰ σάρκα καὶ αἷμα κοινωνούντων, ὡς μόνῳ τῷ θείῳ ἔρωτι κατέχεσθαι; τίς ὁ μὴ οἰκείῳ ἐν πᾶσι θελήματι κραταιούμενος, ἐν ἐφέσει δὲ ὢν ἀεὶ τῷ τοῦ προεστῶτος ἀποπληροῦν καὶ θεραπεύειν; τίς ὁ τὰς ἐπιθυμίας καὶ

---

2 κῶδ. *ῥὶν.* 11 κῶδ. *ἠλάττωμαι.* 37 κῶδ. *ἐπιστημωνικότεροι, νηφαλαιωδέστεροι.*

8 κῶδ. *ἀρροστοῦν.* 20 κῶδ. *φρόνημος.* 31 κῶδ. *ἐκλοιόμενος.*

ἡδονὰς πάσας τοῦ κόσμου, δόξας τε καὶ λαμπρότητας, ἀρχάς τε καὶ ἐξουσίας καὶ βασιλείας ὡς ἐν ὀνείρῳ τιθέμενος διὰ τὴν ἀληθινὴν ὄντως ἡδονὴν καὶ εὐφροσύνην τῶν αἰωνίων ἀγαθῶν καὶ διὰ τὸ μέγα ἀξίωμα τῆς βασιλείας τῶν οὐρανῶν; τίς ὁ γλιχόμενος καὶ ἐπιζητῶν τέλειος εἶναι κατὰ πᾶσαν ἐργασίαν θεοῦ καὶ προαιρούμενος τῇ διαθέσει καθ' ἑκάστην ἡμέραν ὑπὲρ Χριστοῦ ἀποθνήσκειν; "οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ", ὡς γέγραπται.

Τοιούτους τοιγαροῦν ἐπιζητεῖ ὑμᾶς ὁ λόγος εἶναι, τέκνα καὶ ἀδελφοί· τηλικούτους, προθυμουμένους ἀεί, διεγηγερμένους, ἐκθύμους τῇ προθυμίᾳ, ζέοντας τῇ καρτερίᾳ, θερμοὺς τῇ ἐργασίᾳ, πεπυρωμένους τῇ θείᾳ ἐπιθυμίᾳ, τρέχοντας κατὰ ψυχήν, ἱδροῦντας κατὰ διάνοιαν, ἁρπάζοντας τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ γοῦν τίς ἐστιν ὁ δυνάμενος κερδῆσαι κατὰ κόσμον, ἢ πολλὰ ἀμήσασθαι, ἢ καταπλουτῆσαι, ἢ ἐπιτυχεῖν μεγάλου πράγματος, εἰ μὴ δράμῃ καὶ καταδιώξῃ, ἐπιποθήσῃ καὶ ζητήσῃ, χώρας καὶ πόλεις ἀμείβων καὶ πολλὰς ἄλλας ταλαιπωρίας ἀναδεχόμενος ὑπὲρ τοῦ ἐπιτυχεῖν τὰ ἐπιθυμούμενα; κατὰ πόσον οὖν λοιπὸν ὀξύτερα καὶ ἐπιμοχθότερα ὀφείλουσιν εἶναι τὰ ἡμέτερα ἀγωνίσματα; ὅσον οὐδέ ἐστιν εἰπεῖν, ὅτι οἱ μὲν σάρκα καὶ κόσμον ζητοῦσιν, ἡμεῖς δὲ θεὸν καὶ οὐρανὸν καὶ τὰ ἐν οὐρανοῖς.

Μὴ δὴ οὖν, παρακαλῶ, λοιπὸν ἀπορραθυμήσωμεν ταῖς ἐπιβιώσεσι τῆς παραυτίκα ζωῆς, μηδὲ τὸ πολυχρόνιον τοῦ σχήματος ἐξίτηλον ἡμῶν ποιείτω τὸν τόνον τῆς ψυχῆς, μηδὲ τὸ τῆς ἐπιθυμίας πῦρ ἐναποσβεννύτω τὸ προβεβηκὸς τῆς ἡλικίας, τοὐναντίον δὲ τονώτερον καὶ διαπυρώτερον ἀποδεικνύτω· καὶ στῶμεν πάντες γενναίως πρὸς τὰς μεθοδείας τοῦ ἀντικειμένου, ἐνωπλισμένοι τὴν πνευματικὴν παντευχίαν, τὴν ὑπακοὴν φημί, τὴν ταπείνωσιν, τὴν πραότητα, τὴν ἐλπίδα τὴν πίστιν, τὴν καρτερίαν, τὴν εὐλάβειαν, τὴν ἀγάπην, τὴν εἰρήνην, διὰ παντὸς τὴν αἴνεσιν τοῦ κυρίου ἔχοντες ἐν τῷ στόματι ἡμῶν, μεγαλύνοντες καὶ δοξάζοντες αὐτόν, ὅτι κατηξίωσεν ἡμᾶς ἐν τῷ κλήρῳ τούτῳ τῷ ἁγίῳ καταταγῆναι, ἐν τῇ μερίδι τῶν ὁσίων αὐτοῦ, καὶ οὕτως πάντα τὰ θεοφιλῆ κατεργαζόμενοι διαπεραιοῦμεν τὸν βίον ἡμῶν. καὶ ὁποῖον τὸ πέρας καὶ τὸ ἀνταπόδομα; δέδωκεν ἡμῖν αὐτὸς ὁ κύριος ἐν τοῖς ἁγίοις αὐτοῦ εὐαγγελίοις εἰπών· "πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει".

Οὕτω μὲν ταῦτα δι' ὀλίγων ὑμῖν τὸ παρὸν κατηχήσαμεν· εἴη δὲ καὶ πρὸς τὸ ἑξῆς δι' εὐχῶν ὑμῶν δύναμις τοῦ πράττειν με τὰ προστεταγμένα μοι καὶ ἀνήκοντα. ἔστι δέ μοι καὶ ἄλλος τις πρὸς ὑμᾶς λόγος πρὸς τὸ παρόν, καὶ ἀκούσατε. ἐν τῇ προτέρᾳ μου ἀσθενείᾳ, ἐπειδὴ ἦλθον ἐπ' αὐτὰς τὰς πύλας τοῦ Ἅδου, καθ' ὃ προσῆκεν ἐξελεξάμην ὑμῖν τὸν μετ' ἐμὲ ἡγουμενεύσοντα, καθάπερ ἀπ' ἐμοῦ τὸν ὀφείλοντα ἐπεζητήσατε, καὶ ἔδωκα ὑμῖν μετὰ πολλῆς περισκέψεως καὶ θείας ἐπικρίσεως τὸν καλόγηρον· πάλιν δὲ ᾠκονόμησεν ὁ κύριος τοῦ ἐπιζῆν με δι' ὑμᾶς. εἶτα τινὲς ἐξ ὑμῶν ἀπαιδευσίᾳ καὶ ἀταξίᾳ ἀγόμενοι (οὐ γὰρ τῶν προσεχόντων τοῦτο, οὐδὲ τῶν εὐφρόνων) ἤρξαντο φλυαρεῖν καὶ τὸν μὲν ἀποδοκιμάζειν, τὸν δὲ ἐγκρίνειν, καὶ κατέστησαν ἑαυτοὺς ἄρχοντας καὶ δικαστάς, μᾶλλον δὲ φατριαστάς, ἐπὶ σκανδάλῳ τῆς ἀδελφότητος. τοῦτο τοιγαροῦν ἀκηκοώς, καλὸν ἡγησάμην ἀπορραπίσαι τὰς τοιαύτας φλυαρίας καὶ ἀθυροστομίας διὰ τῆς ἀσφαλείας. ὃ τοίνυν γέγονε, καλῶς καὶ ἐνθέσμως, καὶ πιστεύω ὑπὸ πνεύματος ἁγίου. ἐπειδὴ δὲ ζῶ

10/12 Ψαλμ. κγ', 5. 15 κῶδ. *διεγειγερμένους.* 32 δὴ] κῶδ. *δεῖ.* 32/33 κῶδ. *ἀπορραθυμήσομεν.* 35 κῶδ *ἐξήτηλον* || κῶδ. *ποιήτω.* 37 κῶδ. *προβεβηκῶς.* 38 κῶδ. *τονότερον καὶ διαπυρότερον.* 41 κῶδ. *παντευχείαν.*

10 κῶδ. *ἀνταπόδωμα.* 12/16 Ματθ. ιθ', 29. 12/13 κῶδ. *οἰκείας.* 16 κῶδ. *κληρονομήση.* 24 ὃ] κῶδ. *ὦ.* 29 κῶδ. *ἐπιζεῖν.* 31 κῶδ. *ἀγώμενοι.* 32 κῶδ. *ἐφρόνων.* 34 κατ. ἄρχ. καὶ δικαστάς] πρβλ. Πράξ. ζ', 27, 35. 36 κῶδ. *ἰκηκοός.* 37 κῶδ. *ἀπορραπῆσαι.*

ἐγὼ ὁ τάλας ἔτι, ἀργὰ τὰ γεγενημένα· κύριος γάρ εἰμι ἐπιδιατάσσεσθαι τῇ διαθήκῃ μου, ἐφ' ὅσον ζῶ, καθὼς λέγει ὁ ἀπόστολος. ὥστε πάλιν ἄλλης διαθήκης μου χρεία, ὁπηνίκα κελεύει με ὁ θεὸς ἐξέρχεσθαι τοῦ βίου. ἡ δὲ διαθήκη μου τοιαύτη, κἂν ἁμαρτωλός εἰμι, ὡς ἡ τῶν ἁγίων μου πατέρων (ὧν οὐκ εἰμὶ ἄξιος τοῦ κονιορτοῦ τῶν ποδῶν), τοῦ ἐν καιρῷ ἐξόδου μου ὑπὸ πάσης τῆς ἀδελφότητος ἐκλεχθῆναι τὸν προέχοντα ἐν ἀρετῇ καὶ γνώσει καὶ τοῦτον φανερωθῆναί μοι, ἵνα δώσω ὑμῖν κεφαλὴν καὶ ἡγούμενον, οἷον ἂν εἴη, κἂν τε Πέτρος, κἂν τε Παῦλος, κἂν τε ἄλλο τι πρόσωπον ἀνυπονόητον· οὕτω γὰρ ἔχει ἡ ἀλήθεια. τὸ δέ γε νῦν ἔχον ὁ καλόγηρος ἀντιπρόσωπόν μου καὶ μόνον, ἐπειδὴ τοῦτο ἀναγκαῖον, διάδοχος δέ μου οὐδεὶς ὡρισμένος μέχρι τοῦ τότε καιροῦ. λοιπὸν παύσασθε καὶ μηκέτι τὰς ἀκαίρους ζητήσεις ποιεῖσθε· ὁ γὰρ ἁλοὺς ἐπιτιμίοις ὑποβληθήσεται βαρυτάτοις, ὡς αἴτιος ἀταξίας. ὁ δὲ θεὸς τῆς εἰρήνης κρατύνει καὶ βεβαιώσει, στηρίξει καὶ ὀχυρώσει, βελτιώσει καὶ κατακοσμήσει, ὑψώσει καὶ τελειώσει ἐν πάσῃ εὐπραξίᾳ, ἐν πάσῃ ἐπιστήμῃ καὶ καταστάσει, τοὺς μικροὺς καὶ τοὺς εὐδρομοῦντας, ἵνα πάντες ἐν ἑνὶ πνεύματι σύμφωνον δοξολογίαν ἀναπέμψωμεν τῷ κράτει αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΙΘ'.

Περὶ τῆς καλλίστης ἡμῶν συνδιαγωγῆς καὶ τοῦ μὴ ἐπαίρεσθαι ἐν τοῖς χαρίσμασιν, ἀλλ' ἐπεκτείνεσθαι ἀεὶ πρὸς τὰ κρείττονα.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἄλλοι μὲν συναγόμενοί τε καὶ συναθροιζόμενοι περὶ ἄλλων βουλεύονται, καὶ οἱ μὲν περὶ κέρδους τοῦ ἀπολλυμένου πλούτου, οἱ δὲ περὶ ἀξιώματος ἐπιτυχίαν τοῦ συγκαταλυομένου τῷ παρόντι αἰῶνι· ἄλλοι περὶ τοῦ ἀνταμύνασθαι τὸν πλησίον καὶ ἐκνικῆσαι κατὰ τὸ σπουδαζόμενον· ἕτεροι ἐπὶ τοῦ γυναῖκα ἀγαγέσθαι ἢ πλούτῳ κομῶσαν, ἢ κάλλει κεκοσμημένην, καὶ μέντοι τινὲς ἐπὶ τὸ πολεμίους τροπώσασθαι σωματικούς. εἰσὶ δὲ οἳ καὶ συνέδριον γίνονται ματαιότητος καὶ παρανομίας, ὧν ἀπεύχεται ὁ θεοπάτωρ Δαβὶδ τὴν συγκαθέδραν καὶ εἴσοδον, καὶ ἁπλῶς κατὰ πολλοὺς τρόπους καὶ λόγους τοὺς ἐν τῷ βίῳ θεωρουμένους οἱ συνερχόμενοι συνέρχονται καὶ συμβουλεύονται. ἡμῖν δέ, ὡς ὁρᾶτε, ἡ συμβουλὴ καὶ ἡ συγκαθέδρα οὐδ' ὅτι οὖν περὶ τοιούτου (πῶς γὰρ τοῖς ἔξω κόσμου τὰ κατὰ κόσμον ἐφαρμώσει;), ἀλλὰ περὶ σωτηρίας ψυχῆς, περὶ ἀπαλλαγῆς σχέσεως κόσμου, περὶ κτήσεως ἀρετῶν, περὶ τροπώσεως καὶ καθαιρέσεως τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου καὶ τῶν ὑπ' αὐτὸν ἀποστατικῶν δυνάμεων, περὶ ἀμοιβῆς καὶ ἀπολαύσεως τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀῤῥήτων καὶ ἀνακούστων καὶ ἀνεπινοήτων ἀγαθῶν. καὶ ὢ τῆς καλῆς καὶ ἡλίκης ταύτης συνεδρεύσεως! ἐν ἐκείνοις ὁ τερπόμενος καὶ συνεπαμυνόμενος ὡς τὰ πολλὰ ὁ Σατανᾶς ἐστι καὶ οἱ διάκονοι αὐτοῦ· διὸ καὶ τὰς ἐπιτυχίας ἀποτυχίας ψυχῆς καταλαμβάνουσιν· ἐν δὲ τῷ παρόντι καὶ τοιούτῳ συνεδρίῳ ὁ θεὸς ὡς ἀληθῶς χαίρει καὶ εὐφραίνεται καὶ συνεπικουρεῖ, χαίρουσι δὲ καὶ οἱ ἄγγελοι, ὡς γέγραπται, καὶ πάντες οἱ ἅγιοι.

Ἐπεὶ τοιγαροῦν διέγνωμεν τὸ διάφορον τῶν ἑκατέρων συνεδρίων καὶ ὡς ἐν ἡμῖν τὸ φῶς καὶ ἡ ζωὴ καὶ ἡ ἀληθινὴ χαρά (οὐδὲν γὰρ ψυχῆς σῳζομένης χαριέστερον), ἐχώμεθα τούτου τοῦ καλοῦ συνεδρίου καὶ σπεύδωμεν ἐπ' αὐτὸ καὶ προθυμότερον συνερχώμεθα καὶ βουλευώμεθα καὶ συνδιασκεπτώμεθα περὶ τῶν ὄντως ζητητῶν καὶ ἐφετῶν, καὶ νῦν μὲν περὶ τῆς εἰς θεὸν ἱερᾶς καὶ ζωοπύρου ἀγάπης, μεθ' ἧς καὶ περὶ τῆς εἰς ἀλλήλους ἀφθόνου καὶ ἀπαῤῥησιάστου, νῦν δὲ περὶ ἀπορῥαγῆς τῶν ὀλεθρίων καὶ γενικῶν παθῶν τῆς ψυχῆς, ἐπιθυμίας λέγω καὶ

---

3 πρβλ. Γαλάτ. γ', 15. Ἑβρ. θ', 17. 40 κῶδ. *ἐπιτυχείαν*.

6/8 Ψαλμ. κε', 4, 5. 21 ἀνακούστων = ἀνηκούστων. 36 κῶδ. *αὐτᾷ*.

φιλοδοξίας καὶ τῆς ἀπὸ τούτων μυριοβρύτου πολυπαθείας· καὶ πῇ μὲν περὶ ἀνυποκρίτου ὑπακοῆς καὶ χριστομιμήτου ταπεινώσεως, τῆς μάλιστα ἐπιζητουμένης, πῇ δὲ περὶ τῆς ἀνοθεύτου ὑποταγῆς καὶ εἰλικρινοῦς πρὸς τὸν καθηγούμενον πίστεως, δι' ἧς βάλλεται ὁ ἀντικείμενος καὶ εὐδρομεῖ ὁ ὑπήκοος. καί γε τοῦτο ἐξαιρέτως ἡμῖν καὶ γνωστέον καὶ φυλακτέον· οὐ γὰρ οἷόν τε ἄλλως ἡμᾶς διαδρᾶσαι τὰς παγίδας τοῦ ἐχθροῦ, οὐδὲ ἐπὶ τὴν ἀσάλευτον πέτραν τοῦ Χριστοῦ ἐρεῖσαι τὰ κατὰ θεὸν ἡμῶν διαβήματα, οὐδὲ ἀναδείμασθαι οἶκον πνευματικόν, πεπληρωμένον πάσης ἀγαθοεργίας. διὰ τοῦτο πιπτέτω τὸ ἰδιόρρυθμον, τὸ μεμψίμοιρον, τὸ φιλόδοξον, τὸ φιλόπρωτον, τὸ οἰηματικόν, τὸ ἐνδεικτικόν, εἴτε ἐν εὐμελείᾳ, εἴτε ἐν εὐφωνίᾳ, εἴτε ἐν εὐφυΐᾳ χειρεργικῇ, καλλιγραφικῆς, φημί, ἀμφιαστικῆς, λεπτουργικῆς, χαλκευτικῆς, ὑφαντικῆς, ἤ τινος οὖν ἄλλης, καὶ μάλιστα ἐν ἀναγνώσει ἢ διαγνώσει τῶν θείων γραφικῶν ῥημάτων καὶ νοημάτων· ὁ γὰρ ἕν τι χάρισμα, ἢ δύο, ἢ καὶ πλεῖστα κεκτημένος ἐκ θείας δωρεᾶς, οὐκ ὀφείλει αἵρεσθαι καὶ ὑπερηφανεύεσθαι κατὰ τῶν ὑποδεεστέρων— ἀφροσύνη γάρ—· ὃς καὶ ἐπιπλήσσεται ὑπὸ τοῦ θείου ἀποστόλου, λέγοντος· "τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών"; ταπεινοῦσθαι δεῖ καὶ φοβεῖσθαι καὶ ὑποτρέμειν ὡς ἀνάξιος τῶν δωρεῶν, ἵνα τῆς κυριολέκτου φωνῆς ἀκούσῃ· "εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω".

Οὕτως οὖν ὑμᾶς συμβιβάζει καὶ συναθροίζει ἐπὶ τὸ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐν τούτοις τὸ ἐπισύναγμα ὑμῶν αὔξει καὶ θάλλει καὶ μᾶλλον ἔτι καὶ ἔτι κρατύνεται καὶ ὑπὲρ μύρου παντὸς εὐωδίαν ἀφίησι θεόπνευστον τοῖς ὀσφραινομένοις τὰ κάλλιστα. διὸ ἐπειχθῶμεν, ἀδελφοί μου, ἐπειχθῶμεν· ἐπιγινώμεθα ἔτι καὶ ἐπεγειρώμεθα, τὸ μὲν κατορθοῦντες, τὸ δὲ διορθούμενοι, πρὸς μὲν τὸ ἐπανερχόμενοι, πρὸς δὲ τὸ κατεπειγόμενοι, καὶ ὑπὲρ μὲν τοῦδε πονούντες, ἵν' ὁρῶν τὸ ἐπίπονον ὁ θεὸς εὐμαρίσῃ τὸ σπουδαζόμενον, ὑπὲρ δὲ τοῦ ἀνδρειούμενοι, ὡς ἂν ὁ τὴν δειλίαν ἐπισπείρων ἐχθρὸς ἐξαφανισθῇ τέλειον· καὶ ἀπὸ μὲν τοῦ μικρὸν ὅσον ὅσον ἡ δύναμις ἔχει ληπτέον (φίλον γὰρ θεῷ τοῦτο), ἀπὸ δὲ τοῦ, ἐπεὶ ὑπὲρ δύναμιν καὶ ἀξίαν, μηδὲ ἐφίεσθαι ἀβούλως, μηδὲ ζητεῖν καιρὸν εἰσελεύσεως. τίνα δὲ ταῦτα; τὰ μὲν πρότερα ἀρεταί, ἤγουν δάκρυον, προσευχή, γονυκλισία, στεναγμός, κατάνυξις, στιχολογία, ἀνάγνωσις, ἐργόχειρον, ἀγρυπνία, ἡσυχία, νοῦ πρὸς θεὸν ἐκδημία, κατήφεια, ὀφθαλμοῦ κατάνευσις, γέλωτος ἐγκράτεια, μελίσσης τρόπῳ ἔνθεν κἀκεῖθεν ἐκ τῶν ἐξανθούντων ἀρετῶν τῇ ἀδελφότητι συλλαγωγοῦντος καὶ συνεισφερομένου ἑκάστου· τὰ δὲ δεύτερα αἱ ἄλογοι καὶ κενόδοξοι ἐπιθυμίαι, τῆσδε τῆς διακονίας ἀναχώρησιν, τῆσδε ἐπιτεύξεως, τῆς μὲν ὡς ἀχρήστου, τῆς δὲ ὡς τιμιωτέρας καὶ τῆς μὲν ὡς βαρείας, τῆς δὲ ὡς ἐλαφροτέρας καὶ συμφερούσης, καὶ τῆς μὲν ὡς ἀγροίκου, τῆς δὲ ὡς σοφιζούσης καὶ συνετιζούσης. καὶ ἐπιλείψει με ἡ ὥρα διαρθροῦντα καὶ διεκλεγόμενον ἓν καθ' ἓν τῶν ἀβούλων καὶ ἀσυμφώνων ἐπιθυμημάτων· φιλοῦσι γὰρ οἱ μὲν οὐ καλλιγραφεῖν λέγω, ἀλλὰ παθογραφεῖν, ἀφυεῖς ὄντες καὶ ἀσύνθετοι, οἱ δὲ βιβλοφυλακεῖν, ἐσχατότεροι ὄντες καὶ ἀπεριδέξιοι· οἱ δὲ ἱεροφρουρεῖν, ἀνίεροι ὄντες καὶ ἀσυντέλεστοι· οἱ δὲ πολυαναγνωστεῖν καὶ λεξολογεῖν, φιλόδοξοι ὄντες καὶ πλεονεκτικοὶ καὶ οὐ διδόντες θεῷ χάριν ἐφ' οἷς ἔφθασαν ἀναξίως ἔχειν. τίνες γὰρ καὶ εἶεν πρότερον; καί γε τί οὐ βλέπουσι, ποῦ ἦσαν καὶ ποῦ κεῖνται; ἐξ ἀλογίας εἰς λόγον, ἐξ ἀπαιδευσίας, εἴπερ καὶ στέργουσιν, εἰς παίδευσιν, ἐξ ἀγροικίας, εἴπερ καὶ προσέχουσιν, εἰς γνῶσιν. καὶ γοῦν εἰσί τινες οἵ γε ἄλλα παρὰ ταῦτα ζητοῦντες ἐπεκτικώτερον, ὡς θεοειδέστεροι τοῦ δοκεῖν, ἐγὼ δὲ λέγω ὡς ἀφρονέστεροί τε καὶ οἰηματικώτεροι. τίνα δὲ ταῦτα; πλείων τῶν ἄλλων ἐγκράτειαν, τριχίνου ἐσθήματος

11 πέτραν] πρβλ. Ματθ. ζ', 24, 25. ις', 18. 17 κῶδ. *εὐμελία*. 27/29 Κορινθ. 1, δ', 7. 29 *δεῖ*] δὲ ? 32/33 Ματθ. κε', 21.

3 ὁ] κῶδ. *τὸ*. 11 κῶδ. *γονυκλησία*. 29 κῶδ. *ἐσχατώτεροι*. 40 ἐπεκτικώτερον = ἐφεκτικώτερον. 43 κῶδ. *τρυχίνου*

φορεσίαν, τοπικήν τινα ἡσυχίαν ὑπὲρ πάντας, λίθου βασταγὴν ἐπὶ στόματος, γονυκλισιῶν πλήθη· ἅπερ ἀπείρηται τοῖς πατράσιν ἐν ἀδελφότητι, ὡς ἀλληλόπληκτα καὶ ὑπερηφανόβουλα καὶ φθονοποιὰ καὶ διαῤῥηκτικὰ τῆς ὁμοψύχου συναφείας.

"Ἃ οὖν προσετάγη σοι", ἄφρων, "ταῦτα διανοοῦ", ὡς ἡ Σοφία λέγει, "καὶ μὴ ζήτει" φησί "παρὰ κυρίου ἡγεμονίαν, μηδὲ παρὰ βασιλέως καθέδραν", καὶ μὴ ζήτει πολὺ δίκαιος γενέσθαι, μηδὲ σοφίζου περισσά· ἀρκοῦ δὲ τοῖς προστεταγμένοις καὶ ἐπιτεταγμένοις σοι καὶ προστίθει καὶ πλεονέκτει ἐν οἷς πολὺ τὸ κέρδος καὶ οὐδεμία ἔχθρα τῇ ἀδελφότητι καὶ λύσσα, χαρὰ δὲ καὶ ὁμοζηλία, ἐν τῷ ἀγογγύστῳ, ἐν τῷ ἀφθόνῳ, ἐν τῷ εὐηκόῳ, ἐν τῷ καταβεβλημένῳ φρονήματι, ἐν τῷ στέργειν καὶ στοιχεῖν ἐν πᾶσι, τοῖς τε διδομένοις τοῖς τε ἐντεταλμένοις βρώμασι, πόμασιν, ἐνδύμασιν, ὑποδήμασι, διακονίαις, ἀναγνώσεσι, ψαλμῳδίαις, ἀποκρίσεσι, προόδοις, ὁποῖαί ποτ' ἂν καὶ ἡνίκα ὦσι καὶ ἐγγίνωνται, ἵνα ἐν τούτοις καὶ ὑπερφαίνοις καὶ ὑπεραυγάζοις καὶ προτερεύοις ὡς φωστήρ, ὡς ἀστήρ, ὡς ἄρχων πνευματικός. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ διαβιβάσας ἡμᾶς τὸ ἓν ἑβδοματικὸν στάδιον τῶν ἁγίων νηστειῶν, ἀξιώσειε καὶ ἐπὶ τὸ πέρας ἐλθεῖν τῶν πνευματικῶν ἀγώνων, ἵνα τοὺς τῆς νίκης στεφάνους ἀναδησάμενοι ἑορτάσωμεν τῷ κυρίῳ ἑορτὴν τὴν ἐξόδιον καὶ πασχάλιον· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΚ'.

Περὶ φυλακῆς τῶν θείων ἐντολῶν καὶ τοῦ μὴ μετ' αὐθεντείας προστάσσειν τοὺς πρώτους τῇ ἀδελφότητι.

Ἀδελφοί μου καὶ πατέρες καὶ τέκνα, ἤδη διιππεύομεν τὸν ἱερὸν χρόνον τῶν νηστειῶν καὶ ὡς εἰς τρίτον δίαυλον τοῦ πνευματικοῦ δρόμου πάλιν ἐπεισερχόμεθα. ζητείσθω δὲ ἐν ὑμῖν, εἰ κατώρθωται τὰ δέοντα καὶ ὀφειλόμενα, εἰ ἐκτησάμεθα ὑπακοὴν ἀντίλογον καὶ ἀνυπόκριτον, εἰ ἠσπασάμεθα εὐλάβειαν εὐκατάνυκτον καὶ προσευχὴν ἐνεπίμονον, εἰ ἐπλουτήσαμεν δάκρυον θεοπαράκλητον καὶ στεναγμὸν εὐσυναίσθητον, εἰ ἐθησαυρίσαμεν πίστιν ἀπρόσκοπον καὶ ἐλπίδα ἀκαταίσχυντον, εἰ ἐφυλαξάμεθα ἀγογγυσίαν εὐπρόσιτον καὶ ἐγκράτειαν ἰσοδύναμον, λόγου ἐναντιωματικοῦ σκληρότητα, ῥήματος ὑβριστικοῦ θρασύτητα, ἔριδα, μάχην, βασκανίαν, ἰδιορῥυθμίαν, ταὐτοβουλίαν· ταῦτα γὰρ ἀπαιτεῖ ἡ ἐγκράτεια καὶ ἐν τούτοις ἐγκρατευόμενοι τῷ ὄντι τρέχομεν τὸν τῆς εὐσεβείας δρόμον καὶ τὸν καλὸν ἀγῶνα ἀγωνιζόμενοι, ἐπὶ ἀμείψει τῶν ἀθανάτων καὶ αἰωνίων ἀγαθῶν. εἰ δέ, ὃ ἀπευχόμεθα, τἀναντία εὑρίσκεται, ἤγουν παρακοῆς ὄλισθος, ὑπερηφανίας ὄλεθρος, γογγυσμοῦ ἔμπτωσις, ψιθυρισμοῦ ἄλωσις, ἰδιορῥυθμίας παράλυσις, ἔριδος κατάπτωσις, σκληρότητος συντριβή, μίσους, ὀργῆς καὶ τῶν λοιπῶν μυσαρωτάτων παθῶν, οὐκέτι, κἂν τοῖς βρώμασι νηστεύωμεν, δυνάμεθα νηστείαν δεκτὴν προσφέρειν τῷ θεῷ, ἀλλὰ μωμητὴν καὶ βδελυκτὴν καὶ ἀπόπεμπτον.

Διὰ τοῦτο, τέκνα ἠγαπημένα, κατανοήσατε καὶ γνῶτε καὶ φυλάξασθε τὰ δικαιώματα καὶ τὰς ἐντολὰς τοῦ κυρίου ἐν πᾶσι καὶ οἱ πάντες, οἱ δευτερεύοντες ἀφ' ἡμῶν, οἱ οἰκονομοῦντες, οἱ ἐπιστημοναρχοῦντες, οἱ παιδεύοντες, οἱ ἐπιτηροῦντες, οἱ ἀφυπνίζοντες καὶ πρό γε τῶν πολλῶν οἱ κελλαρεύοντες καὶ ἀριστοποιοῦντες, οἱ βιβλιοδοτοῦντες καὶ κανοναρχοῦντες, καὶ μάλιστα οἱ ἐργοχειριάζοντες· ὡς ἐπὶ τὸ πολὺ γὰρ ἀκούω οὐκ ἀγαθὴν ἀκοὴν ἐγὼ ὁ τάλας περὶ αὐτῶν, ὅτι μάχονται καὶ ἀντιλογοῦσι καὶ σκληρεύονται, καὶ ταῦτα οὐ τοῖς τυχοῦσιν, ἀλλ' αὐτοῖς τοῖς οἰκονομοῦσι· καὶ διελέγξαι φείδομαι, καὶ σιωπῆσαι φοβοῦμαι, καὶ ἐπιτιμῆσαι

2 κῶδ. *γονυκλησιῶν*. 7/8 Σειρὰχ γ', 22. 8/10 Σειρὰχ ζ', 4. 13 κῶδ. *προστήθη*. 18 κῶδ. *στυχεῖν*. 22 κῶδ. *ἐγγίνονται*. 26 κῶδ. *διαβηβάσας*. 30 κῶδ. *ἑωρτάσωμεν*. 37 *αὐθεντείας*] ἐκ τοῦ τύπου *αὐθεντεύω*.

8 κῶδ. *εὐσυνέσθητον*. 9 κῶδ. *ἐθησαυρήσαμεν*. 17 καλὸν ἀγῶνα] Τιμοθ. 1, ς, 12. 2, δ', 7. 19 ὃ] κῶδ. ὦ. 38 κῶδ. *πολοὶ*. 42 κῶδ. *διελλέγξαι*.

σφοδρότερον εὐλαβοῦμαι, καὶ μὴ ὑπεξέρχεσθαι τοῖς πράγμασι κατὰ τὸ δέον ἀναγκάζομαι καὶ στενά μοι ἀμφοτέρωθεν. ἀλλ' ἵνα καὶ ἑαυτῶν καὶ ἐμοῦ φείσωνται, ἀπορρίψάτωσαν τὰ τῆς αἰσχύνης ἄξια· αἰσχύνη γάρ ἐστιν ὑπὲρ τούτου καὶ ἐκείνου, κατὰ τὴν ἐγκελευομένην ἐπιταγήν, ἀφηνιάζειν καὶ αὐθαδιάζεσθαι καὶ λέγειν "οὐ ποιῶ τόδε, εἰ μὴ τόδε μοι δοθείη", καὶ "οὐκ ἐγχειρίζομαι τοῦδε, εἰ μὴ ταῦτά μοι προσθείη". καὶ νοεῖτε οἷδ' ὅτι ἃ λέγω, ἐν οἷς οὐκ ἔστι κέρδος οὐδὲ λυσιτέλεια αὐτῷ τε καὶ τῇ ἀδελφότητι, οὐδὲ ζημία ἐκ τῆς ὑπακοῆς τὸ καθόλου εἰς τὰ ἀμφότερα μέρη, θλῖψις δὲ καὶ ταραχὴ καὶ ἀπέχθεια καὶ ζηλοτυπία πονηρὰ πρὸς τοὺς ὁρῶντάς τε καὶ ἀκούοντας. καὶ ταῦτα διορθωθείη, παρακαλῶ, ἐπεὶ ἀναγκαῖόν με χρήσασθαι τῇ ἐξουσίᾳ, ἣν οὐκ εἰς καθαίρεσιν εὐταξίας καὶ εὐσεβείας, ἀλλ' εἰς ἐπανόρθωσιν δεδώρηταί μοι ὁ κύριος.

Καὶ ὑμεῖς δὲ οἱ ἐντελλόμενοι καὶ ἐπιτάσσοντες, οἱ πρῶτοί τε καὶ οἱ μετέπειτα, δέομαι ὑμῶν, μὴ οὕτως ἁπλῶς καὶ ὡς ἔτυχεν ἐκ κελεύσεως αὐθεντικῆς καὶ ἐξουσίας ἀσυμπαθοῦς καὶ ἀδιακρίτου ἐπάγοιτε τὰς διαταγὰς καὶ ἐπιταγὰς καὶ ἐπιτροπὰς τοῖς διακονοῦσιν, ἀλλὰ μετὰ φειδοῦς ἀγαπητικῆς, μετὰ συγκρίσεως ἐμμελοῦς, μετὰ φρονήματος δεδοκιμασμένου, ὅπως μὴ ῥηθῇ καὶ ἐφ' ὑμῖν "ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα" καὶ ὃ παρὰ τοῦ κυρίου τῷ πονηρῷ δούλῳ· "πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα"; ἀλλ' ἵνα μᾶλλον τὸ ἐν ταῖς Πράξεσιν εἰρημένον, τὸ "ἐκλεξόμεθα ἄνδρας πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσωμεν ἐπὶ τῆς χρείας ταύτης", ὥστε τῇ τοιαύτῃ χρήσει τῆς ἱερᾶς διακονίας καὶ τῶν αὐτῶν ἐκείνοις μισθῶν ἐπαξιωθῆναι. Στέφανος δὲ ἦν ἐν αὐτοῖς ὁ προῦχων, ὁ καὶ πρῶτος τῶν μαρτύρων καὶ εἷς τῶν ἀποστόλων. οὐ μικρὸν τοιγαροῦν τὸ ἐν τῇ ἐκείνου διακονίᾳ τετάχθαι, ἀλλὰ καὶ μέγα καὶ φοβερὸν καὶ ἀπρόσιτον. ἐπεὶ δὲ τοὺς προέχοντας ἐλάβομεν, δέον καὶ ὑμᾶς τοὺς λοιποὺς ὑπομνῆσαι, ἵνα ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ καὶ μεμενηκὼς τῷ κυρίῳ εὐαρεστοίη καὶ μὴ κατεξανίσταται ἕτερος ἑτέρου καὶ ἐπεμβαίνῃ ἐν τῇ διακονίᾳ, μηδ' οὗ ζητῇ τὰ παρ' ἀξίαν ἐν τῇ οἰκείᾳ ἀπαθείᾳ, μηδ' οὗ τὰ κατ' ἀξίαν μετὰ σκληρότητος ἀνευλαβῶς τε καὶ ἀνεπιστημόνως καὶ ἠπειγμένως, κἂν διὰ τὸ κοινωφελές, ἀλλὰ "πάντα εὐσχημόνως", ὡς ὁ λόγος, "καὶ κατὰ τάξιν γινέσθω"· οὐ γὰρ καλὸν τὸ καλόν, εἰ μὴ καλῶς λέγηται καὶ πράττηται· τὸ δὲ ὁπόταν, καὶ ὁ τρόπος καὶ ὁ χρόνος καὶ ὁ λόγος καθηκόντως καὶ ἁρμοδίως καὶ μεμετρημένως διαδείκνυται.

Ταῦτα ὡς σοφοῖς καὶ φρονίμοις ὑμῖν γνωρίζομαι· "μὴ γίνεσθε γάρ", φησίν, "ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ θεοῦ", τὸ καλὸν καὶ εὐάρεστον καὶ τέλειον. ὥστε οὐ μόνον καλῶς ἀλλὰ καὶ εὐαρέστως καὶ τελείως ἓν ἕκαστον τῶν γινομένων ὀφείλει γίνεσθαι. οὐ βαρὺς ὑμῖν, σύγγνωτε, ὁ λόγος, οὐδὲ κατὰ λύπησιν, οὐδὲ κατ' ὀνείδησιν, ἀλλ' ἐκ φιλαδελφίας, καὶ γὰρ καὶ οὐκ ἄξιος. ἀλλ' οὖν πατὴρ ὑμῶν εἰμι καὶ πατρικῶς φλεγόμενος καὶ κηδόμενος ζητῶ τὰ τέκνα τοῦ θεοῦ τέκνα φωτὸς καὶ εὐσεβείας ἄκακά τε καὶ ἄπλαστα καὶ ἀμώμητα ὑπάρχειν, δηλονότι ἐν τελειότητι τῆς ἐνθέου φρονήσεως. δέομαι οὖν ὑμῶν καὶ ἔτι, "πληρώσατέ μου τὴν χαράν, ἵνα πάντες", ὥς φησι, "τὸ ἓν φρονῆτε". ἡ δὲ τοῦ ἑνὸς φρόνησις ὁμοψυχίαν εἰσάγει καὶ εὐπείθειαν καὶ εὐταξίαν. εὐφράνατε καὶ θεὸν μᾶλλον καὶ μᾶλλον καὶ τοὺς ἁγίους ἀγγέλους, τούς τε ἁγίους καὶ μακαρίους, ὧν καὶ ἐν ἴχνεσιν ἱεροῖς περιπατεῖτε τῶν ὁσίων πατέρων ἡμῶν, ὅπως τῶν ἐναντίων ἐπιτηδευμάτων καθ' ἑκάστην ἡμέραν ἀπορρήγνυμένοι καὶ τῶν τῆς εὐσε-

---

10 κῶδ. *νοῆτε*. 16/17 κῶδ. *διωρθοθείη*. 17/18 κῶδ. *χρίσασθαι*. 30/34 Ματθ. ιη', 32, 33. 35/38 Πράξ. ς', 3. 39 κῶδ. *χρήση*.

5 πρβλ. Κορινθ. 1, ζ', 24. 12/13 Κορινθ. 1, ιδ', 40. 17 κῶδ. *μεμετριμένως*. 18 κῶδ. *φρονήμοις*. 19/20 Ἐφεσ. ε', 17. 32/34 Φιλιπ. β', 2.

βείας ἐναρέτων πράξεων ἀνδρικῶς ἀντεχόμενοι καθ' ἑκάστην προκόπτοιμεν καὶ προκόπτοντες ὑψούμεθα καὶ τελειούμεθα, μέχρις ἂν φθάσωμεν τὸ μακάριον πέρας τῆς ζωῆς ἡμῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΚΑ'.

Περὶ τοῦ προσέχειν ταῖς τῶν πατέρων διδασκαλίαις καὶ μὴ κεχηνέναι πρὸς τὰ παρόντα, ἀλλ' ἀποβλέπειν πρὸς τὰ μέλλοντα.

Πατέρες μου καὶ ἀδελφοὶ καὶ τέκνα, ὄντος ἀναγκαίου ἡμῖν τοῦ λαλεῖν οὐ δυνάμεθα παρασιωπᾶν τὰ δέοντα, εἰ καὶ μὴ ἱκανοί ἐσμεν πρὸς τοῦτο· εἰ γὰρ ὁ θρεμμάτων ἀλόγων ἐπιστατῶν πᾶσαν ἡμέραν καὶ νύκτα ἀναγκάζεται φροντίζειν τῆς πεπιστευμένης αὐτῷ ποίμνης, ἐπιφωνεῖν τε καὶ λαλεῖν τὰ προσήκοντα, πόσῳ μᾶλλον ἡμεῖς οἱ ταπεινοί, οἱ τῶν τιμίων ὑμῶν ψυχῶν τὴν προστασίαν ἐγχειρισμένοι, δεοίμεθα καὶ λαλεῖν καὶ φροντίζειν, μεριμνᾶν καὶ ἀγρυπνεῖν, καὶ τοσοῦτον ὅσον δαπανῆσαι τὰς σάρκας καὶ τὰ ὀστᾶ, ἢ τάχα καὶ τὸ αἷμα κενῶσαι, καιροῦ καλοῦντος, καὶ ἕως τότε, ἕως ἂν καὶ ἐμπνέωμεν; ὥστε εἰκότως ὁ ὑπομνηστικὸς λόγος εἰς ἀσφάλειαν μὲν τῶν εὐθυπορούντων, εἰς διέγερσιν δὲ τῶν ἀμελεστέρων, εἰς ἀνάστασιν τῶν πεπτωκότων, εἰς προθυμίαν τε τῶν εὐδρομούντων· αὐτῶν τε ἡμῶν τῶν ταῦτα λαλούντων καὶ μᾶλλον ἡ ζήτησις, ὅτι "οἷον τὸ ἄρχον πέφυκε, τοιοῦτο καὶ τὸ ἀρχόμενον ὡς τὰ πολλὰ καθίστασθαι", ὡς ὁ μέγας ἔφη καὶ θεῖος Βασίλειος. ἀλλ' εἰ μὲν εἰς ἡμᾶς ἀπίδοιτε, οὐδεμία ὠφέλεια· ἐσμὲν γάρ, ὡς οἴδατε, παντάπασιν ἀχρεῖοι· εἰ δὲ εἰς τοὺς τῶν ὁσίων ἡμῶν πατέρων βίους καὶ τὰς διδασκαλίας, ἃς καθ' ἑκάστην ὡς εἰπεῖν καὶ δι' ἀκοῆς καὶ διὰ στόματος προφέρομεν, μιμησώμεθα ἂν τὰ κάλλιστα καὶ ῥυθμίσωμεν τὴν ἑαυτῶν ζωὴν εὐκλεῆ καὶ τῆς ὄντως ἐναρέτου ζωῆς ἀξιοθαύμαστον.

Μὴ πρόσσχωμεν τοίνυν εἰς τοὺς πίπτοντας, εἴπερ υἱοὶ φωτὸς καὶ ἀναστάσεως καλεῖσθε καὶ ἀκούεσθε, μηδὲ εἰς τοὺς ῥᾳθύμως καὶ ἀμελῶς διαμείβοντας τὰς ἡμέρας, εἴπερ τῶν ἁγίων συμπολῖται φιλοῦμεν χρηματίζεσθαι· ἀλλ' εὐσταθῶς καὶ θεοφρόνως πρὸς τὸ καλὸν ἀεὶ παγιούμενοι αὔξωμεν καὶ παγιώμεθα ἐν τῇ μορφώσει τῆς κατ' ἀρετὴν ζωῆς, πίστιν ἀδίστακτον φέροντες, ἀγάπην ἀπαθῆ καὶ ἀπαρρήσιαστον ἐν τῷ χαρίσματι τῆς ταπεινοφροσύνης, ἐν τῷ κόσμῳ τῆς ὑπακοῆς, ἐν τῷ κλέει τῆς κατανύξεως, οὐδὲν ἐπιφερόμενοι σκολιὸν ἢ παράνομον, δι' ὧν ἐστι λυπεῖν τὸ πνεῦμα τὸ ἅγιον καὶ εὐφραίνειν τὸν ἀντίπαλον. γενοίμεθα εὐχάριστοι, ὑπομονητικοὶ πρὸς τὸν τῆς ἀσκήσεως δρόμον καὶ τὸν τῆς ὑποταγῆς κανόνα. μὴ βλέψωμεν πρὸς τὸ παρόν, πρὸς δὲ τὸ μέλον ἀποσκοπεύοντες περιχαρῶς τὰ θεῖα κατασπαζώμεθα, θεωροῦντες καὶ ἐπινοοῦντες, ὅθεν καὶ ὅπως ἐξήλθομεν, ὅτι ἀπὸ κόσμου καὶ οἷον ἀπὸ σκότους τῆς συγχύσεως τοῦ βίου τούτου, ἀπὸ ταραχῆς καὶ ζάλης τῆς οἱονεὶ κυματουμένης τῶν ἀνθρώπων δυσζωΐας. ἴδε γὰρ μετὰ τῶν ἄλλων, ὅπως τὰ νῦν ἔχει (ὀπηνίκα οἱ Ἄραβες ληΐζονται τὰ καθ' ἡμᾶς, πληθὺς πολλὴ ἐξεληλυθότες καὶ ἐναλλόμενοι εἰς τὰ τῶν χριστιανῶν), οἷος πειρασμὸς καὶ θροϊσμὸς ἐν τοῖς βασιλεῦσιν, οἷα ἀνάγκη καὶ ὀδύνη ἐν τοῖς στρατεύμασιν, οἷος κοπετὸς καὶ ὀδυρμὸς καὶ φόνος ἐν τοῖς αἰχμαλωτιζομένοις. ἁρπάζονται ἀωρίᾳ ἐξάπινα ἄνδρες, γυναῖκες, γέροντες, πρεσβῦται, παιδία, βρέφη, πᾶσα ἐλεεινὴ ἡλικία· χωρίζεται γυνὴ ἀπὸ ἀνδρός, ἀδελφὸς ἀπὸ ἀδελφοῦ, μήτηρ ἀπὸ παιδός, οἱ μὲν τὰς κεφαλὰς ἀποτεμνόμενοι κατέναντι τῶν οἰκείων καὶ συναίμων, οἱ δὲ ἐκ καταδρομῆς κατασφαζόμενοι καὶ πίπτοντες κατὰ τοῦ τυχόντος τόπου καὶ οὐδὲ ταφῆς ἴσως ἀξιούμενοι· ἄλλοι σιδηροδέσμιοι

---

13 κῶδ. *ὄντως*. 27 κῶδ. *εἰκότος*. 41 κῶδ. *μιμισόμεθα*.

1 κῶδ. *ῥυθμήσομεν*. 2 κῶδ. *ἀξιωθαύμαστον*. 3 κῶδ. *πρόσχομεν*. 5 κῶδ. *ἀκούεσθαι*. 9 κῶδ. *αὔξομεν καὶ παγιούμεθα*. 21 κῶδ. *κατασπαζόμεθα*. 29 κῶδ. *πολὺς*. 31 θροϊσμὸς = θρόησις.

κατεχόμενοι καὶ ἐκ τόπου εἰς τόπον ἐλεεινῶς μετερχόμενοι, λιμῷ καὶ δίψῃ πιεζόμενοι, μάστιξι καταστικτόμενοι· ὁρᾷ ἡ μήτηρ τὸ οἰκεῖον τέκνον, ὃ κακῶς γεγέννηκεν, ἢ προσκρουόμενον, ἢ ἀποσφαττόμενον, ἢ ἐκλιμπάνον ἀπὸ δίψης ἢ πείνης, καὶ οὐδεὶς ὁ ἐλεῶν καὶ οὐδαμοῦ φάρμακον βοηθείας· καὶ τὰ περιττότερα σιγητέον μᾶλλον ἢ ἐκπομπευτέον, τὰ ὀδυρμοῦ καὶ σιγῆς ἄξια. ὦ κύριε, σῶσον δή! ὦ κύριε, εὐόδωσον δή! φεῖσαι, φεῖσαι τοῦ λαοῦ σου καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος! "ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις, ἐπιλανθάνει τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν, ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν; ἀνάστα, κύριε· βοήθησον ἡμῖν καὶ λύτρωσον ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου".

Ἀλλὰ τίς καὶ πόθεν ἡ αἰτία, ἵνα τὸ ὄνομα τὸ πανάγιον βλασφημῆται δι' ἡμῶν ἐν τοῖς ἔθνεσιν, ἵνα οὕτως φθάσωμεν ὑπὸ χεῖρα τῶν ἀρνουμένων αὐτὸν καταληΐζεσθαι; ἢ πάντως διὰ τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας ἡμῶν, ἐν αἷς παραπικραίνομεν αὐτόν, μὴ φυλάσσοντες τὰ προστάγματα καὶ τὰ δικαιώματα αὐτοῦ, καὶ τοῦτο μαστιγοῦντος ἡμᾶς καὶ κολάζοντος διὰ χειρῶν ἀνόμων. ἐπεὶ οὖν τοιαῦτα καὶ τηλικαῦτα νῦν ἐλεεινά, τί ἡμῖν προσήκει τοῖς σχολάζουσι; τί ἄλλο, ἢ ὑπὲρ τῶν ὑπὲρ ἡμῶν ἀγωνιζομένων χριστιανῶν ἀδελφῶν ἔχειν ἐκτενῆ εὐχὴν εἰς κύριον τὸν θεὸν ἡμῶν, ὅπως θαυματουργῶν κἀνταῦθα μὴ εἰς τέλος ἀπώσηται τὸν λαὸν αὐτοῦ, ἀλλὰ ταῖς τῆς παναγίας μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων λιταῖς ἐξευμενιζόμενος διασκεδάσῃ βουλὰς ἐθνῶν, εἰς τὸ γενέσθαι τὴν ὁδὸν αὐτῶν σκότος καὶ ὀλίσθημα καὶ ἄγγελόν τινα οὐρανόθεν ἀντιπράττοντα καὶ διώκοντα αὐτούς, τοῦ διελθεῖν ἡμᾶς καὶ τὸν παρόντα καιρὸν εἰρηνικὸν καὶ ἀνεκπόρθητον τῶν ὑπεναντίων; ἔσται δὲ ἡ εὐχὴ ἡμῶν εὐπρόσδεκτος, εἴπερ ἐν φόβῳ αὐτοῦ διαζῶμεν, φεύγοντες τὰ αἴτια τῆς ἁμαρτίας, μὴ παῤῥησιαζόμενοι, μὴ ποιοῦντες κρυπτά, ἃ οὐκ ἔστι λαθεῖν τὸν μέγαν ὀφθαλμὸν τοῦ θεοῦ, μὴ ὡς δοῦλοι μηδὲ ὡς μίσθιοι τὴν θείαν δουλείαν ἀνύοντες, ἀλλ' υἱϊκῶς διακείμενοι ὡς ἐκ προθυμίας, ὡς ἐκ χαρᾶς, ὡς ἐξ αὐτῆς τῆς τοῦ καλοῦ ἐφέσεως καὶ ἀγαπήσεως, ἵνα καὶ τὸν μέγαν καὶ ἀόρατον πόλεμον ἀποκρουσώμεθα, "τὰς ἀρχὰς" λέγω "καὶ ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου", καὶ τοῖς ἀδελφοῖς ἡμῶν συνεπαμύνωμεν διὰ τῆς καθαρᾶς ἐντεύξεως ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΡΚΒ'.

Περὶ τοῦ πενθεῖν τοὺς ἀποῤῥαγέντας ἀδελφοὺς ἡμῶν καὶ τοῦ κρατεῖν τὰς ἑαυτῶν γλώσσας.

Ἀδελφοὶ καὶ πατέρες, ἐδηλώθη ὑμῖν διὰ τῆς ἐν τῇ παρελθούσῃ ἑσπέρᾳ κατηχήσεως, ὅτι ἀπεῤῥάγησαν τῆς πνευματικῆς συναφείας ἀδελφοὶ ἡμῶν τρεῖς· ἀλλὰ τί ὅτι αὐτοὶ πρὸ τῆς κατηχήσεως διέγνωτε καὶ εἰς μάτην ἡμεῖς ἀνέγνωμεν ὑμῖν τὰ γράμματα; πόθεν δέ, ἢ πάντως ἐκ τῶν εἰσελθόντων, μὴ φυλαξάντων τὴν κοινὴν ἐντολήν, μηδὲ φοβηθέντων κρῖμα ἀπειλῆς θεοῦ; ἴδε τοίνυν, διὰ τοῦτο πίπτομεν ὥσπερ φύλλα· ἴδε, διὰ τοῦτο διαλυόμεθα "ὥσπερ κηρὸς ἀπὸ προσώπου πυρός"· ἴδε, διὰ τοῦτο ἐρχόμεθα οὐκ εἰς προκοπήν τινα, ἀλλ' εἰς κατόπιν. ποῦ ἡ πυκνότης τῆς [τῆς] κατηχήσεως ἀσφαλείας; μᾶλλον δὲ ποῦ ἡ τῶν ἁγίων πατρικὴ παραγγελία; τρεῖς ὧραι διῆλθον, ὡς φησιν ὁ ἅγιος τοῦ θεοῦ Χρυσόστομος, ἑρμηνεύων τὸ ῥητὸν τῶν Πράξεων περὶ τῆς Σαπφείρας, ὅτι οὐ διέγνω τὸν θάνατον τοῦ ἀνδρὸς αὐτῆς Ἀνανίου· τοιαύτη γάρ, φησίν, ἦν ἡ ἀσφάλεια τῶν μαθητῶν, πρὸς τὸ μὴ ἔκφορα ποιεῖσθαι τοῖς συμφοιτηταῖς τὰ παρὰ τῶν διδασκάλων

---

8 κῶδ. *ἐκπομπευταῖον*. 10 κῶδ. *εὐώδωσον*. 12/18 Ψαλμ. μδ', 25-27. 20 κῶδ. *φλασφημεῖται*. 26 κῶδ. *τούτου μαστηγοῦντος*. 35/37 πρβλ. Ψαλμ. λδ', 6.

9/10 Ἐφεσ. ς', 12. 30 Ψαλμ. ξζ', 2. 32 κῶδ. *κατόπην*.

γιγνόμενα, ἕως ἂν πρὸς αὐτῶν ἐδημηγοροῦντο· ἀλλ' αὐτοὶ εἰκῇ ἀκούετε, εἰκῇ ἀναγινώσκετε, ἢ μόνον πρὸς τὸ γενέσθαι λεξίθηρες καὶ κλεπτολόγοι, ἀποστολικῶς εἰπεῖν, μόρφωσιν ὑποταγῆς ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. οὐχ οὕτως δὲ οἱ θεσπέσιοι ἡμῶν πατέρες, ἀλλ' οὐδὲ οἱ νῦν ὁμοταγεῖς ὑμῶν· οὐδὲ γὰρ πάντας κατηγορήσω, ὅτι μηδὲ θεμιτόν, ἀλλὰ τοὺς ἀπαιδεύτους καὶ ἀκρατηγλώττους. τὸ τοίνυν κἀκείνοις ποιῆσαι τὸν ὄλισθον τῆς ἀποστασίας τί, ἀλλ' ἢ περὶ οὗ ὁ λόγος, ὅτι οὐκ ἐφύλαξαν ἐντολήν; εἰ γὰρ ἐφύλαττον, μεμενήκεισαν ἂν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, ἐν τῇ ἐπαγγελίᾳ τῆς ὁμολογίας, ἐν τῇ ὑπομονῇ τῶν παθημάτων, ἐν τῇ φιλαδέλφῳ διαθέσει. ἀλλ' ἐπεὶ οὐκ ἐφύλαξαν, ἐκ τοῦ κατὰ μικρὸν λέγοντες καὶ ὑπονοοῦντες (τί γάρ ἐστιν, ἐὰν εἴπω τοῦτο, ὥσπερ λέγει τις τῶν ἁγίων; τί ἐστιν, ἐὰν ἐξερωτήσω ἐκεῖνο; ἐὰν ἴδω τὸ τόδε, ἐὰν ὑπονοήσω τὸ ἄλλο;) οὕτως λεληθότως καὶ ἀνεπαισθήτως εἰς τὸ ἔσχατον τῆς κακίας ὑπηνέχθησαν· οὐ γὰρ ἐκ μιᾶς τομῆς τὸ κοπτόμενον κέκοπται ὡς τὰ πολλά, ἀλλ' ἐξ ὑπαλλήλων καὶ συχνοτέρων. καὶ εἴη ἂν οὐ τῆς τελευταίας μόνης ἡ αἰτία, ἀλλὰ κατὰ ἀναλογίαν καὶ ἑκάστης τῶν πρὸ αὐτῆς. οὕτως οὖν καὶ ἐπὶ τῆς ψυχῆς ληπτέον· τομαὶ γάρ τινές εἰσι δριμεῖαι κατ' αὐτῆς καὶ ἡ τῶν τυχόντων ἐντολῶν παραθεώρησις, καὶ ἑτέρα τὴν ἑτέραν φέρουσα καὶ προκαλουμένη εἰς τὸν ἔσχατον τῆς κακίας πυθμένα τὴν ἐλεεινὴν καὶ πανάθλιον ψυχὴν ἀποῤῥήγνυσι καὶ ἀποκόπτει, ὡς τὴν συκῆν ὄντως τὴν ἄκαρπον τῷ αἰωνίῳ πυρὶ παραπέμπουσα. ἀλλὰ "νῦν", φησί, "καιρὸς εὐπρόσδεκτος· νῦν ἡμέρα σωτηρίας. ἀποθώμεθα", φησί, "τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις" (οὐ τοὺς ἀπὸ οἴνου λέγω, ἀλλὰ τοὺς ἀπὸ λογισμῶν ῥυπαρῶν καὶ πονηρῶν), "μὴ κοίταις καὶ ἀσελγείαις (ταύτας κατὰ τὸ γράμμα φάσκω), ἀλλ' ἐνδύσασθε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας" διὰ τῆς ἐκπληρώσεως τῶν οἰκείων θελημάτων.

Ἴδε οὖν ἀπερῥάγη ὁ ἐλεεινὸς Θεότεκνος, ὁ ἄθλιος Πάπυλος· περὶ γὰρ τοῦ Ἀριστάρχου, εἰ καὶ ὑπέστρεψεν, ὡς λυμεῶνα, πολλαχῶς τοῦτο πεποιηκότα καὶ ἄλλους συναπόλλοντα, τέως οὐκ ἐδέξαντο εἰς Σακκουδίωνα. τίς οὖν ὑμῶν ἀκηκοὼς ἐστέναξεν ἐκ βάθους καρδίας; τίς ἔβρεξε δάκρυον θερμὸν ἐκ μέσης καρδίας; τίς ἤλγησε τὴν ψυχὴν ἀδελφὰ φρονῶν; ἐν τούτῳ γὰρ ἡ ἀγάπη τῆς φιλαδελφίας, καὶ τοῦτο ἐμακάρισεν ὁ ἅγιος Κλῖμαξ καὶ ὅτι οἱ τοιοῦτοι εἰσὶν ἀληθῶς ἀδελφοὶ τοῦ κυρίου, ἀψευδῶς τέκνα θεοῦ γνωριζόμενοι καὶ τῆς ἡμετέρας ταπεινώσεως σύσσωμοι, τὸ ἓν φρονοῦντες. οἱ δὲ μὴ οὕτως ὑπολαβόντες, ἀλλὰ πεφλυαρηκότες ὡς παραδειγματίζοντες καὶ ὡς ἐπιχαιρόμενοι καὶ ὡς ἡδυνόμενοι καὶ ὡς ἐπιγελάσαντες, τί ἄλλο ἄξιοι ἀκούειν, ἢ τὸ πολλῆς τόλμης ἂν εἴη τοὺς τοιούτους, καθὼς ὁ θεῖος καὶ μέγας Βασίλειος, μέλη Χριστοῦ ὀνομάζειν, ἢ ὑπ' αὐτοῦ ἄρχεσθαι, ἢ τῆς ἡμετέρας ταπεινώσεως εἶναι ὁμοψύχους καὶ ὁμοσώμους, κἂν τὸ ἔξωθεν ἐπιφαινόμενοι ὡς τέκνα, ἔνδοθεν τὴν ἀλλοτρίωσιν κέκτηνται; οὐκ ἔφθασας οὖν στάξαι δάκρυον, ὅπερ καὶ τοῦτο κατηγορίας· κἂν στενάξαι πικρὸν ἠδύνασο. οὐκ ἐτέλεσας τοῦτο· κἂν ἀλγεινῶς διατεθῆναι ἴσχυες· οὐδὲ εἰς τοῦτο παρέστης τὸ ἐλαφρόν, κἂν σιωπὴν ἄγειν εὔκολον. ἀλλ' οὐαί μοι καὶ τοῖς καταφρονηταῖς τῶν ἐντολῶν, ὅτι εἰ μὴ διορθωσώμεθα, ἔψεται ἡμῖν σκοτασμός, ὀργὴ ἀπ' οὐρανοῦ, πυρὸς αἰωνίου κατάκρισις. οὐχ οὕτως δὲ οἱ τρισμακάριοι Ἅγιοι Τεσσαράκοντα· ἀλλ', ἡνίκα ἐλειποτάκτησεν ὁ εἷς αὐτῶν ἀπερχόμενος πρὸς τὸ βαλανεῖον, πένθος ἀφόρητον ἐκείνοις κατέλιπεν, καὶ ὁπόταν ὁ Ἰούδας εἰς προδοσίαν ἐξοκείλας τοῦ Χριστοῦ ἀπέστη, ὁ χορὸς τῶν ἁγίων ἀποστόλων ἐν ἀδημονίᾳ πολλῇ κατέστη. οὐχ οὕτως δὲ

10 κῶδ. *ἀκρατειγλώττους.* 29 κῶδ. *δρυμεῖαι.* 36/43 Κορινθ. 2, ς', 2. Ῥωμ. ιγ', 12-14.

2 κῶδ. *ποιεῖσθαι.*

ἡμεῖς οἱ ἄθλιοι, ὅτι μηδὲ τῶν στεφάνων αὐτῶν ἀξιωθησόμεθα, μηδὲ τῆς δόξης αὐτῶν ἀπολαύσομεν· τὰ γὰρ ὅμοια τοῖς ὁμοίοις ἀνταποδίδοται, καὶ οὓς τινας ἕκαστος ἐζήλωσεν, ἐκείνων καὶ τοὺς στεφάνους λήψεται, πιστὸς πιστοῦ, ὑπομονητικὸς ὑπομονητικοῦ, ἀθλητὴς ἀθλητοῦ, ἀνεξάρνητος ἀνεξαρνήτου, φιλέντολος φιλεντόλου, ἀληθινὸς ἀληθινοῦ, καθαρὸς καθαροῦ· ὥσπερ καὶ ἔμπαλιν ἄπιστος ἀπίστου, ἀπειθὴς ἀπειθοῦς, ὑψηλόφρων ὑψηλόφρονος, λειποτάκτης λειποτάκτου, πονηρὸς πονηροῦ, ψεύστης ψεύστου, ἀρνητὴς ἀρνητοῦ, ἀπαίδευτος ἀπαιδεύτου, καταφρονητὴς καταφρονητοῦ, μισάρετος μισαρέτου. καὶ ἀλλοίωσις οὐκ ἔστιν, "οὐ γὰρ προσωποληψία παρὰ τῷ θεῷ", καὶ οὐδεμία "κοινωνία φωτὶ πρὸς σκότος", ἀλλὰ τὰ κατ' ἀξίαν ἑκάστῳ ἀπονενέμηται. διό, παρακαλῶ καὶ δέομαι ὑμῶν, ὀψὲ γοῦν ποτὲ ἀνανήψωμεν καὶ τὴν ἐπικειμένην λήμην ἐκ τῶν ὀφθαλμῶν τῆς διακονίας ἀποκαθάραντες διὰ φόβου θεοῦ καὶ ἐπιγνώσεως ἀληθείας βλέψωμεν· γευσώμεθα "ὅτι χρηστὸς ὁ κύριος", ὅτι χρησταὶ αἱ ἅγιαι ἐντολαὶ αὐτοῦ, ὅτι "ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται", ὅτι "στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς αὐτοῦ, ἡ εἰς τὴν ζωὴν τὴν αἰώνιον ἀπάγουσα", ἐπεὶ καὶ ἐλαφρὸν τὸ φορτίον τῶν ἐντολῶν αὐτοῦ τοῖς δι' ἐλπίδος καὶ πίστεως τρέχουσι. καὶ μή τί γε πάθοιτε τὰ τῶν ἀπολωλότων, ἀλλ' ὑπὲρ μὲν ἐπιστροφῆς ἐκείνων προσεύχεσθε ἀδιαλείπτως, ἵνα δῴη αὐτοῖς ὁ κύριος καιρὸν ἐπιγνώσεως ἀνανῆψαι ἐκ τοῦ βυθοῦ τῆς ἀπωλείας, ὥσπερ ἐζωγρημένους ἐν τῷ τοῦ διαβόλου θελήματι. ἴστε γὰρ οἷα. καὶ ἡλίκα οἳ μὲν αὐτῶν ἐν τῷ πρὸ ὀλίγου εἰργάσαντο καθ' ἡμῶν, μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν ψυχῆς, ὥστε καὶ εἰς κριτήρια ὑμᾶς ἀχθῆναι τοὺς τινὰς ὑπ' αὐτοῦ ἐκείνου τοῦ κατηγόρου καὶ ἐν ἴσῳ τοῦ Ἰούδα πεφρονηκότος, καὶ λόγον ἀπαιτεῖσθαι περὶ ἑνὸς ἑκάστου τῶν ὑπ' αὐτοῦ προβληθέντων, ἡμῶν πεφυλακισμένων· ἑαυτοὺς δὲ στηρίζωμεν καὶ κοπιάσωμεν ἔτι μικρὸν διὰ θεόν· ἐπεί, κἂν μὴ θέλωμεν, κοπιάσωμεν καὶ ἀραδήσωμεν, καὶ συντριβησόμεθα καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι αἰῶνι εἰς ἀπεράντους αἰῶνας. ἐπεὶ οὖν καὶ θέλοντες καὶ μὴ θέλοντες, κοπιάσωμεν, αὐτοπροαίρετον δι' ἀρετῆς κόπον ἐλώμεθα, ἵνα εἰ καὶ μικρὸν κοπιάσωμεν (μικρὸν γάρ ἐστι πρὸς τοὺς ἀπείρους αἰῶνας), ἀναπαυσώμεθα ἀπεράντως ἀνάπαυσιν τὴν γλυκεῖαν καὶ θαυμαστὴν καὶ ὑπερκόσμιον, ἣν οὐκ ἔστιν ἐκφράσαι οὐδὲ ἐννοῆσαι, ἣν πάντες οἱ ἅγιοι ἀπεκληρώσαντο ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

15 Ῥωμ. β', 11. 16/17 Κορινθ. 2, ς', 14. 23 Πέτρου 1, β', 3 || κῶδ. *χριστὸς*. 24/25 Ματθ. ι', 22. κδ', 13. Μάρκ. ιγ', 13. 25/27 Ματθ. ζ', 14. 30 κῶδ. *ἀπολολότων*. 32 κῶδ. *δώει*. 33/34 κῶδ. *ἀπολείας*.

ΚΑΤΗΧΗΣΙΣ ΡΚΓ'.

Περὶ τοῦ μὴ ἀμελεῖν ἐν ταῖς διακονίαις, ἀλλ' ἀγρυπνεῖν ὑπὲρ τῆς οἰκείας σωτηρίας.

Ἀδελφοὶ καὶ πατέρες, τὸ αὐτὸ ὄφλημα ἐμοί τε καὶ ὑμῖν, μὴ ὁμιλεῖν τῆς ἐνδεχομένης δυνάμεως ἐν τῇ ἐνούσῃ ἑκάστῳ διακονίᾳ. τίς δὲ ἡ ἐμὴ διακονία, ἀλλ' ἢ τὸ ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσων ἐν ἡμέρᾳ κρίσεως, τὸ ὑπομνήσκειν καὶ διαγγέλλειν τὰ δέοντα καὶ ὠφέλιμα καὶ μεριμνᾶν καὶ καταρτίζειν τοὺς πάντας ἐν ἑνὶ πνεύματι καὶ φρονήματι τῷ συνδέσμῳ τῆς ἀγάπης; διόπερ καὶ νῦν τὸ αὐτὸ ποιῶν παρακαλῶ καὶ δέομαι, στῆτε ἐν ᾗ ἐκλήθητε κλήσει ἁγίᾳ ἀσάλευτοι καὶ ἀμετακίνητοι, ἐνεργοῦντες τὰς ἐντολὰς τοῦ θεοῦ καὶ τὰ δικαιώματα αὐτοῦ· ἐπείχθητε ἀεὶ προθυμότερον καὶ θερμότερον ἐν τῇ ἀγάπῃ τοῦ κυρίου, ἐξορίζοντες πάντα πόθον ἀλλότριον ἀπὸ τῶν καρδιῶν ὑμῶν· ἐνδυναμώθητε ἐν τῷ κράτει τῆς ἀσκήσεως ὑμῶν, διεξερχόμενοι πᾶσαν ἡμέραν προθυμότερον καὶ νηφαλεώτερον, κατά τε ἀγρυπνίαν καὶ ψαλμῳδίαν, ὑπακοὴν

25 κῶδ. *ἀποδόσων*. 26 κῶδ. *ὠφέλημα*. 38 κῶδ. *νηφαλαιώτερον*.

καὶ ταπείνωσιν, ἐργασίαν καὶ νηστείαν καὶ εἴ τι ἄλλο ἐπισυμβαίνει ἑκάστοτε, αὐτὸ τοῦτο ἀπόδειξιν λαμβάνοντες τῆς σωτηρίας ἡμῶν, τὸν πολύθλιπτον καὶ πολύϊδρον ἡμῶν βίον, ὅτι ἀνατέλλει ἡμῖν ἀνάπαυσις αἰωνία ἀντὶ τῆς νῦν κακουχίας καὶ εὐφροσύνη ἀίδιος ἀντὶ τῆς νῦν λυπηρᾶς διαθέσεως, ἐλευθερία ἀπαθείας ἀντὶ τῆς νῦν θλιπτικῆς ὑποταγῆς· λέγει γὰρ ὁ ἀπόστολος μὴ σκοπεῖν ἡμᾶς τὰ παρόντα, ὅτι ταῦτα πρόσκαιρα καὶ φθαρτά, ἀλλὰ τὰ αἰώνια, ὅτι ταῦτα ἀίδια καὶ μακάρια.

Ἐπεὶ τοίνυν ἠξιώθημεν ταύτης τῆς δωρεᾶς τοῦ ἀγγελικοῦ σχήματος, ἐπεὶ ἐπιθυμοῦμεν ζωῆς αἰωνίου καὶ στεφάνων ἀφθαρσίας, ἐπεὶ γλιχόμεθα υἱοθεσίαν καὶ βασιλείαν οὐρανῶν, ἴδε ὁ τόπος, ἴδε ὁ χρόνος, τὸ στάδιον καὶ ἡ πανήγυρις. μὴ δὴ ἀμελήσωμεν, μηδὲ ἀτονήσωμεν, ἀλλ' ὑπὲρ τοὺς κερδαίνοντας χρυσίον, ἢ ἀργύριον, ἢ λίθους τιμίους, ἢ ἄλλο τι τῶν φθαρτῶν καὶ ἐπικήρων, εὐψυχότεροι καὶ σπουδαιότεροι γενοίμεθα εἰς τὸ ἁρπάσαι βασιλείαν οὐρανῶν, θησαυροὺς τῶν αἰωνίων ἀγαθῶν· ἔστι δὲ τοῦτο οὐκ ἄλλοθεν πορίσασθαι, ἢ ἐκ τῆς καθ' ἑκάστην προσοχῆς καὶ καθ' ὥραν ὡς εἰπεῖν μελέτης. πῶς καὶ τίνι τρόπῳ; εὖ διαθώμεθα τὴν παρισταμένην διακονίαν, ὅτι οὐκ ἀνθρωπίνη οὐδὲ σαρκική ἐστιν, ἀλλὰ ἁγία καὶ σωτήριος θεοπρεπῶς ἐκτελουμένη, ἡ κατὰ τὸ κελλάριον φημί, ἡ κατὰ τὸ νοσοκομεῖον, ἡ κατὰ τὸ ἀριστητήριον, ἡ κατὰ τὸ σκευτεῖον, ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν. οὐ γάρ τις τὴν ἐργασίαν σαρκὶ καὶ αἵματι ἀνατίθησιν, ἀλλὰ τῷ δεσπότῃ θεῷ, ἣν ὡς θυσίαν εὐάρεστον προσδεχόμενος τὰς ἀξίας ἀμοιβὰς ἀποδώσειν ἐπαγγέλλεται ἐν τῷ μέλλοντι αἰῶνι μὴ οἰέσθω τις λοιπόν, κἂν τὴν ἐσχάτην ἔτυχε λαχών, ἀνθρώπῳ προσφέρειν αὐτήν, ἀλλὰ τῷ ὑπὲρ τῶν ἀδελφῶν εἰς ἑαυτὸν ἀναδεχομένῳ δεσπότῃ. καὶ διὰ τοῦτο ἐν φόβῳ καὶ ἐν τρόμῳ ἐκτελείτω αὐτήν, αὐτὸν ἔχων ἐπόπτην, τὸν κατανοοῦντα τοῦ σκότους τὰ κρυπτὰ καὶ ἐκκαλύπτοντα τὰς βουλὰς τῶν καρδιῶν ἡμῶν. ἐὰν γὰρ οὕτως εἷς ἕκαστος λογιζώμεθα, ὅπερ ἐστὶν ἀληθές, καὶ τὴν ἐν ἀλλήλοις δουλείαν ὡς θείαν ὑπηρεσίαν ἐνεργῶμεν, τὸ πᾶν ἐκτελοῦμεν τοῦ πράγματος, καὶ ἐντεῦθεν αἱ τῶν ἀρετῶν πασῶν ἀναλάμψουσιν ἡμῖν ἀκτῖνες, ἀγάπη, εἰρήνη, πραότης, ἐπιείκεια, εὐπείθεια, καὶ γνωσόμεθα τότε ὅτι ὄντως ἐσμὲν ἐν τοῖς ἴχνεσι τῶν ὁσίων πατέρων ἡμῶν, ζηλωταὶ τῆς ἐκείνων πολιτείας ἀποφαινόμενοι. ἀναμνήσθητε γάρ, ὦ τέκνα, τοὺς μακαρίους ἐκείνους βίους, τὸν τῆς ὑποταγῆς καὶ ὑπακοῆς δρόμον, τὸ τῆς ταπεινοφροσύνης καὶ εὐπειθείας ἐξαίρετον ἀξίωμα, καὶ πῶς ζηλοῦντες ἐζηλώκασι τῷ κυρίῳ· αὐτὸς γὰρ εἴρηκε· "μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ"· ὅς, κατὰ τὸν ἀπόστολον, "οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἐταπείνωσεν ἑαυτὸν ὑπήκοος γενόμενος τῷ θεῷ καὶ πατρὶ μέχρι θανάτου". καὶ τίς τοίνυν σέσωσται, ἢ μεμακάρισται; ἀλλ' ὃς ἐκεῖνον ἐμιμήσατο, ὃς ἐταπεινώθη, ὃς ὑπήκουσεν, ὃς ὑπετάγη, ὃς οὐκ ἠπείθησεν, ὃς ὑπήνεγκε πάντα τὰ παρόντα λυπηρά, ὃς ἐξουδενώθη, ὃς ἐμυκτηρίσθη, ὃς ἐνεπαίχθη· ὃς ἐξευτελίσθη ὑπὸ τῶν ἀνθρώπων, ἢ τάχα καὶ ἐῤῥαπίσθη καὶ ἐδιώχθη καὶ ἐφυλακίσθη, ὡς καί τινες ὑμῶν, μᾶλλον δὲ καὶ πάντες. διὰ γὰρ τοῦ μέρους τὸ ὅλον σῶμα καὶ ἀτιμάζεται καὶ δοξάζεται· ὑπεμείνατε γὰρ καὶ αὐτοὶ χάριτι Χριστοῦ ἄθλησιν παθημάτων, διὰ τὸν ἐκείνου φόβον καὶ πόθον μυκτηρισθέντες καὶ χλευασθέντες, ἁπαχθέντες καὶ φυλακισθέντες πρότερόν τε καὶ ὕστερον. ἀλλὰ ὦ τῆς ζημίας, ὅτι οἱ μὴ ἑστηριγμένοι ἐπὶ τὴν νοητὴν πέτραν τῶν ἐντολῶν τοῦ Χριστοῦ, τοῦ χειμῶνος ἐληλυθότος καὶ ἀνέμων ἐμπνευσάντων καὶ βροχῆς κατενεχθείσης, κατὰ τὸ Εὐαγγέλιον, ἐναυάγησαν παραυτίκα ναυάγιον τὸ τῆς ἀποστασίας. ἀλλ' ἐκείνους μὲν ἀνακαλέσεται κύριος,

---

4 κῶδ. *ὑμῶν.* 5 κῶδ. *ἀνατέλλει ὑμῖν.* 9/11 Κορινθ. 2, δ', 18. 15 κῶδ. *γληχόμεθα.* 35 κῶδ. *ἀποδόσειν.*

2 κῶδ. *λογιζόμεθα.* 6 κῶδ. *ὑμῖν.* 16/17 Ματθ. ια', 29. 18/20 πρβλ. Φιλιπ. β', 6, 7. 18 κῶδ. *τῷ.* 38/39 πρβλ. Ματθ. ζ', 25. 39 κῶδ. *κατενεχθήσης.* 41 κῶδ. *ἀνακαλέσητε.*

εἴπως ἤδη ποτὲ ἐπιλήψονται τῆς σωτηρίας αὐτῶν, ὑμᾶς δὲ περιφυλάξειε μᾶλλον καὶ μᾶλλον ὡς στρατιώτας αὐτοῦ εὐσθενεῖς, ὡς θεράποντας αὐτοῦ πιστούς, ὡς ἄνδρας ἐπιθυμιῶν, ὡς λαὸν αὐτοῦ περιούσιον, ὡς ἐπισύναγμα ἱερώτατον, ἵνα "ἐν ταύτῃ τῇ γενεᾷ" τῇ ὡς ἀληθῶς εἰπεῖν "μοιχαλίδι καὶ ἁμαρτωλῷ" ἀναφανέντες ἐργάται τῶν ἐντολῶν, ζηλωταὶ τῆς εὐσεβείας καὶ ἀπαρέγκλιτοι τῶν σωτηρίων προσταγμάτων, τῇ ὀρθοτομίᾳ τοῦ λόγου τῆς ἀληθείας, τύχητε συγκληρονόμοι γενέσθαι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμή, κράτος, προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ ΚΑΤΗΧΗΤΙΚΟΣ ΡΚΔ',

ἐλεγκτικὸς ἅμα καὶ διδακτικός.

Ἀδελφοὶ καὶ πατέρες, τί δή ποτε σπείρει ὁ γεωργός; ἀλλ' ἵνα πάντως θερίσῃ. καὶ τίνος ἕνεκεν κοπιᾷ ὁ πραγματευόμενος; ἀλλ' ἵνα πάντως κερδήσῃ. οὕτω καὶ ὁ τὸν λόγον τῆς διδασκαλίας διανέμων τί ἄλλο ἐκ τοῦ πόνου ἐλπίζει, ἀλλ' ἢ τὴν τῶν ἀκουόντων πάντως προκοπὴν καὶ βελτίωσιν; ἐφ' ὑμῖν δέ, οὐκ οἶδ' ὅπως αἱ ἁμαρτίαι μου ποιῶσιν, ἀνενέργητος γίνεται ὁ λόγος, καὶ πολλὰ σπείροντες καὶ κοπιῶντες ἀμούμεθα ὡς εἰπεῖν οὐδέν· λέγομεν γὰρ καὶ κατηχοῦμεν καὶ ὑπομνήσκομεν, καὶ μέχρι ψιλῆς ἀκοῆς ὑμῶν κατὰ τὴν ὥραν ἡ τῶν ῥημάτων ὑπεισῆλθε δύναμις, καὶ θᾶττον εὐθὺς ἀπολανθάνοντες ἐπὶ τοῖς αὐτοῖς ἐστε πλημμελήμασι. καὶ θρηνῶ ἐπὶ τοῦτο καὶ κόπτομαι, μὴ δυνάμενος ὑμῶν τὴν ἀταξίαν ἀνακόψαι· ἀλλὰ πάντως παρὰ τῶν ταπεινῶν μου λόγων ἡ ἀσθένεια, ἡ ἀποτυχία, γίνεται. ἀλλ' εἰ καὶ παρ' ἐμοῦ τὸ ἀσθενές, οὐκ ἀκούετε τῆς θεοπνεύστου Γραφῆς; οὐκ ἐνηχοῦνται ὑμῶν τὰ ὦτα ἑκάστοτε τὰ σωτήρια δόγματα; τί ἐμβοῶσιν οἱ ἅγιοι πατέρες; τί ἀναγγέλλουσι; τί διαμαρτύρονται; τί ἀπειλοῦσιν; οὐχὶ ἄγουσιν ὑπ' ὄψιν ὑμῖν τὸ φοβερὸν ἐκεῖνο καὶ ἀπαραλόγιστον κριτήριον, ἐκεῖνο τὸ βῆμα τὸ φρικτὸν καὶ ἀδέκαστον, τὴν μεγάλην ἀπόφασιν ἐκείνην τοῦ θεοῦ καὶ ἀνείκαστον, τὰ κριτήρια καὶ βασανιστήρια τὰ αἰώνια, τὸ πῦρ τὸ ἄσβεστον, τὸ ἐνδότερον καὶ ἐξώτερον, τὸν σκώληκα τὸν ἰοβόλον, τὸ χάσμα τὸ μέγα, τὸ σκότος τὸ ἀφεγγές, τὰ ταρταρώδη κατα- χθόνια, τὰ δεσμὰ τὰ ἄλυτα, τὰ ἄλλα ὅσα κατονομάζεται; εἶτα ἄντικρυς τὴν βασιλείαν τῶν οὐρανῶν οὐχ ὑποδεικνύουσι, τὴν ζωὴν τὴν ἀτελεύτητον, τὴν χαρὰν τὴν ἀνεκλάλητον, τὴν δόξαν τὴν ἀπρόσιτον, τὸ ἄφραστον φῶς, τὰ ἀμήχανα καὶ ἀπερινόητα κάλλη τοῦ Παραδείσου, τοὺς κόλπους τοῦ Ἀβραάμ. τὰς σκηνὰς τῶν ἁγίων, τὰς ἐπαύλεις τῶν δικαίων, τὰς χοροστασίας τῶν ἀγγέλων, τὰς εὐφροσύνας τὰς ἀκαταλήκτους καὶ οἷα ἄλλα ἀναφωνοῦσι; καὶ οὐδεμία πρὸς ταῦτα διόρθωσις οὐδὲ μεταμέλεια, ἀλλ' οἷον ἁπλοῦς λόγους καὶ διακένους ἀκούομεν καὶ παρακούομεν, ζητοῦντες τὰς ἡδονὰς καὶ τὰς προσπαθείας τῆς σαρκὸς ἡμῶν ἐκτελεῖν, καὶ οἷον μυοπάζομεν κάτω νενευκότες, καὶ βρίθοντες ὥσπερ τὰ ἄλογα ζῶα ζητοῦμεν τί φάγωμεν καὶ τί πίωμεν τήνδε τὴν ἡμέραν καὶ τήνδε, καὶ ποῖον λόγον γελοιώδη κινήσωμεν εἰς χαύνωσιν τῆς οἰκείας ψυχῆς καὶ τοῦ ἀκούοντος, καὶ πῶς προφασισώμεθα τὴν ὑπακοὴν διακρούοντες καὶ τὴν ἐργασίαν διαλύοντες καὶ τὸ ψεῦδος εἰσδεχόμενοι καὶ τὴν ἀλήθειαν ἀπαρνούμενοι, ἢ τάχα καὶ παῤῥησιαζόμενοι καὶ πονηρευόμενοι, ἐξερευνῶντες ἐξερευνήσεις πονηρὰς καὶ οὐ προσηκούσας, καὶ ἐργαστήριον οὐχ ὁσιότητος καὶ δικαιοσύνης, ἀλλ' ἀνομίας καὶ ἀδικίας τὴν ἑαυτῶν ψυχὴν ἀπεργαζόμενοι. δέον ἄνω βλέπειν, τὰ ἄνω φρονεῖν, τὰ ἄνω ζητεῖν, εἰδέναι ἡμᾶς ὁποῖον καὶ ἡλίκον ἐπάγγελμα ἐνδεδύμεθα καὶ τίνι συντετάγμεθα καὶ καθυπεθέμεθα, ὅτι τῷ δεσπότῃ τῶν ὅλων θεῷ, ἡλίκων δὲ καὶ ὅσων

6/8 Μάρκ. η', 38. 9 κῶδ. *ἀπαρέγκλητοι.*

1 κῶδ. *ἀναγγέλουσι.* 7 κῶδ. *βασανηστήρια.* 25/26 κῶδ. *μυοπάζωμεν.* 35 κῶδ. *ἐξερευνόντες.*

ἁμαρτημάτων ἄφεσιν λαμβάνομεν τῶν κακῶς πεπραγμένων ἡμῖν διὰ τοῦ προτέρου βίου, ὅσης ἄλλης διὰ τῆς μετὰ τὸ ἅγιον σχῆμα παραμελήσεως ἡμῶν συγχωρήσεως ἀπελαύσαμεν, καὶ ἐν τούτῳ τρέμειν καὶ στένειν, συστέλλεσθαι καὶ κατανύσσεσθαι, ἀδιάχυτον ἔχειν τὴν καρδίαν καὶ τὴν ὄψιν, μεμελετημένην τὴν ὥραν τοῦ θανάτου, τὴν πρὸς τὸν κριτὴν ἀπολογίαν, τὴν ἐκ τοῦ σώματος ὑπαναχώρησιν, τὴν τῶν φοβερῶν ἀγγέλων θεωρίαν, κατὰ μίμησιν τῶν ἁγίων πατέρων ἡμῶν. καὶ γὰρ ἐκεῖνοι μέχρι καὶ λόγου τοῦ τυχόντος ἀκρίβειαν ἔλκοντες ὅλου διόλου σεμνοὶ καὶ ἐπιεικεῖς ὑπῆρχον, φωτεινοὶ καὶ εἰλικρινεῖς, εὐσταθεῖς, ἄκακοι, πρᾶοι, εἰρηνικοί, ἄμαχοι, ἀφιλόσαρκοι, ἀφιλόκοσμοι, ἡσυχασταί, ὑμνολόγοι, εὐχάριστοι, εὐήκοοι, ταπεινόφρονες, σκεύη ὄντως ἐκλελεγμένα, κατηρτισμένα εἰς πᾶν ἔργον ἀγαθόν, ἔνοικον ἔχοντες τὸ πνεῦμα τὸ ἅγιον.

Τί οὖν λοιπὸν ἀμελοῦμεν ἡμεῖς οἱ ἄθλιοι; τί νωθρευόμεθα; τί ἐκλελύμεθα; τί οὐχ ἅπτεται ἡμῶν λόγος θεοῦ τῶν ψυχῶν; τί οὐ κινοῦμεν δάκρυα; τί οὐ μαλασσόμεθα τὰς λιθίνους καρδίας; τί οὐ καθ' ἑκάστην ἡμέραν εἰς τὸ μεῖζον ἀνατρέχομεν; τί οὐκ ἀλλοιούμεθα τὴν καλὴν ἀλλοίωσιν, καὶ εἶδος καὶ σχῆμα καὶ φωνὴν καὶ κίνημα ξένον καὶ παρηλλαγμένον παρὰ τοὺς ἐν τῷ βίῳ ὄντας ἐνδεικνύμενοι, ὡς ἂν φαινοίμεθα ἀπὸ κόσμου φυγόντες καὶ ὑπεράνω τῶν φρονημάτων τῶν ἀνθρώπων ὄντες, διὰ πάσης εὐλαβείας καὶ ἡσυχίας διεξαγόμενοι πᾶσαν ἡμῶν πρᾶξιν καὶ ἐνέργειαν; ἥξει, ἥξει καὶ οὐ χρονιεῖ ἡ φοβερὰ ἐκείνη καὶ φρικτὴ ἡμέρα καὶ ὥρα τῆς μεταστάσεως, ὁ ἄγγελος ὁ φοβερὸς καὶ ἀπότομος, ἡ λύσις τῆς πανηγύρεως. καὶ τότε στενάξομεν πικρὰ καὶ ὀδυνηρὰ καὶ ἀνόνητα οἱ μεμεληκότες καὶ μὴ ἔχοντες λέγειν· "ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου". ἀλλὰ "δεῦτε", εἴπερ ἀκούετέ μου, "προσκυνήσωμεν καὶ προσπέσωμεν" αὐτῷ Χριστῷ τῷ βασιλεῖ ἡμῶν, στενάξωμεν ἐκ καρδίας καὶ "ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ", καὶ δίδωσι βοήθειαν ἐκτινάξασθαι ἡμᾶς τὴν πονηρὰν συνήθειαν, καὶ εἰσδέξεται ἡμᾶς εἰς τὴν ἐνάρετον διαγωγήν, οὐ λέγω μὴ φαγεῖν, μηδὲ πιεῖν, μηδὲ συντυχεῖν, μηδὲ συνομιλῆσαι ἀδελφῷ, οὐ λέγω μὴ κοιμηθῆναι μηδὲ ἀναπαυθῆναι, οὐ λέγω μὴ λαβεῖν ἄνεσιν, μηδὲ συνελθεῖν ἐν ἀλλήλοις εἰς ὁμιλίαν τινά, ἀλλὰ τὸ εὐτάκτως ταῦτα πάντα ἐνεργεῖν καὶ μετρίως καὶ κατὰ τὸν δέοντα καιρὸν καὶ τόπον, ἵν' ἐντεῦθεν ἀρετὴν ἐπ' ἀρετῇ προσλαμβάνοντες καὶ προκοπὴν ἐπὶ προκοπῇ ἐξευρίσκοντες εἰρηνικὸν τὸν βίον διατελῶμεν, ἀστασίαστον, ὁμαλόν, ἀγγελοειδῆ, ὡς ἂν καὶ ἐγὼ ὁ τάλας προθυμότερος γένοιμι περὶ τὸ λέγειν, οἵ τε τὰ πρῶτα φέροντες λάβοιεν ἄνεσιν τοῦ ἐλέγχειν καὶ ἀντιφθέγγεσθαι, οἱ διδάσκαλοι ἀπὸ τῶν μαθητευομένων, οἱ προέχοντες ἀπὸ τῶν ὑποδεεστέρων καὶ πάντες ἐν ἅπασι συγκροτούμενοι ἐν ἀγάπῃ, ὁσίως τε καὶ δικαίως πολιτευόμενοι, τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1 κῶδ. *λαμβάνωμεν*. 19 κῶδ. *κατειρτισμένα*. 22 κῶδ. *ἐκλελοίμεθα*.

4/6 Ψαλμ. νϛ', 8. 6/7 Ψαλμ. ϟδ', 6. 9,10 Ψαλμ. ρμδ', 19. 12 κῶδ. *εἰσδέξηται*.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ ΟΝΟΜΑΤΩΝ.

Ἀββακοὺμ Στουδίτης. — 13.
Ἀβειρών. — 227.
Ἄβελ. — 9.
Ἀβραάμ. — 4. 35. 54, 144, 147, 160. 315, 408.
Ἅγιοι Τεσσαράκοντα. — 402.
Ἅγιος Χριστόφορος· μονή. — 172, 175. 178, 180, 213.
Ἀδάμ. — 139, 158. 302, 382.
Ἅδης. — 388.
Ἀέτιος ὁ θαυμάσιος. — 74.
Ἀζαρίας. — 216.
Ἀθανάσιος Τριπυλιανός. — 183. 184.
Ἀθανάσιος πρωτοπρεσβύτερος. — 103.
Αἰγυπτιακὰ κρόμμυα. — 60.
Αἰγυπτιακὴ δουλεία. — 59.
Αἴγυπτος. — 27. 28, 96, 284, 383.
Ἀκάκιος ἀββᾶς. — 102, 174, 188, 192, 193, 194, 195, 202, 205.
Ἀμαληκῖται. — 199.
Ἀμμοῦν Στουδίτης. — 30.
Ἀμμώνιος ἀββᾶς. — 102.
Ἀμορραῖοι. — 60.
Ἀνανίας. — 400.
Ἀντώνιος ὁ μέγας. — 40. 160, 304, 359.
Ἀπόκρεως. — 34.
Ἀπολλὼς ἀββᾶς. — 39.
Ἄραβες. — 398.
Ἀρίσταρχος Σακκουδιώτης. — 402.
Ἀσσύριοι λογισμοί. — 332.
Ἀσσύριος νοῦς. — 302.
Ἄχαρ. — 36.
Βάαλ. — 62, 296, 332, 373.
Βαβυλώνιοι δουλεῖαι. — 332.
Βαΐων ἑβδομάς, ἑορτὴ ἡ ὑπαντή. — 86. 376. 378.
Βαρθολομαῖος ἀββᾶς. — 102.
Βαρσανούφιος ἐπιστημοναρχης. — 103, 198, 209.
Βασίλειος ὁ μέγας. — 7. 54. 55. 63. 74, 77, 118, 142, 145, 220, 239. 311, 348, 349, 397. 402.
Βασίλειος ἀββᾶς. — 348.
Βασιλεύουσα πόλις. — 94.
Βεελζεβούλ. — 151.
Βελίαρ. — 138, 181. 188, 336, 349.
Βηθανία. — 88.
Γαλιλαία. — 84, 87.
Γέεννα. — 4.
Γεράσιμος Σακκουδιώτης. — 193.
Γεράσιμος ἐν τῇ μονῇ τῶν Καθαρά. — 198.
Γεροντικὸν (βιβλίον). — 101, 138.
Γιεζῆ. — 382.
Γολιάθ. — 199, 331.
Γραφαί, Γραφή. — 123, 169, 302, 317. 370. 374, 380, 407.
Γρηγόριος ὁ Θεολόγος. — 29, 220.
Γρηγόριος ἀββᾶς — 193, 194.
Δαθάν. — 227.
Δαλμάτου μονή. — 277. 278.
Δαβίδ: Δαυίδ.
Δανιὴλ ἐν τῇ μονῇ τῶν Καθαρά. — 210.
Δαυὶδ ὁ προφήτης. — 7, 10, 19, 22, 84. 91. 179, 183, 195, 199, 227, 241, 264. 284. 296, 331, 390.
Δαυιτικὸν ῥητόν. — 375.
Δαυιτικῶς εἰπεῖν. — 116.
Δίδυμος. — 87.
Διονύσιος ἀββᾶς. — 193, 194. 195.
Δομετιανὸς Ἁγιοχριστοφορίτης. — 215.
Δοσίθεος ὁ ὅσιος. — 15, 359.
Δωρόθεος ὁ ἅγιος. — 142.
Δωρόθεος ἀββᾶς Σακκουδιώτης. — 193.
Ἐδέμ. — 139.
Ἐλισσαῖος ὁ προφήτης. — 382.
Ἕλληνες. — 241.
Ἐλπίδιος Στουδίτης. — 347. 348.
Ἐπιφάνιος Στουδίτης. — 25
Ἐπιφάνιος ἀββᾶς Σακκουδιώτης 194, 224.
Εὐαγγέλια. — 35. 95. 103. 406
Εὔα. — 139
Εὐαίων γῆ. — 60
Εὐθάλιος Στουδίτης — 347, 349
Εὐθύμιος ὁ μέγας — 74, 96. 359
Εὐλάλιος Στουδίτης — 136.
Εὐόδιος Σακκουδιώτης. — 193 194
Εὐστάθιος Στουδίτης. — 25.
Ἐφραὶμ Τριπυλιανός — 184.
Ἐφραίμιος ἀββᾶς. — 103.
Ἑωσφόρος. — 90, 227.
Ζαβουλών. — 84.
Ζαχαρίας ὁ ἀοίδιμος — 15.
Ζωσιμᾶς ὁ ὅσιος. — 359
Ἠλί. — 189.
Ἡρακλᾶς Σακκουδιώτης. — 193
Ἡσαΐας ὁ προφήτης — 379.
Ἡσαῦ. — 364. 382.
Θαλάσσιος Σακκουδιώτης. — 166.
Θεοδόσιος ὁ μέγας ὅσιος. — 74 96
Θεοδόσιος Στουδίτης — 119. 183
Θεόδωρος ὁ ἡγιασμένος. — 73
Θεόκτιστος ὁ ὅσιος — 74.
Θεολόγος: Ἰωάννης ὁ Θεολόγος.
Θεότεκνος Στουδίτης. — 402.
Θεοτόκος. — 111. 112, 150. 156 178, 231. 322, 363.
Θεοφάνεια. — 82.
Θεωνᾶς Ἁγιοχριστοφορίτης. — 215
Θωμᾶς ὁ Δίδυμος. — 87.
Ἰακώβ. — 144, 225
Ἱερεμίας ὁ προφήτης. — 9.
Ἱερεμίας ἀββᾶς. — 223/4.
Ἱερουσαλήμ. Ἱεροσόλυμα. — 88 102 148, 157. 201. 269. 275. 378
Ἱλαρίων ὁ μέγας. — 359.
Ἱλαρίων ἀββᾶς καὶ ἡγούμενος τῆς μονῆς Δαλμάτου. — 278.

Ἰορδάνης. — 84, 85.
Ἰουδαία. — 87.
Ἰούδας. — 90, 141, 164, 176, 246. 274. 311, 364, 382, 402, 403.
Ἰσαάκ. — 144.
Ἰσραήλ. — 59.
Ἰσραηλῖται. — 9, 27, 95,
Ἰσχυρίων, Ἁγιοχριστοφορίτης. — 215.
(Ἰωάννης ὁ) Θεολόγος. — 28, 92, 111, 156, 178, 231, 322, 363.
(Ἰωάννης ὁ) Πρόδρομος. — 83, 111, 156, 178, 216, 217, 231, 322, 363.
(Ἰωάννης ὁ) Χρυσόστομος. — 153, 400.
Ἰώβ. — 195, 277.
Ἰωνᾶς ὁ ὅσιος. — 73.
Ἰωσὴφ ὁ πάγκαλος. — 139.
Καάθ. — 60.
Τὰ Καθαρά· μονή. — 89, 196, 203, 208, 354.
Καϊάφας. — 91.
Κάιν. — 9, 382.
Κάνδιδος Ἁγιοχριστοφορίτης — 215.
Κλῖμαξ (ἡ, ὁ). 221, 311, 402.
Κοσμᾶς Ἁγιοχριστοφορίτης. — 215.
Κύριλλος Στουδίτης. — 180.
Λαζαρικὸν πρόσωπον. — 87.
Λάζαροι νόες. — 378.
Λάζαρος ὁ τετραήμερος. — 87, 88, 378.
Λίβανον ὄρος. — 338.
Λουκιανὸς Στουδίτης. — 118.
Λουκιανὸς Ἁγιοχριστοφορίτης. — 215.
Λώτ. — 92.
Μάλχος Στουδίτης. — 139.
Μάρθα. — 88, 378.
Μαρία ἡ ἀδελφὴ τοῦ Λαζάρου. — 88.
Μᾶρκος ὁ ἐρημίτης. — 359.
Μελέτιος πρεσβύτερος. — 190.
Μεραρῆ. — 60.
Μωσῆς, Μωϋσῆς. — 166, 227. 291.
Ναβουχοδονόσορ. — 373.
Νεφθαλείμ. — 84.
Νικόλαος ὁ θαυματουργός. — 113.
Νικόλαος ἀββᾶς. — 224.
Νινευῖται. — 10.
Νῶε. — 92.
Νῶνος. — 183.
Ὀνησιφόρος Στουδίτης — 183.
Παλαιὰ Διαθήκη. — 27.
Πάπυλος Στουδίτης. — 402.
Παράδεισος. — 4, 9, 80, 101, 139, 147, 152, 155, 156, 158, 182, 256, 269. 302. 315, 326, 382, 408.
Πάσχα. — 378.
Παῦλος ὁ ἀπόστολος. — 102, 133, 160, 161. 228, 269, 389.
Παῦλος Ἁγιοχριστοφορίτης. — 215.
Παχώμιος ὁ μέγας ὅσιος. — 73, 96, 97, 359.
Παχὼν ὁ γέρων. — 39.
Πέτρος ὁ ἀπόστολος. — 102, 269, 337, 389.
Πέτρος ἀββᾶς Στουδίτης — 359.
Πετρώνιος ὁ ὅσιος. — 73.
Πετρώνιος Στουδίτης. — 136, 139.
Πιλατικὸς κάλαμος. — 91.
Πολύβιος Ἁγιοχριστοφορίτης. — 215.
Πόντιος Πιλᾶτος. — 91.
Πράξεις τῶν Ἀποστόλων. — 395, 400.
Προκόπιος Στουδίτης. — 252.
Ῥαφαὴλ Στουδίτης. — 297, 299.
Ῥώμη. — 224.
Σάβας ὁ θεοφόρος. — 55, 74, 96, 113, 114, 246, 359.
Σακκουδίων μονή. — 166, 169, 172, 175, 178, 180, 188, 190, 191, 194, 197. 199, 203, 206. 215, 217, 219, 222, 402.
Σάπφειρα. — 400.
Σάῤῥα ἡ ἀμμᾶς. — 39.
Σατανᾶς. — 9, 15, 85, 136, 145, 188, 214. 254, 341, 354, 365. 372, 375, 376, 390.
Σέραπις. — 85.
Σεραφίμ. — 316.
Σίλας Στουδίτης. — 252.
Σιλβανὸς ὁ ἅγιος. — 15.
Σιλουανὸς Στουδίτης. — 190.
Σιών. — 88, 157. 195.
Σοδομιτικὸν πῦρ. — 92.
Σολομὼν ὁ προφήτης. — 102.
Σοφία Σειράχ. — 393.
Σταυράκιος λογοθέτης. — 186.
Στέφανος ὁ πρωτομάρτυς. — 4, 160. 395.
Συμεὼν ὁ δίκαιος. — 237.
Σωσάννα ἡ ἁγία. — 205.
Σωφρόνιος. — 173, 188.
Ταράσιος Στουδίτης. — 203.
Τεσσαρακοστή. — 105, 141, 277. 280, 313. 317, 347, 376. 377.
Τετραδοπαρασκευαί. — 141, 207.
Τὰ Τριπυλιανά· μονή. — 167, 183, 210.
Φαρὰώ. — 96, 221.
Φαρισαῖοι. — 151.
Φερεζαίων γῆ. — 60.
Φινεές. — 13, 291.
Τὰ Φῶτα. — 232.
Χαλδαϊκὴ κάμινος. — 373.
Χαναναῖοι. — 60.
Χαρίτων Στουδίτης. — 275.
Χερουβίμ. — 316.
Χρυσόπολις. — 16.
Ὠριγενιασταί. — 144.

Издательство православной
богословской литературы
“АКСИОН ЭСТИН”
(Санкт-Петербург)

Книги издательства “Аксион эстин” — это православные исследования, удачно сочетающие высокий научно-академический уровень и доступную форму изложения. Они будут интересны и полезны преподавателям и студентам богословских и гуманитарных ВУЗов, православных духовных академий и семинарий, всем верующим, желающим лучше понять христианское вероучение.

Посетите наш сайт в интернете по адресу:
www.axion.org.ru

На сайте:

- подробная информация о новоизданных книгах;
- возможность бесплатной загрузки большого количества электронных книг по богословию, библеистике, патрологии, которые легко читать на компьютере или распечатать на принтере;
- возможность заказать книги для доставки по почте (в том числе и электронные книги, которые высылаются на компакт-дисках).

Ваши вопросы и пожелания направляйте, пожалуйста, по электронной почте: info@axion.org.ru